Greek New Testament

Scrivener 1894
Textus Receptus

(With Morphological Data)

Bibles.org.uk, London.

Tables of Morphological Symbols

Noun/Article	Case	Gender	Number
n/d	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural

Pronoun	Type	Case	Gender	Numbe
r	**r** relative **e** reciprocal **d** demonstrative **c** correlative **q** interrogative **i** indefinite **o** correlative or interrogative **x** reflexive **s** possessive **p** personal	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singu **p** plura

Participle	Tense	Voice	Case	Gender	Numbe
vp	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singu **p** plura

Infinitive	Tense	Voice
vn	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated

Verb	Mood	Tense	Voice	Person	Number
v	**i** indicative **d** imperative **s** subjunctive **o** optative	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect **v** adverbial imperative	**a** active **m** middle **p** passive **e** mid/passive **d** mid/deponent **o** passive deponent **n** mid. or pass. deponent **q** impersonal active **x** no voice stated	**1** 1st **2** 2nd **3** 3rd	**s** singular **p** plural

Adjective	Case	Gender	Number	Degree
a	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural	**c** comparative **s** superlative **n** none

Adverb	Type
b	**c** comparative **s** superlative **i** interrogative **n** normal

Conjunction **c**

Preposition **p**

Interjection **i**

Conjunction or Conjunctive Particle	Type
q	**c** contracted **o** not contracted

Particle or Disjunctive Particle	Type
x	**i** interrogative **n** negative **o** negative

Indeclinable	Type
t	**a** Aramaic word **h** Hebrew word **p** proper noun **n** numeral **l** letter **o** other noun

The Books of the New Testament

ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. **1**
Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰα- 2
κὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, Ἰούδας 3
δὲ ἐγέννησε τὸν Φάρες καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ, Φάρες δὲ
ἐγέννησε τὸν Ἐσρώμ, Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ, Ἀρὰμ δὲ 4
ἐγέννησε τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών,
Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών, Σαλμὼν δὲ ἐγέννησε τὸν 5
Βοὸζ ἐκ τῆς Ῥαχάβ, Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ,
Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί, Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ 6
τὸν βασιλέα. Δαβὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ
τῆς τοῦ Οὐρίου, Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ, Ῥοβοὰμ 7
δὲ ἐγέννησε τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά, Ἀσὰ δὲ ἐγέν- 8
νησε τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ, Ἰωρὰμ δὲ
ἐγέννησε τὸν Ὀζίαν, Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωαθάμ, Ἰωάθαμ 9
δὲ ἐγέννησε τὸν Ἄχάζ, Ἄχὰζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν, Ἐζεκίας 10
δὲ ἐγέννησε τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών,
Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν, Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχο- 11
νίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.
Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννησε τὸν Σα- 12

---

1. v.1 βίβλος[nnfs] γένεσις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms] υἱός[ngms] Δαυίδ[tp] υἱός[ngms] Ἀβραάμ[tp]. **v.2** Ἀβραάμ[tp] γεννάω[viaa3s] ὁ[dams] Ἰσαάκ[tp] Ἰσαάκ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰακώβ[tp] Ἰακώβ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰούδας[nams] καί[c] ὁ[damp] ἀδελφός[namp] αὐτός[rpgms]. **v.3** Ἰούδας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Φάρες[tp] καί[c] ὁ[dams] Ζάρα[tp] ἐκ[p] ὁ[dgfs] Θαμάρ[tp] Φάρες[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐσρώμ[tp] Ἐσρώμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀράμ[tp]. **v.4** Ἀράμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀμιναδάβ[tp] Ἀμιναδάβ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ναασσών[tp] Ναασσών[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Σαλμών[tp]. **v.5** Σαλμών[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Βόες[tp] ἐκ[p] ὁ[dgfs] Ῥαχάβ[tp] Βόες[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωβήδ[tp] ἐκ[p] ὁ[dgfs] Ῥούθ[tp] Ἰωβήδ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰεσσαί[tp]. **v.6** Ἰεσσαί[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Δαυίδ[tp] ὁ[dams] βασιλεύς[nams] Δαυίδ[tp] δέ[c] ὁ[dnms] βασιλεύς[nnms] γεννάω[viaa3s] ὁ[dams] Σολομών[nams] ἐκ[p] ὁ[dgfs] ὁ[dgms] Οὐρίας[ngms]. **v.7** Σολομών[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ῥοβοάμ[tp] Ῥοβοάμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀβιά[tp] Ἀβιά[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀσάφ[tp]. **v.8** Ἀσάφ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωσαφάτ[tp] Ἰωσαφάτ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωράμ[tp] Ἰωράμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ὀζίας[nams]. **v.9** Ὀζίας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωαθάμ[tp] Ἰωαθάμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀχάζ[tp] Ἀχάζ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἑζεκίας[nams]. **v.10** Ἑζεκίας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Μανασσῆ[nams] Μανασσῆ[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀμώς[tp] Ἀμώς[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωσίας[nams]. **v.11** Ἰωσίας[nnms] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰεχονίας[nams] καί[c] ὁ[damp] ἀδελφός[namp] αὐτός[rpgms] ἐπί[p] ὁ[dgfs] μετοικεσία[ngfs] Βαβυλών[ngfs].

13 λαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ, Ζοροβάβελ δὲ
ἐγέννησε τὸν Ἀβιούδ, Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ, Ἐλι-
14 ακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ, Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ,
Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ, Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ,
15 Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησε τὸν
16 Ματθάν, Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε
τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγό-
17 μενος Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ
γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαβὶδ, ἕως τῆς μετοικεσίας Βα-
βυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυ-
18 λῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ Ἰησοῦ
Χριστοῦ ἡ γέννησις οὕτως ἦν. μνηστευθείσης γὰρ τῆς μητρὸς
αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν
19 γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς
δίκαιος ὤν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη
20 λάθρᾳ ἀπολῦσαι αὐτήν. ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδού,
ἄγγελος Κυρίου κατ᾽ ὄναρ ἐφάνη αὐτῷ, λέγων, Ἰωσήφ, υἱὸς Δα-
βίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ
21 ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου, τέξεται δὲ υἱὸν
καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, αὐτὸς γὰρ σώσει τὸν λαὸν
22 αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα

---

v.12 μετά[p] δέ[c] ὁ[dafs] μετοικεσία[nafs] Βαβυλών[ngfs] Ἰεχονίας[nnms] γεννάω[viaa3s] ὁ[dams] Σαλαθιήλ[tp] Σαλαθιήλ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ζοροβαβέλ[tp]. **v.13** Ζοροβαβέλ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀβιούδ[tp] Ἀβιούδ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐλιακίμ[tp] Ἐλιακίμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀζώρ[tp]. **v.14** Ἀζώρ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Σαδώκ[tp] Σαδώκ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἀχίμ[tp] Ἀχίμ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐλιούδ[tp]. **v.15** Ἐλιούδ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἐλεάζαρ[tp] Ἐλεάζαρ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ματθάν[tp] Ματθάν[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰακώβ[tp]. **v.16** Ἰακώβ[tp] δέ[c] γεννάω[viaa3s] ὁ[dams] Ἰωσήφ[tp] ὁ[dams] ἀνήρ[nams] Μαρία[ngfs] ἐκ[p] ὅς[rrgfs] γεννάω[viap3s] Ἰησοῦς[nnms] ὁ[dnms] λέγω[vpppnms] Χριστός[nnms]. **v.17** πᾶς[anfpn] οὖν[c] ὁ[dnfp] γενεά[nnfp] ἀπό[p] Ἀβραάμ[tp] ἕως[c] Δαυίδ[tp] γενεά[nnfp] δεκατέσσαρες[nnfp] καί[c] ἀπό[p] Δαυίδ[tp] ἕως[c] ὁ[dgfs] μετοικεσία[ngfs] Βαβυλών[ngfs] γενεά[nnfp] δεκατέσσαρες[nnfp] καί[c] ἀπό[p] ὁ[dgfs] μετοικεσία[ngfs] Βαβυλών[ngfs] ἕως[c] ὁ[dgms] Χριστός[ngms] γενεά[nnfp] δεκατέσσαρες[nnfp]. **v.18** ὁ[dgms] δέ[c] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dnfs] γέννησις[nnfs] οὕτω[bo] εἰμί[viix3s] μνηστεύω[vpapgfs] γάρ[c] ὁ[dgfs] μήτηρ[ngfs] αὐτός[rpgms] Μαρία[ngfs] ὁ[ddms] Ἰωσήφ[tp] πρίν[bo] ἤ[xo] συνέρχομαι[vnaa] αὐτός[rpamp] εὑρίσκω[viap3s] ἐν[p] γαστήρ[ndfs] ἔχω[vppanfs] ἐκ[p] πνεῦμα[ngns] ἅγιος[agnsn]. **v.19** Ἰωσήφ[tp] δέ[c] ὁ[dnms] ἀνήρ[nnms] αὐτός[rpgfs] δίκαιος[anmsn] εἰμί[vppxnms] καί[c] μή[xo] θέλω[vppanms] αὐτός[rpafs] παραδειγματίζω[vnaa] βούλομαι[viao3s] λάθρᾳ[bo] ἀπολύω[vnaa] αὐτός[rpafs]. **v.20** οὗτος[rdanp] δέ[c] αὐτός[rpgms] ἐνθυμέομαι[vpaogms] ἰδού[vdaa2s] ἄγγελος[nnms] κύριος[ngms] κατά[p] ὄναρ[to] φαίνω[viap3s] αὐτός[rpdms] λέγω[vppanms] Ἰωσήφ[tp] υἱός[nnms] Δαυίδ[tp] μή[xo] φοβέομαι[vsao2s] παραλαμβάνω[vnaa] Μαρία[tp] ὁ[dafs] γυνή[nafs] σύ[rpg-s] ὁ[dnns] γάρ[c] ἐν[p] αὐτός[rpdfs] γεννάω[vpapnns] ἐκ[p] πνεῦμα[ngns] εἰμί[vipx3s] ἅγιος[agnsn]. **v.21** τίκτω[vifd3s] δέ[c] υἱός[nams] καί[c] καλέω[vifa2s] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] Ἰησοῦς[nams] αὐτός[rpnms] γάρ[c] σῴζω[vifa3s] ὁ[dams] λαός[nams] αὐτός[rpgms] ἀπό[p] ὁ[dgfp] ἁμαρτία[ngfp] αὐτός[rpgmp].

πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος,
Ἰδού, ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι 23
τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, Μεθ᾽
ἡμῶν ὁ Θεός. διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν 24
ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυ-
ναῖκα αὐτοῦ, καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱόν 25
αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἸΗΣΟΥΝ.

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέ- **2**
ραις Ἡρώδου τοῦ βασιλέως, ἰδού, μάγοι ἀπὸ ἀνατολῶν παρεγέ-
νοντο εἰς Ἱεροσόλυμα, λέγοντες, Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς 2
τῶν Ἰουδαίων· εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ
ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς 3
ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ᾽ αὐτοῦ. καὶ συναγαγὼν 4
πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο
παρ᾽ αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ, Ἐν 5
Βηθλεὲμ τῆς Ἰουδαίας, οὕτω γὰρ γέγραπται διὰ τοῦ προφή-
του, Καὶ σύ, Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς 6
ἡγεμόσιν Ἰούδα, ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποι-
μανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. τότε Ἡρώδης, λάθρᾳ καλέσας 7
τοὺς μάγους, ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου
ἀστέρος. καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπε, Πορευθέντες 8

---

v.22 οὗτος^{rdnns} δέ^{c} ὅλος^{annsn} γίνομαι^{vixa3s} ἵνα^{c} πληρόω^{vsap3s} ὁ^{dnns} λέγω^{vpapnns} ὑπό^{p} ὁ^{dgms} κύριος^{ngms} διά^{p} ὁ^{dgms} προφήτης^{ngms} λέγω^{vppagns}. **v.23** ἰδού^{vdaa2s} ὁ^{dnfs} παρθένος^{nnfs} ἐν^{p} γαστήρ^{ndfs} ἔχω^{vifa3s} καί^{c} τίκτω^{vifd3s} υἱός^{nams} καί^{c} καλέω^{vifa3p} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} Ἐμμανουήλ^{tp} ὅς^{rrnns} εἰμί^{vipx3s} μεθερμηνεύω^{vpppnns} μετά^{p} ἐγώ$^{rpg-p}$ ὁ^{dnms} θεός^{nnms}. **v.24** διεγείρω^{vpapnms} δέ^{c} ὁ^{dnms} Ἰωσήφ^{tp} ἀπό^{p} ὁ^{dgms} ὕπνος^{ngms} ποιέω^{viaa3s} ὡς^{bo} προστάσσω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} ἄγγελος^{nnms} κύριος^{ngms} καί^{c} παραλαμβάνω^{viaa3s} ὁ^{dafs} γυνή^{nafs} αὐτός^{rpgms}. **v.25** καί^{c} οὐ^{xo} γινώσκω^{viia3s} αὐτός^{rpafs} ἕως^{c} ὅς^{bo} τίκτω^{viaa3s} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgfs} ὁ^{dams} πρωτότοκος^{aamsn} καί^{c} καλέω^{viaa3s} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} Ἰησοῦς^{nams}. **2. v.1** ὁ^{dgms} δέ^{c} Ἰησοῦς^{ngms} γεννάω^{vpapgms} ἐν^{p} Βηθλέεμ^{tp} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ἐν^{p} ἡμέρα^{ndfp} Ἡρῴδης^{ngms} ὁ^{dgms} βασιλεύς^{ngms} ἰδού^{vdaa2s} μάγος^{nnmp} ἀπό^{p} ἀνατολή^{ngfp} παραγίνομαι^{viad3p} εἰς^{p} Ἱεροσόλυμα^{nafs}. **v.2** λέγω^{vppanmp} ποῦ^{xo} εἰμί^{vipx3s} ὁ^{dnms} τίκτω^{vpapnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ὁράω^{viaa1p} γάρ^{c} αὐτός^{rpgms} ὁ^{dams} ἀστήρ^{nams} ἐν^{p} ὁ^{ddfs} ἀνατολή^{ndfs} καί^{c} ἔρχομαι^{viaa1p} προσκυνέω^{vnaa} αὐτός^{rpdms}. **v.3** ἀκούω^{vpaanms} δέ^{c} Ἡρῴδης^{nnms} ὁ^{dnms} βασιλεύς^{nnms} ταράσσω^{viap3s} καί^{c} πᾶς^{anfsn} Ἱεροσόλυμα^{nnfs} μετά^{p} αὐτός^{rpgms}. **v.4** καί^{c} συνάγω^{vpaanms} πᾶς^{aampn} ὁ^{damp} ἀρχιερεύς^{namp} καί^{c} γραμματεύς^{namp} ὁ^{dgms} λαός^{ngms} πυνθάνομαι^{viin3s} παρά^{p} αὐτός^{rpgmp} ποῦ^{xo} ὁ^{dnms} Χριστός^{nnms} γεννάω^{vipp3s}. **v.5** ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} ἐν^{p} Βηθλέεμ^{tp} ὁ^{dgfs} Ἰουδαία^{ngfs} οὕτω^{bo} γάρ^{c} γράφω^{vixp3s} διά^{p} ὁ^{dgms} προφήτης^{ngms}. **v.6** καί^{c} σύ$^{rpn-s}$ Βηθλέεμ^{tp} γῆ^{nvfs} Ἰούδας^{ngms} οὐδαμῶς^{bo} ἐλάχιστος^{anfsn} εἰμί^{vipx2s} ἐν^{p} ὁ^{ddmp} ἡγεμών^{ndmp} Ἰούδας^{ngms} ἐκ^{p} σύ$^{rpg-s}$ γάρ^{c} ἐξέρχομαι^{vifd3s} ἡγέομαι^{vppnnms} ὅστις^{rrnms} ποιμαίνω^{vifa3s} ὁ^{dams} λαός^{nams} ἐγώ$^{rpg-s}$ ὁ^{dams} Ἰσραήλ^{tp}. **v.7** τότε^{bo} Ἡρῴδης^{nnms} λάθρᾳ^{bo} καλέω^{vpaanms} ὁ^{damp} μάγος^{namp} ἀκριβόω^{viaa3s} παρά^{p} αὐτός^{rpgmp} ὁ^{dams} χρόνος^{nams} ὁ^{dgms} φαίνω^{vppegms} ἀστήρ^{ngms}.

ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγεί-
9 λατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκού-
σαντες τοῦ βασιλέως ἐπορεύθησαν, καὶ ἰδού, ὁ ἀστὴρ, ὃν εἶδον
ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν
10 τὸ παιδίον. ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην
11 σφόδρα. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ
Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐ-
τῷ, καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ
12 δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν. καὶ χρηματισθέντες
κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώ-
13 ρησαν εἰς τὴν χώραν αὐτῶν. Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ,
ἄγγελος Κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ Ἰωσήφ, λέγων, Ἐγερ-
θεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς
Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι, μέλλει γὰρ Ἡρώδης
14 ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. ὁ δὲ ἐγερθεὶς παρέλαβε
τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτός καὶ ἀνεχώρησεν εἰς
15 Αἴγυπτον, καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου, ἵνα πλη-
ρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος,
16 Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. τότε Ἡρώδης, ἰδὼν ὅτι
ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀ-
νεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς
ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν

---

v.8 καί[c] πέμπω[vpaanms] αὐτός[rpamp] εἰς[p] Βηθλέεμ[tp] λέγω[viaa3s] πορεύομαι[vpaonmp] ἀκριβῶς[bo] ἐξετάζω[vdaa2p] περί[p] ὁ[dgns] παιδίον[ngns] ἐπάν[c] δέ[c] εὑρίσκω[vsaa2p] ἀπαγγέλλω[vdaa2p] ἐγώ[rpd-s] ὅπως[bo] κἀγώ[rpn-s] ἔρχομαι[vpaanms] προσκυνέω[vsaa1s] αὐτός[rpdms]. **v.9** ὁ[dnmp] δέ[c] ἀκούω[vpaanmp] ὁ[dgms] βασιλεύς[ngms] πορεύομαι[viao3p] καί[c] ἰδού[vdaa2s] ὁ[dnms] ἀστήρ[nnms] ὅς[rrams] ὁράω[viaa3p] ἐν[p] ὁ[ddfs] ἀνατολή[ndfs] προάγω[viia3s] αὐτός[rpamp] ἕως[c] ἔρχομαι[vpaanms] ἵστημι[viaa3s] ἐπάνω[bo] ὅς[bo] εἰμί[viix3s] ὁ[dnns] παιδίον[nnns]. **v.10** ὁράω[vpaanmp] δέ[c] ὁ[dams] ἀστήρ[nams] χαίρω[viao3p] χαρά[nafs] μέγας[aafsn] σφόδρα[bo]. **v.11** καί[c] ἔρχομαι[vpaanmp] εἰς[p] ὁ[dafs] οἰκία[nafs] ὁράω[viaa3p] ὁ[dans] παιδίον[nans] μετά[p] Μαρία[ngfs] ὁ[dgfs] μήτηρ[ngfs] αὐτός[rpgns] καί[c] πίπτω[vpaanmp] προσκυνέω[viaa3p] αὐτός[rpdms] καί[c] ἀνοίγω[vpaanmp] ὁ[damp] θησαυρός[namp] αὐτός[rpgmp] προσφέρω[viaa3p] αὐτός[rpdms] δῶρον[nanp] χρυσός[nams] καί[c] λίβανος[nams] καί[c] σμύρνα[nafs]. **v.12** καί[c] χρηματίζω[vpapnmp] κατά[p] ὄναρ[to] μή[xo] ἀνακάμπτω[vnaa] πρός[p] Ἡρῴδης[nams] διά[p] ἄλλος[agfsn] ὁδός[ngfs] ἀναχωρέω[viaa3p] εἰς[p] ὁ[dafs] χώρα[nafs] αὐτός[rpgmp]. **v.13** ἀναχωρέω[vpaagmp] δέ[c] αὐτός[rpgmp] ἰδού[vdaa2s] ἄγγελος[nnms] κύριος[ngms] φαίνω[vipe3s] κατά[p] ὄναρ[to] ὁ[ddms] Ἰωσήφ[tp] λέγω[vppanms] ἐγείρω[vpapnms] παραλαμβάνω[vdaa2s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] φεύγω[vdpa2s] εἰς[p] Αἴγυπτος[nafs] καί[c] εἰμί[vdpx2s] ἐκεῖ[bo] ἕως[c] ἄν[xo] λέγω[vsaa1s] σύ[rpd-s] μέλλω[vipa3s] γάρ[c] Ἡρῴδης[nnms] ζητέω[vnpa] ὁ[dans] παιδίον[nans] ὁ[dgms] ἀπόλλυμι[vnaa] αὐτός[rpans]. **v.14** ὁ[dnms] δέ[c] ἐγείρω[vpapnms] παραλαμβάνω[viaa3s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] νύξ[ngfs] καί[c] ἀναχωρέω[viaa3s] εἰς[p] Αἴγυπτος[nafs]. **v.15** καί[c] εἰμί[viix3s] ἐκεῖ[bo] ἕως[c] ὁ[dgfs] τελευτή[ngfs] Ἡρῴδης[ngms] ἵνα[c] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] ὑπό[p] ὁ[dgms] κύριος[ngms] διά[p] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns] ἐκ[p] Αἴγυπτος[ngfs] καλέω[viaa1s] ὁ[dams] υἱός[nams] ἐγώ[rpg-s].

ἠκρίβωσε παρὰ τῶν μάγων. τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἰ- 17
ερεμίου τοῦ προφήτου, λέγοντος, Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, 18
θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ κλαίουσα τὰ
τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. τε- 19
λευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ
φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων, Ἐγερθεὶς παράλαβε τὸ 20
παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ,
τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. ὁ δὲ ἐ- 21
γερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ἦλθεν
εἰς γῆν Ἰσραήλ. ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς 22
Ἰουδαίας ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελ-
θεῖν, χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς
Γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζα- 23
ρέθ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος
κληθήσεται.

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτι- **3**
στής, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας. καὶ λέγων, Μετα- 2
νοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. οὗτος γάρ ἐστιν 3
ὁ ῥηθεὶς ὑπὸ Ἠσαΐου τοῦ προφήτου, λέγοντος, Φωνὴ βοῶντος
ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς

---

v.16 τότε[bo] Ἡρῴδης[nnms] ὁράω[vpaanms] ὅτι[c] ἐμπαίζω[viap3s] ὑπό[p] ὁ[dgmp] μάγος[ngmp] θυμόω[viap3s] λίαν[bo] καί[c] ἀποστέλλω[vpaanms] ἀναιρέω[viaa3s] πᾶς[aampn] ὁ[damp] παῖς[namp] ὁ[damp] ἐν[p] Βηθλέεμ[tp] καί[c] ἐν[p] πᾶς[adnpn] ὁ[ddnp] ὅριον[ndnp] αὐτός[rpgfs] ἀπό[p] διετής[agmsn] καί[c] κατωτέρω[bo] κατά[p] ὁ[dams] χρόνος[nams] ὅς[rrams] ἀκριβόω[viaa3s] παρά[p] ὁ[dgmp] μάγος[ngmp]. **v.17** τότε[bo] πληρόω[viap3s] ὁ[dnns] λέγω[vpapnns] ὑπό[p] Ἰερεμίας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns]. **v.18** φωνή[nnfs] ἐν[p] Ῥαμά[tp] ἀκούω[viap3s] θρῆνος[nnms] καί[c] κλαυθμός[nnms] καί[c] ὀδυρμός[nnms] πολύς[anmsn] Ῥαχήλ[tp] κλαίω[vppanfs] ὁ[danp] τέκνον[nanp] αὐτός[rpgfs] καί[c] οὐ[xo] θέλω[viia3s] παρακαλέω[vnap] ὅτι[c] οὐ[xo] εἰμί[vipx3p]. **v.19** τελευτάω[vpaagms] δέ[c] ὁ[dgms] Ἡρῴδης[ngms] ἰδού[vdaa2s] ἄγγελος[nnms] κύριος[ngms] κατά[p] ὄναρ[to] φαίνω[vipe3s] ὁ[ddms] Ἰωσήφ[tp] ἐν[p] Αἴγυπτος[ndfs]. **v.20** λέγω[vppanms] ἐγείρω[vpapnms] παραλαμβάνω[vdaa2s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] πορεύομαι[vdpn2s] εἰς[p] γῆ[nafs] Ἰσραήλ[tp] θνῄσκω[vixa3p] γάρ[c] ὁ[dnmp] ζητέω[vppanmp] ὁ[dafs] ψυχή[nafs] ὁ[dgns] παιδίον[ngns]. **v.21** ὁ[dnms] δέ[c] ἐγείρω[vpapnms] παραλαμβάνω[viaa3s] ὁ[dans] παιδίον[nans] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] ἔρχομαι[viaa3s] εἰς[p] γῆ[nafs] Ἰσραήλ[tp]. **v.22** ἀκούω[vpaanms] δέ[c] ὅτι[c] Ἀρχέλαος[nnms] βασιλεύω[vipa3s] ἐπί[p] ὁ[dgfs] Ἰουδαία[ngfs] ἀντί[p] Ἡρῴδης[ngms] ὁ[dgms] πατήρ[ngms] αὐτός[rpgms] φοβέομαι[viao3s] ἐκεῖ[bo] ἀπέρχομαι[vnaa] χρηματίζω[vpapnms] δέ[c] κατά[p] ὄναρ[to] ἀναχωρέω[viaa3s] εἰς[p] ὁ[danp] μέρος[nanp] ὁ[dgfs] Γαλιλαία[ngfs]. **v.23** καί[c] ἔρχομαι[vpaanms] κατοικέω[viaa3s] εἰς[p] πόλις[nafs] λέγω[vpppafs] Ναζαρά[tp] ὅπως[bo] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] διά[p] ὁ[dgmp] προφήτης[ngmp] ὅτι[c] Ναζωραῖος[nnms] καλέω[vifp3s]. **3. v.1** ἐν[p] δέ[c] ὁ[ddfp] ἡμέρα[ndfp] ἐκεῖνος[rddfp] παραγίνομαι[vipn3s] Ἰωάννης[nnms] ὁ[dnms] βαπτιστής[nnms] κηρύσσω[vppanms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ὁ[dgfs] Ἰουδαία[ngfs]. **v.2** καί[c] λέγω[vppanms] μετανοέω[vdpa2p] ἐγγίζω[vixa3s] γάρ[c] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp].

4 τρίβους αὐτοῦ. αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ
τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ,
5 ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. τότε ἐξεπορεύ-
ετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ
6 περίχωρος τοῦ Ἰορδάνου, καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ'
7 αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. ἰδὼν δὲ πολλοὺς
τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα
αὐτοῦ, εἶπεν αὐτοῖς, Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν
8 φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς· ποιήσατε οὖν καρποὺς ἀ-
9 ξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα
ἔχομεν τὸν Ἀβραάμ, λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν
10 λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη
πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, πᾶν οὖν δένδρον μὴ ποιοῦν
11 καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ἐγὼ μὲν βα-
πτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω μου ἐρχόμενος
ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βα-
12 στάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί, οὗ
τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ,
καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον
13 κατακαύσει πυρὶ ἀσβέστῳ. Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ

---

v.3 οὗτος[rdnms] γάρ[c] εἰμί[vipx3s] ὁ[dnms] λέγω[vpapnms] ὑπό[p] Ἠσαΐας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagms] φωνή[nnfs] βοάω[vppagms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ἑτοιμάζω[vdaa2p] ὁ[dafs] ὁδός[nafs] κύριος[ngms] εὐθύς[aafpn] ποιέω[vdpa2p] ὁ[dafp] τρίβος[nafp] αὐτός[rpgms]. **v.4** αὐτός[rpnms] δέ[c] ὁ[dnms] Ἰωάννης[nnms] ἔχω[viia3s] ὁ[dans] ἔνδυμα[nans] αὐτός[rpgms] ἀπό[p] θρίξ[ngfp] κάμηλος[ngms] καί[c] ζώνη[nafs] δερμάτινος[aafsn] περί[p] ὁ[dafs] ὀσφύς[nafs] αὐτός[rpgms] ὁ[dnfs] δέ[c] τροφή[nnfs] αὐτός[rpgms] εἰμί[viix3s] ἀκρίς[nnfp] καί[c] μέλι[nnns] ἄγριος[annsn]. **v.5** τότε[bo] ἐκπορεύομαι[viin3s] πρός[p] αὐτός[rpams] Ἱεροσόλυμα[nnfs] καί[c] πᾶς[anfsn] ὁ[dnfs] Ἰουδαία[nnfs] καί[c] πᾶς[anfsn] ὁ[dnfs] περίχωρος[anmsn] ὁ[dgms] Ἰορδάνης[ngms]. **v.6** καί[c] βαπτίζω[viip3p] ἐν[p] ὁ[ddms] Ἰορδάνης[ndms] ὑπό[p] αὐτός[rpgms] ἐξομολογέω[vppmnmp] ὁ[dafp] ἁμαρτία[nafp] αὐτός[rpgmp]. **v.7** ὁράω[vpaanms] δέ[c] πολύς[aampn] ὁ[dgmp] Φαρισαῖος[ngmp] καί[c] Σαδδουκαῖος[ngmp] ἔρχομαι[vppnamp] ἐπί[p] ὁ[dans] βάπτισμα[nans] αὐτός[rpgms] λέγω[viaa3s] αὐτός[rpdmp] γέννημα[nvnp] ἔχιδνα[ngfp] τίς[rqnms] ὑποδείκνυμι[viaa3s] σύ[rpd-p] φεύγω[vnaa] ἀπό[p] ὁ[dgfs] μέλλω[vppagfs] ὀργή[ngfs]. **v.8** ποιέω[vdaa2p] οὖν[c] καρπός[namp] ἄξιος[aampn] ὁ[dgfs] μετάνοια[ngfs]. **v.9** καί[c] μή[xo] δοκέω[vsaa2p] λέγω[vnpa] ἐν[p] ἑαυτοῦ[rxdmp] πατήρ[nams] ἔχω[vipa1p] ὁ[dams] Ἀβραάμ[tp] λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] δύναμαι[vipn3s] ὁ[dnms] θεός[nnms] ἐκ[p] ὁ[dgmp] λίθος[ngmp] οὗτος[rdgmp] ἐγείρω[vnaa] τέκνον[nanp] ὁ[ddms] Ἀβραάμ[tp]. **v.10** ἤδη[bo] δέ[c] καί[c] ὁ[dnfs] ἀξίνη[nnfs] πρός[p] ὁ[dafs] ῥίζα[nafs] ὁ[dgnp] δένδρον[ngnp] κεῖμαι[vipn3s] πᾶς[annsn] οὖν[c] δένδρον[nnns] μή[xo] ποιέω[vppanns] καρπός[nams] καλός[aamsn] ἐκκόπτω[vipp3s] καί[c] εἰς[p] πῦρ[nans] βάλλω[vipp3s]. **v.11** ἐγώ[rpn-s] μέν[xo] βαπτίζω[vipa1s] σύ[rpa-p] ἐν[p] ὕδωρ[ndns] εἰς[p] μετάνοια[nafs] ὁ[dnms] δέ[c] ὀπίσω[bo] ἐγώ[rpg-s] ἔρχομαι[vppnnms] ἰσχυρός[anmsc] ἐγώ[rpg-s] εἰμί[vipx3s] ὅς[rrgms] οὐ[xo] εἰμί[vipx1s] ἱκανός[anmsn] ὁ[danp] ὑπόδημα[nanp] βαστάζω[vnaa] αὐτός[rpnms] σύ[rpa-p] βαπτίζω[vifa3s] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn] καί[c] πῦρ[ndns]. **v.12** ὅς[rrgms] ὁ[dnns] πτύον[nnns] ἐν[p] ὁ[ddfs] χείρ[ndfs] αὐτός[rpgms] καί[c] διακαθαρίζω[vifa3s] ὁ[dafs] ἅλων[nafs] αὐτός[rpgms] καί[c] συνάγω[vifa3s] ὁ[dams] σῖτος[nams] αὐτός[rpgms] εἰς[p] ὁ[dafs] ἀποθήκη[nafs] ὁ[dans] δέ[c] ἄχυρον[nans] κατακαίω[vifa3s] πῦρ[ndns] ἄσβεστος[adnsn].

τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτι-
σθῆναι ὑπ' αὐτοῦ. ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων, Ἐγὼ 14
χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με· ἀ- 15
ποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν, Ἄφες ἄρτι, οὕτω γὰρ
πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν
αὐτόν. καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος, 16
καὶ ἰδού, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα
τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχόμενον ἐπ' αὐτόν.
καὶ ἰδού, φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα, Οὗτός ἐστιν ὁ υἱός 17
μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος, **4**
πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. καὶ νηστεύσας ἡμέρας τεσ- 2
σαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε. καὶ 3
προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ
ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀποκριθεὶς εἶπε, Γέ- 4
γραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ
ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Τότε παραλαμβά- 5
νει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν
ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ λέγει αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ 6
Θεοῦ, βάλε σεαυτὸν κάτω, γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις
αὐτοῦ ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε

---

v.13 τότε[bo] παραγίνομαι[vipn3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἀπό[p] ὁ[dgfs] Γαλιλαία[ngfs] ἐπί[p] ὁ[dams] Ἰορδάνης[nams] πρός[p] ὁ[dams] Ἰωάννης[nams] ὁ[dgms] βαπτίζω[vnap] ὑπό[p] αὐτός[rpgms]. **v.14** ὁ[dnms] δέ[c] Ἰωάννης[nnms] διακωλύω[viia3s] αὐτός[rpams] λέγω[vppanms] ἐγώ[rpn-s] χρεία[nafs] ἔχω[vipa1s] ὑπό[p] σύ[rpg-s] βαπτίζω[vnap] καί[c] σύ[rpn-s] ἔρχομαι[vipn2s] πρός[p] ἐγώ[rpa-s]. **v.15** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] πρός[p] αὐτός[rpams] ἀφίημι[vdaa2s] ἄρτι[bo] οὕτω[bo] γάρ[c] πρέπω[vppqnns] εἰμί[vipx3s] ἐγώ[rpd-p] πληρόω[vnaa] πᾶς[aafsn] δικαιοσύνη[nafs] τότε[bo] ἀφίημι[vipa3s] αὐτός[rpams]. **v.16** καί[c] βαπτίζω[vpapnms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀναβαίνω[viaa3s] εὐθύς[bo] ἀπό[p] ὁ[dgns] ὕδωρ[ngns] καί[c] ἰδού[vdaa2s] ἀνοίγω[viap3p] αὐτός[rpdms] ὁ[dnmp] οὐρανός[nnmp] καί[c] ὁράω[viaa3s] ὁ[dans] πνεῦμα[nans] ὁ[dgms] θεός[ngms] καταβαίνω[vppaans] ὡσεί[bo] περιστερά[nafs] καί[c] ἔρχομαι[vppnans] ἐπί[p] αὐτός[rpams]. **v.17** καί[c] ἰδού[vdaa2s] φωνή[nnfs] ἐκ[p] ὁ[dgmp] οὐρανός[ngmp] λέγω[vppanfs] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἀγαπητός[anmsn] ἐν[p] ὅς[rrdms] εὐδοκέω[viaa1s]. **4. v.1** τότε[bo] ὁ[dnms] Ἰησοῦς[nnms] ἀνάγω[viap3s] εἰς[p] ὁ[dafs] ἔρημος[aafsn] ὑπό[p] ὁ[dgns] πνεῦμα[ngns] πειράζω[vnap] ὑπό[p] ὁ[dgms] διάβολος[agmsn]. **v.2** καί[c] νηστεύω[vpaanms] ἡμέρα[nafp] τεσσεράκοντα[tn] καί[c] νύξ[nafp] τεσσεράκοντα[tn] ὕστερος[bo] πεινάω[viaa3s]. **v.3** καί[c] προσέρχομαι[vpaanms] αὐτός[rpdms] ὁ[dnms] πειράζω[vppanms] λέγω[viaa3s] εἰ[qo] υἱός[nnms] εἰμί[vipx2s] ὁ[dgms] θεός[ngms] λέγω[vdaa2s] ἵνα[c] ὁ[dnmp] λίθος[nnmp] οὗτος[rdnmp] ἄρτος[nnmp] γίνομαι[vsad3p]. **v.4** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] γράφω[vixp3s] οὐ[xo] ἐπί[p] ἄρτος[ndms] μόνος[admsn] ζάω[vifd3s] ἄνθρωπος[nnms] ἀλλά[c] ἐπί[p] πᾶς[adnsn] ῥῆμα[ndns] ἐκπορεύομαι[vppndns] διά[p] στόμα[ngns] θεός[ngms]. **v.5** τότε[bo] παραλαμβάνω[vipa3s] αὐτός[rpams] ὁ[dnms] διάβολος[anmsn] εἰς[p] ὁ[dafs] ἅγιος[aafsn] πόλις[nafs] καί[c] ἵστημι[vipa3s] αὐτός[rpams] ἐπί[p] ὁ[dans] πτερύγιον[nans] ὁ[dgns] ἱερόν[ngns].

7 προσκόψῃς πρὸς λίθον τὸν πόδα σοῦ. ἔφη αὐτῷ ὁ Ἰησοῦς,
8 Πάλιν γέγραπται, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. πά-
λιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ
δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δό-
9 ξαν αὐτῶν, καὶ λέγει αὐτῷ, Ταῦτά πάντα σοι δώσω, ἐὰν πεσὼν
10 προσκυνήσῃς μοι. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε, Σατα-
νᾶ. γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ
11 αὐτῷ μόνῳ λατρεύσεις. τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ
12 ἰδού, ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ. Ἀκούσας δὲ ὁ
Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν,
13 καὶ καταλιπὼν τὴν Ναζαρέθ, ἐλθὼν κατῴκησεν εἰς Καπερνα-
οὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ,
14 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου, λέγοντος,
15 Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ
16 Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει
εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου
17 φῶς ἀνέτειλεν αὐτοῖς. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν
καὶ λέγειν, Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.
18 Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδε
δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν
ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν,

---

v.6 καί$^{\text{c}}$ λέγω$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpdms}}$ εἰ$^{\text{qo}}$ υἱός$^{\text{nnms}}$ εἰμί$^{\text{vipx2s}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngms}}$ βάλλω$^{\text{vdaa2s}}$ σεαυτοῦ$^{\text{rxams}}$ κάτω$^{\text{p}}$ γράφω$^{\text{vixp3s}}$ γάρ$^{\text{c}}$ ὅτι$^{\text{c}}$ ὁ$^{\text{ddmp}}$ ἄγγελος$^{\text{ndmp}}$ αὐτός$^{\text{rpgms}}$ ἐντέλλομαι$^{\text{vifn3s}}$ περί$^{\text{p}}$ σύ$^{\text{rpg-s}}$ καί$^{\text{c}}$ ἐπί$^{\text{p}}$ χείρ$^{\text{ngfp}}$ αἴρω$^{\text{vifa3p}}$ σύ$^{\text{rpa-s}}$ μήποτε$^{\text{bo}}$ προσκόπτω$^{\text{vsaa2s}}$ πρός$^{\text{p}}$ λίθος$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ πούς$^{\text{nams}}$ σύ$^{\text{rpg-s}}$. **v.7** φημί$^{\text{viix3s}}$ αὐτός$^{\text{rpdms}}$ ὁ$^{\text{dnms}}$ Ἰησοῦς$^{\text{nnms}}$ πάλιν$^{\text{bo}}$ γράφω$^{\text{vixp3s}}$ οὐ$^{\text{xo}}$ ἐκπειράζω$^{\text{vifa2s}}$ κύριος$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ θεός$^{\text{nams}}$ σύ$^{\text{rpg-s}}$. **v.8** πάλιν$^{\text{bo}}$ παραλαμβάνω$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpams}}$ ὁ$^{\text{dnms}}$ διάβολος$^{\text{anmsn}}$ εἰς$^{\text{p}}$ ὄρος$^{\text{nans}}$ ὑψηλός$^{\text{aansn}}$ λίαν$^{\text{bo}}$ καί$^{\text{c}}$ δείκνυμι$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpdms}}$ πᾶς$^{\text{aafpn}}$ ὁ$^{\text{dafp}}$ βασιλεία$^{\text{nafp}}$ ὁ$^{\text{dgms}}$ κόσμος$^{\text{ngms}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dafs}}$ δόξα$^{\text{nafs}}$ αὐτός$^{\text{rpgfp}}$. **v.9** καί$^{\text{c}}$ λέγω$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpdms}}$ οὗτος$^{\text{rdanp}}$ πᾶς$^{\text{aanpn}}$ σύ$^{\text{rpd-s}}$ δίδωμι$^{\text{vifa1s}}$ ἐάν$^{\text{qo}}$ πίπτω$^{\text{vpaanms}}$ προσκυνέω$^{\text{vsaa2s}}$ ἐγώ$^{\text{rpd-s}}$. **v.10** τότε$^{\text{bo}}$ λέγω$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpdms}}$ ὁ$^{\text{dnms}}$ Ἰησοῦς$^{\text{nnms}}$ ὑπάγω$^{\text{vdpa2s}}$ Σατανᾶς$^{\text{nvms}}$ γράφω$^{\text{vixp3s}}$ γάρ$^{\text{c}}$ κύριος$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ θεός$^{\text{nams}}$ σύ$^{\text{rpg-s}}$ προσκυνέω$^{\text{vifa2s}}$ καί$^{\text{c}}$ αὐτός$^{\text{rpdms}}$ μόνος$^{\text{admsn}}$ λατρεύω$^{\text{vifa2s}}$. **v.11** τότε$^{\text{bo}}$ ἀφίημι$^{\text{vipa3s}}$ αὐτός$^{\text{rpams}}$ ὁ$^{\text{dnms}}$ διάβολος$^{\text{anmsn}}$ καί$^{\text{c}}$ ἰδού$^{\text{vdaa2s}}$ ἄγγελος$^{\text{nnmp}}$ προσέρχομαι$^{\text{viaa3p}}$ καί$^{\text{c}}$ διακονέω$^{\text{viia3p}}$ αὐτός$^{\text{rpdms}}$. **v.12** ἀκούω$^{\text{vpaanms}}$ δέ$^{\text{c}}$ ὁ$^{\text{dnms}}$ Ἰησοῦς$^{\text{nnms}}$ ὅτι$^{\text{c}}$ Ἰωάννης$^{\text{nnms}}$ παραδίδωμι$^{\text{viap3s}}$ ἀναχωρέω$^{\text{viaa3s}}$ εἰς$^{\text{p}}$ ὁ$^{\text{dafs}}$ Γαλιλαία$^{\text{nafs}}$. **v.13** καί$^{\text{c}}$ καταλείπω$^{\text{vpaanms}}$ ὁ$^{\text{dafs}}$ Ναζαρά$^{\text{tp}}$ ἔρχομαι$^{\text{vpaanms}}$ κατοικέω$^{\text{viaa3s}}$ εἰς$^{\text{p}}$ Καπερναούμ$^{\text{tp}}$ ὁ$^{\text{dafs}}$ παραθαλάσσιος$^{\text{aafsn}}$ ἐν$^{\text{p}}$ ὅριον$^{\text{ndnp}}$ Ζαβουλών$^{\text{tp}}$ καί$^{\text{c}}$ Νεφθαλίμ$^{\text{tp}}$. **v.14** ἵνα$^{\text{c}}$ πληρόω$^{\text{vsap3s}}$ ὁ$^{\text{dnns}}$ λέγω$^{\text{vpapnns}}$ διά$^{\text{p}}$ Ἠσαΐας$^{\text{ngms}}$ ὁ$^{\text{dgms}}$ προφήτης$^{\text{ngms}}$ λέγω$^{\text{vppagns}}$. **v.15** γῆ$^{\text{nnfs}}$ Ζαβουλών$^{\text{tp}}$ καί$^{\text{c}}$ γῆ$^{\text{nnfs}}$ Νεφθαλίμ$^{\text{tp}}$ ὁδός$^{\text{nafs}}$ θάλασσα$^{\text{ngfs}}$ πέραν$^{\text{bo}}$ ὁ$^{\text{dgms}}$ Ἰορδάνης$^{\text{ngms}}$ Γαλιλαία$^{\text{nnfs}}$ ὁ$^{\text{dgnp}}$ ἔθνος$^{\text{ngnp}}$. **v.16** ὁ$^{\text{dnms}}$ λαός$^{\text{nnms}}$ ὁ$^{\text{dnms}}$ κάθημαι$^{\text{vppnnms}}$ ἐν$^{\text{p}}$ σκότος$^{\text{ndns}}$ οἶδα$^{\text{viaa3s}}$ φῶς$^{\text{nans}}$ μέγας$^{\text{aansn}}$ καί$^{\text{c}}$ ὁ$^{\text{ddmp}}$ κάθημαι$^{\text{vppndmp}}$ ἐν$^{\text{p}}$ χώρα$^{\text{ndfs}}$ καί$^{\text{c}}$ σκιά$^{\text{ndfs}}$ θάνατος$^{\text{ngms}}$ φῶς$^{\text{nnns}}$ ἀνατέλλω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpdmp}}$. **v.17** ἀπό$^{\text{p}}$ τότε$^{\text{bo}}$ ἄρχω$^{\text{viad3s}}$ ὁ$^{\text{dnms}}$ Ἰησοῦς$^{\text{nnms}}$ κηρύσσω$^{\text{vnpa}}$ καί$^{\text{c}}$ λέγω$^{\text{vnpa}}$ μετανοέω$^{\text{vdpa2p}}$ ἐγγίζω$^{\text{vixa3s}}$ γάρ$^{\text{c}}$ ὁ$^{\text{dnfs}}$ βασιλεία$^{\text{nnfs}}$ ὁ$^{\text{dgmp}}$ οὐρανός$^{\text{ngmp}}$.

ἦσαν γὰρ ἁλιεῖς. καὶ λέγει αὐτοῖς, Δεῦτε ὀπίσω μου, καὶ ποι- 19
ήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα 20
ἠκολούθησαν αὐτῷ. καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο 21
ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελ-
φὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν,
καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. οἱ δὲ 22
εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν
αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίᾳ ὁ Ἰησοῦς, διδάσκων 23
ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς
βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν
ἐν τῷ λαῷ. καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, 24
καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις
νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους, καὶ
σεληνιαζομένους, καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς.
καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ 25
Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰ-
ορδάνου.

Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος. καὶ καθίσαντος αὐ- **5**
τοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα 2
αὐτοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύ- 3

---

v.18 περιπατέω^{vppanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} παρά^{p} ὁ^{dafs} θάλασσα^{nafs} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ὁράω^{viaa3s} δύο^{tn} ἀδελφός^{namp} Σίμων^{nams} ὁ^{dams} λέγω^{vpppams} Πέτρος^{nams} καί^{c} Ἀνδρέας^{nams} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} βάλλω^{vppaamp} ἀμφίβληστρον^{nans} εἰς^{p} ὁ^{dafs} θάλασσα^{nafs} εἰμί^{viix3p} γάρ^{c} ἁλιεύς^{nnmp}. **v.19** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} δεῦτε^{vdvx2p} ὀπίσω^{bo} ἐγώ$^{rpg-s}$ καί^{c} ποιέω^{vifa1s} σύ$^{rpa-p}$ ἁλιεύς^{namp} ἄνθρωπος^{ngmp}. **v.20** ὁ^{dnmp} δέ^{c} εὐθέως^{bo} ἀφίημι^{vpaanmp} ὁ^{danp} δίκτυον^{nanp} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms}. **v.21** καί^{c} προβαίνω^{vpaanms} ἐκεῖθεν^{bo} ὁράω^{viaa3s} ἄλλος^{aampn} δύο^{tn} ἀδελφός^{namp} Ἰάκωβος^{nams} ὁ^{dams} ὁ^{dgms} Ζεβεδαῖος^{ngms} καί^{c} Ἰωάννης^{nams} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddns} πλοῖον^{ndns} μετά^{p} Ζεβεδαῖος^{ngms} ὁ^{dgms} πατήρ^{ngms} αὐτός^{rpgmp} καταρτίζω^{vppaamp} ὁ^{danp} δίκτυον^{nanp} αὐτός^{rpgmp} καί^{c} καλέω^{viaa3s} αὐτός^{rpamp}. **v.22** ὁ^{dnmp} δέ^{c} εὐθέως^{bo} ἀφίημι^{vpaanmp} ὁ^{dans} πλοῖον^{nans} καί^{c} ὁ^{dams} πατήρ^{nams} αὐτός^{rpgmp} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms}. **v.23** καί^{c} περιάγω^{viia3s} ὅλος^{aafsn} ὁ^{dafs} Γαλιλαία^{nafs} ὁ^{dnms} Ἰησοῦς^{nnms} διδάσκω^{vppanms} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} αὐτός^{rpgmp} καί^{c} κηρύσσω^{vppanms} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgfs} βασιλεία^{ngfs} καί^{c} θεραπεύω^{vppanms} πᾶς^{aafsn} νόσος^{nafs} καί^{c} πᾶς^{aafsn} μαλακία^{nafs} ἐν^{p} ὁ^{ddms} λαός^{ndms}. **v.24** καί^{c} ἀπέρχομαι^{viaa3s} ὁ^{dnfs} ἀκοή^{nnfs} αὐτός^{rpgms} εἰς^{p} ὅλος^{aafsn} ὁ^{dafs} Συρία^{nafs} καί^{c} προσφέρω^{viaa3p} αὐτός^{rpdms} πᾶς^{aampn} ὁ^{damp} κακῶς^{bo} ἔχω^{vppaamp} ποικίλος^{adfpn} νόσος^{ndfp} καί^{c} βάσανος^{ndfp} συνέχω^{vpppamp} καί^{c} δαιμονίζομαι^{vppnamp} καί^{c} σεληνιάζομαι^{vppnamp} καί^{c} παραλυτικός^{aampn} καί^{c} θεραπεύω^{viaa3s} αὐτός^{rpamp}. **v.25** καί^{c} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms} ὄχλος^{nnmp} πολύς^{anmpn} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} καί^{c} Δεκάπολις^{ngfs} καί^{c} Ἱεροσόλυμα^{ngnp} καί^{c} Ἰουδαία^{ngfs} καί^{c} πέραν^{bo} ὁ^{dgms} Ἰορδάνης^{ngms}. **5. v.1** ὁράω^{vpaanms} δέ^{c} ὁ^{damp} ὄχλος^{namp} ἀναβαίνω^{viaa3s} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} καί^{c} καθίζω^{vpaagms} αὐτός^{rpgms} προσέρχομαι^{viaa3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.2** καί^{c} ἀνοίγω^{vpaanms} ὁ^{dans} στόμα^{nans} αὐτός^{rpgms} διδάσκω^{viia3s} αὐτός^{rpamp} λέγω^{vppanms}.

4 ματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ
5 πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πρᾳ-
6 εῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶν-
τες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.
7, 8 Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ
9 καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ
10 εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μακάριοι οἱ
δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν
11 οὐρανῶν. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι,
καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν ψευδόμενοι, ἕνεκεν
12 ἐμοῦ, χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν
τοῖς οὐρανοῖς, οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑ-
13 μῶν. Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν
τίνι ἁλισθήσεται· εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω καὶ
14 καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. ὑμεῖς ἐστε τὸ φῶς τοῦ κό-
15 σμου, οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ
καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν
16 λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. οὕτω λαμψάτω τὸ
φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ κα-
λὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.
17 Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας,

---

v.3 μακάριος[anmpn] ὁ[dnmp] πτωχός[anmpn] ὁ[ddns] πνεῦμα[ndns] ὅτι[c] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.4** μακάριος[anmpn] ὁ[dnmp] πενθέω[vppanmp] ὅτι[c] αὐτός[rpnmp] παρακαλέω[vifp3p]. **v.5** μακάριος[anmpn] ὁ[dnmp] πραΰς[anmpn] ὅτι[c] αὐτός[rpnmp] κληρονομέω[vifa3p] ὁ[dafs] γῆ[nafs]. **v.6** μακάριος[anmpn] ὁ[dnmp] πεινάω[vppanmp] καί[c] διψάω[vppanmp] ὁ[dafs] δικαιοσύνη[nafs] ὅτι[c] αὐτός[rpnmp] χορτάζω[vifp3p]. **v.7** μακάριος[anmpn] ὁ[dnmp] ἐλεήμων[anmpn] ὅτι[c] αὐτός[rpnmp] ἐλεέω[vifp3p]. **v.8** μακάριος[anmpn] ὁ[dnmp] καθαρός[anmpn] ὁ[ddfs] καρδία[ndfs] ὅτι[c] αὐτός[rpnmp] ὁ[dams] θεός[nams] ὁράω[vifd3p]. **v.9** μακάριος[anmpn] ὁ[dnmp] εἰρηνοποιός[anmpn] ὅτι[c] αὐτός[rpnmp] υἱός[nnmp] θεός[ngms] καλέω[vifp3p]. **v.10** μακάριος[anmpn] ὁ[dnmp] διώκω[vpxpnmp] ἕνεκα[bo] δικαιοσύνη[ngfs] ὅτι[c] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.11** μακάριος[anmpn] εἰμί[vipx2p] ὅταν[c] ὀνειδίζω[vsaa3p] σύ[rpa-p] καί[c] διώκω[vsaa3p] καί[c] λέγω[vsaa3p] πᾶς[aansn] πονηρός[aansn] ῥῆμα[nans] κατά[p] σύ[rpg-p] ψεύδομαι[vppenmp] ἕνεκα[bo] ἐγώ[rpg-s]. **v.12** χαίρω[vdpa2p] καί[c] ἀγαλλιάω[vdpn2p] ὅτι[c] ὁ[dnms] μισθός[nnms] σύ[rpg-p] πολύς[anmsn] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] οὕτω[bo] γάρ[c] διώκω[viaa3p] ὁ[damp] προφήτης[namp] ὁ[damp] πρό[p] σύ[rpg-p]. **v.13** σύ[rpn-p] εἰμί[vipx2p] ὁ[dnns] ἅλας[nnns] ὁ[dgfs] γῆ[ngfs] ἐάν[qo] δέ[c] ὁ[dnns] ἅλας[nnns] μωραίνω[vsap3s] ἐν[p] τίς[rqdns] ἁλίζω[vifp3s] εἰς[p] οὐδείς[aansn] ἰσχύω[vipa3s] ἔτι[bo] εἰ[qo] μή[xo] βάλλω[vnap] ἔξω[bo] καί[c] καταπατέω[vnpp] ὑπό[p] ὁ[dgmp] ἄνθρωπος[ngmp]. **v.14** σύ[rpn-p] εἰμί[vipx2p] ὁ[dnns] φῶς[nnns] ὁ[dgms] κόσμος[ngms] οὐ[xo] δύναμαι[vipn3s] πόλις[nnfs] κρύπτω[vnap] ἐπάνω[bo] ὄρος[ngns] κεῖμαι[vppnnfs]. **v.15** οὐδέ[bo] καίω[vipa3p] λύχνος[nafs] καί[c] τίθημι[vipa3p] αὐτός[rpams] ὑπό[p] ὁ[dams] μόδιος[nams] ἀλλά[c] ἐπί[p] ὁ[dafs] λυχνία[nafs] καί[c] λάμπω[vipa3s] πᾶς[admpn] ὁ[ddmp] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs]. **v.16** οὕτω[bo] λάμπω[vdaa3s] ὁ[dnns] φῶς[nnns] σύ[rpg-p] ἔμπροσθεν[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] ὅπως[bo] ὁράω[vsaa3p] σύ[rpg-p] ὁ[danp] καλός[aanpn] ἔργον[nanp] καί[c] δοξάζω[vsaa3p] ὁ[dams] πατήρ[nams] σύ[rpg-p] ὁ[dams] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp].

οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. ἀμὴν γὰρ λέγω ὑμῖν, 18
ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ
μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. ὃς ἐὰν οὖν 19
λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω
τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐ-
ρανῶν, ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν
τῇ βασιλείᾳ τῶν οὐρανῶν. λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύ- 20
σῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων,
οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἠκούσατε 21
ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις, ὃς δ᾽ ἂν φονεύσῃ, ἔν-
οχος ἔσται τῇ κρίσει, ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος 22
τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει, ὃς δ᾽ ἂν εἴπῃ
τῷ ἀδελφῷ αὐτοῦ, ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ, ὃς δ᾽ ἂν
εἴπῃ, Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ἐὰν οὖν 23
προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς
ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου 24
ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι
τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. ἴσθι 25
εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ᾽ αὐ-
τοῦ, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτὴς σε

---

v.17 μή[xo] νομίζω[vsaa2p] ὅτι[c] ἔρχομαι[viaa1s] καταλύω[vnaa] ὁ[dams] νόμος[nams] ἤ[xo] ὁ[damp] προφήτης[namp] οὐ[xo] ἔρχομαι[viaa1s] καταλύω[vnaa] ἀλλά[c] πληρόω[vnaa]. **v.18** ἀμήν[th] γάρ[c] λέγω[vipa1s] σύ[rpd-p] ἕως[c] ἄν[xo] παρέρχομαι[vsaa3s] ὁ[dnms] οὐρανός[nnms] καί[c] ὁ[dnfs] γῆ[nnfs] ἰῶτα[tl] εἷς[nnns] ἤ[xo] εἷς[nnfs] κεραία[nnfs] οὐ[xo] μή[xo] παρέρχομαι[vsaa3s] ἀπό[p] ὁ[dgms] νόμος[ngms] ἕως[c] ἄν[xo] πᾶς[annpn] γίνομαι[vsad3s]. **v.19** ὅς[rrnms] ἐάν[qo] οὖν[c] λύω[vsaa3s] εἷς[nafs] ὁ[dgfp] ἐντολή[ngfp] οὗτος[rdgfp] ὁ[dgfp] ἐλάχιστος[agfpn] καί[c] διδάσκω[vsaa3s] οὕτω[bo] ὁ[damp] ἄνθρωπος[namp] ἐλάχιστος[anmsn] καλέω[vifp3s] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp] ὅς[rrnms] δέ[c] ἄν[xo] ποιέω[vsaa3s] καί[c] διδάσκω[vsaa3s] οὗτος[rdnms] μέγας[anmsn] καλέω[vifp3s] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.20** λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] ἐάν[qo] μή[xo] περισσεύω[vsaa3s] ὁ[dnfs] δικαιοσύνη[nnfs] σύ[rpg-p] πολύς[aansc] ὁ[dgmp] γραμματεύς[ngmp] καί[c] Φαρισαῖος[ngmp] οὐ[xo] μή[xo] εἰσέρχομαι[vsaa2p] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.21** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] φονεύω[vifa2s] ὅς[rrnms] δέ[c] ἄν[xo] φονεύω[vsaa3s] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddfs] κρίσις[ndfs]. **v.22** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] πᾶς[anmsn] ὁ[dnms] ὀργίζω[vpppnms] ὁ[ddms] ἀδελφός[ndms] αὐτός[rpgms] εἰκῇ[bo] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddfs] κρίσις[ndfs] ὅς[rrnms] δέ[c] ἄν[xo] λέγω[vsaa3s] ὁ[ddms] ἀδελφός[ndms] αὐτός[rpgms] ῥακά[ta] ἔνοχος[anmsn] εἰμί[vifx3s] ὁ[ddns] συνέδριον[ndns] ὅς[rrnms] δέ[c] ἄν[xo] λέγω[vsaa3s] μωρός[avmsn] ἔνοχος[anmsn] εἰμί[vifx3s] εἰς[p] ὁ[dafs] γέεννα[nafs] ὁ[dgns] πῦρ[ngns]. **v.23** ἐάν[qo] οὖν[c] προσφέρω[vspa2s] ὁ[dans] δῶρον[nans] σύ[rpg-s] ἐπί[p] ὁ[dans] θυσιαστήριον[nans] κἀκεῖ[bo] μιμνῄσκομαι[vsap2s] ὅτι[c] ὁ[dnms] ἀδελφός[nnms] σύ[rpg-s] ἔχω[vipa3s] τι-σριανσ κατά[p] σύ[rpg-s]. **v.24** ἀφίημι[vdaa2s] ἐκεῖ[bo] ὁ[dans] δῶρον[nans] σύ[rpg-s] ἔμπροσθεν[p] ὁ[dgns] θυσιαστήριον[ngns] καί[c] ὑπάγω[vdpa2s] πρῶτος[bo] διαλλάσσω[vdap2s] ὁ[ddms] ἀδελφός[ndms] σύ[rpg-s] καί[c] τότε[bo] ἔρχομαι[vpaanms] προσφέρω[vdpa2s] ὁ[dans] δῶρον[nans] σύ[rpg-s].

26 παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. ἀμὴν λέγω
σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κο-
27 δράντην. Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ μοιχεύσεις.
28 ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆ-
29 σαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἰ δὲ
ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε
ἀπὸ σοῦ, συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου,
30 καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. καὶ εἰ ἡ δεξιά
σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ,
συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον
31 τὸ σῶμά σου βληθῇ εἰς γέενναν. ἐρρέθη δὲ ὅτι Ὃς ἂν ἀπο-
32 λύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον, ἐγὼ δὲ λέγω
ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου
πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι, καὶ ὃς ἐὰν ἀπολελυμένην
33 γαμήσῃ μοιχᾶται, Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις,
Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου.
34 ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ, ὅτι
35 θρόνος ἐστὶ τοῦ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν
ποδῶν αὐτοῦ, μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγά-
36 λου βασιλέως, μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι

---

v.25 εἰμί[vdpx2s] εὐνοέω[vppanms] ὁ[ddms] ἀντίδικος[ndms] σύ[rpg-s] ταχύς[bo] ἕως[c] ὅστις[rrgns] εἰμί[vipx2s] ἐν[p] ὁ[ddfs] ὁδός[ndfs] μετά[p] αὐτός[rpgms] μήποτε[bo] σύ[rpa-s] παραδίδωμι[vsaa3s] ὁ[dnms] ἀντίδικος[nnms] ὁ[ddms] κριτής[ndms] καί[c] ὁ[dnms] κριτής[nnms] σύ[rpa-s] παραδίδωμι[vsaa3s] ὁ[ddms] ὑπηρέτης[ndms] καί[c] εἰς[p] φυλακή[nafs] βάλλω[vifp2s]. **v.26** ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] οὐ[xo] μή[xo] ἐξέρχομαι[vsaa2s] ἐκεῖθεν[bo] ἕως[c] ἄν[xo] ἀποδίδωμι[vsaa2s] ὁ[dams] ἔσχατος[aamsn] κοδράντης[nams]. **v.27** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] μοιχεύω[vifa2s]. **v.28** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] πᾶς[anmsn] ὁ[dnms] βλέπω[vppanms] γυνή[nafs] πρός[p] ὁ[dans] ἐπιθυμέω[vnaa] αὐτός[rpgfs] ἤδη[bo] μοιχεύω[viaa3s] αὐτός[rpafs] ἐν[p] ὁ[ddfs] καρδία[ndfs] αὐτός[rpgms]. **v.29** εἰ[qo] δέ[c] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] ὁ[dnms] δεξιός[anmsn] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐξαιρέω[vdaa2s] αὐτός[rpams] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] συμφέρω[vipa3s] γάρ[c] σύ[rpd-s] ἵνα[c] ἀπόλλυμι[vsam3s] εἷς[nans] ὁ[dgnp] μέλος[ngnp] σύ[rpg-s] καί[c] μή[xo] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] βάλλω[vsap3s] εἰς[p] γέεννα[nafs]. **v.30** καί[c] εἰ[qo] ὁ[dnfs] δεξιός[anfsn] σύ[rpg-s] χείρ[nnfs] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐκκόπτω[vdaa2s] αὐτός[rpafs] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] συμφέρω[vipa3s] γάρ[c] σύ[rpd-s] ἵνα[c] ἀπόλλυμι[vsam3s] εἷς[nans] ὁ[dgnp] μέλος[ngnp] σύ[rpg-s] καί[c] μή[xo] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] βάλλω[vsap3s] εἰς[p] γέεννα[nafs]. **v.31** λέγω[viap3s] δέ[c] ὅτι[c] ὅς[rrnms] ἄν[xo] ἀπολύω[vsaa3s] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] δίδωμι[vdaa3s] αὐτός[rpdfs] ἀποστάσιον[nans]. **v.32** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὅς[rrnms] ἄν[xo] ἀπολύω[vsaa3s] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] παρεκτός[bo] λόγος[ngms] πορνεία[ngfs] ποιέω[vipa3s] αὐτός[rpafs] μοιχάομαι[vnpn] καί[c] ὅς[rrnms] ἐάν[qo] ἀπολύω[vpxpafs] γαμέω[vsaa3s] μοιχάομαι[vipn3s]. **v.33** πάλιν[bo] ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὁ[ddmp] ἀρχαῖος[admpn] οὐ[xo] ἐπιορκέω[vifa2s] ἀποδίδωμι[vifa2s] δέ[c] ὁ[ddms] κύριος[ndms] ὁ[damp] ὅρκος[namp] σύ[rpg-s]. **v.34** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] ὀμνύω[vnaa] ὅλως[bo] μήτε[c] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] ὅτι[c] θρόνος[nnms] εἰμί[vipx3s] ὁ[dgms] θεός[ngms]. **v.35** μήτε[c] ἐν[p] ὁ[ddfs] γῆ[ndfs] ὅτι[c] ὑποπόδιον[nnns] εἰμί[vipx3s] ὁ[dgmp] πούς[ngmp] αὐτός[rpgms] μήτε[c] εἰς[p] Ἱεροσόλυμα[nafs] ὅτι[c] πόλις[nnfs] εἰμί[vipx3s] ὁ[dgms] μέγας[agmsn] βασιλεύς[ngms].

μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. ἔστω δὲ ὁ λόγος ὑμῶν, 37
ναὶ ναί, οὒ οὔ, τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.
Ἠκούσατε ὅτι ἐρρέθη, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα 38
ἀντὶ ὀδόντος, ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' 39
ὅστις σε ῥαπίσει ἐπί τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ
τὴν ἄλλην, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου 40
λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ ὅστις σε ἀγγαρεύσει μί- 41
λιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο. τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν 42
θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. Ἠκούσατε ὅτι 43
ἐρρέθη, Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν
σου, ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογειτε 44
τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς,
καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καὶ διωκόντων
ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, 45
ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ
βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. ἐὰν γὰρ ἀγαπήσητε τοὺς 46
ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε· οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐ-
τὸ ποιοῦσι· καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, 47
τί περισσὸν ποιεῖτε· οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν· ἔσε- 48
σθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς
τέλειός ἐστι.

---

v.36 μήτε[c] ἐν[p] ὁ[ddfs] κεφαλή[ndfs] σύ[rpg-s] ὀμνύω[vsaa2s] ὅτι[c] οὐ[xo] δύναμαι[vipn2s] εἷς[nafs] θρίξ[nafs] λευκός[aafsn] ἤ[xo] μέλας[aafsn] ποιέω[vnaa]. **v.37** εἰμί[vdpx3s] δέ[c] ὁ[dnms] λόγος[nnms] σύ[rpg-p] ναί[xo] ναί[xo] οὐ[xo] οὐ[xo] ὁ[dnns] δέ[c] περισσός[annsn] οὗτος[rdgmp] ἐκ[p] ὁ[dgms] πονηρός[agmsn] εἰμί[vipx3s]. **v.38** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ὀφθαλμός[nams] ἀντί[p] ὀφθαλμός[ngms] καί[c] ὀδούς[nams] ἀντί[p] ὀδούς[ngms]. **v.39** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] ἀνθίστημι[vnaa] ὁ[ddms] πονηρός[admsn] ἀλλά[c] ὅστις[rrnms] σύ[rpa-s] ῥαπίζω[vifa3s] ἐπί[p] ὁ[dafs] δεξιός[aafsn] σύ[rpg-s] σιαγών[nafs] στρέφω[vdaa2s] αὐτός[rpdms] καί[c] ὁ[dafs] ἄλλος[aafsn]. **v.40** καί[c] ὁ[ddms] θέλω[vppadms] σύ[rpd-s] κρίνω[vnap] καί[c] ὁ[dams] χιτών[nams] σύ[rpg-s] λαμβάνω[vnaa] ἀφίημι[vdaa2s] αὐτός[rpdms] καί[c] ὁ[dans] ἱμάτιον[nans]. **v.41** καί[c] ὅστις[rrnms] σύ[rpa-s] ἀγγαρεύω[vifa3s] μίλιον[nans] εἷς[nans] ὑπάγω[vdpa2s] μετά[p] αὐτός[rpgms] δύο[tn]. **v.42** ὁ[ddms] αἰτέω[vppadms] σύ[rpa-s] δίδωμι[vdpa2s] καί[c] ὁ[dams] θέλω[vppaams] ἀπό[p] σύ[rpg-s] δανίζω[vnam] μή[xo] ἀποστρέφω[vsap2s]. **v.43** ἀκούω[viaa2p] ὅτι[c] λέγω[viap3s] ἀγαπάω[vifa2s] ὁ[dams] πλησίον[bo] σύ[rpg-s] καί[c] μισέω[vifa2s] ὁ[dams] ἐχθρός[aamsn] σύ[rpg-s]. **v.44** ἐγώ[rpn-s] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] ἀγαπάω[vdpa2p] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-p] εὐλογέω[vdpa2p] ὁ[damp] καταράομαι[vppnamp] σύ[rpa-p] καλῶς[bo] ποιέω[vdpa2p] ὁ[damp] μισέω[vppaamp] σύ[rpa-p] καί[c] προσεύχομαι[vdpn2p] ὑπέρ[p] ὁ[dgmp] ἐπηρεάζω[vppagmp] σύ[rpa-p] καί[c] διώκω[vppagmp] σύ[rpa-p]. **v.45** ὅπως[bo] γίνομαι[vsad2p] υἱός[nnmp] ὁ[dgms] πατήρ[ngms] σύ[rpg-p] ὁ[dgms] ἐν[p] οὐρανός[ndmp] ὅτι[c] ὁ[dams] ἥλιος[nams] αὐτός[rpgms] ἀνατέλλω[vipa3s] ἐπί[p] πονηρός[aampn] καί[c] ἀγαθός[aampn] καί[c] βρέχω[vipa3s] ἐπί[p] δίκαιος[aampn] καί[c] ἄδικος[aampn]. **v.46** ἐάν[qo] γάρ[c] ἀγαπάω[vsaa2p] ὁ[damp] ἀγαπάω[vppaamp] σύ[rpa-p] τίς[rqams] μισθός[nams] ἔχω[vipa2p] οὐχί[xo] καί[c] ὁ[dnmp] τελώνης[nnmp] ὁ[dans] αὐτός[rpans] ποιέω[vipa3p]. **v.47** καί[c] ἐάν[qo] ἀσπάζομαι[vsad2p] ὁ[damp] ἀδελφός[namp] σύ[rpg-p] μόνος[bo] τίς[rqans] περισσός[aansn] ποιέω[vipa2p] οὐχί[xo] καί[c] ὁ[dnmp] τελώνης[nnmp] οὕτω[bo] ποιέω[vipa3p]. **v.48** εἰμί[vifx2p] οὖν[c] σύ[rpn-p] τέλειος[anmpn] ὥσπερ[bo] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὁ[dnms] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] τέλειος[anmsn] εἰμί[vipx3s].

6 Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν
ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς, εἰ δὲ μήγε, μισθὸν οὐκ
2 ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Ὅταν οὖν
ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑ-
ποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως
δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων, ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν
3 μισθὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ
4 ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, ὅπως ᾖ σου ἡ ἐλεημοσύνη
ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς
5 ἀποδώσει σοι ἐν τῷ φανερῷ. Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσ-
περ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς
γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι
τοῖς ἀνθρώποις, ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐ-
6 τῶν. σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ
κλείσας τὴν θύραν σου, Πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυ-
πτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν
7 τῷ φανερῷ. Προσευχόμενοι δὲ μὴ βαττολογήσητε, ὥσπερ οἱ
ἐθνικοί, δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθή-
8 σονται. μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς, οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν
9 χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. οὕτως οὖν προσ-
εύχεσθε ὑμεῖς, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ

---

6. v.1 προσέχω[vdpa2p] ὁ[dafs] ἐλεημοσύνη[nafs] σύ[rpg-p] μή[xo] ποιέω[vnpa] ἔμπροσθεν[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] πρός[p] ὁ[dans] θεάομαι[vnap] αὐτός[rpdmp] εἰ[qo] δέ[c] μή[xo] μισθός[nams] οὐ[xo] ἔχω[vipa2p] παρά[p] ὁ[ddms] πατήρ[ndms] σύ[rpg-p] ὁ[ddms] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp]. **v.2** ὅταν[c] οὖν[c] ποιέω[vspa2s] ἐλεημοσύνη[nafs] μή[xo] σαλπίζω[vsaa2s] ἔμπροσθεν[p] σύ[rpg-s] ὥσπερ[bo] ὁ[dnmp] ὑποκριτής[nnmp] ποιέω[vipa3p] ἐν[p] ὁ[ddfp] συναγωγή[ndfp] καί[c] ἐν[p] ὁ[ddfp] ῥύμη[ndfp] ὅπως[bo] δοξάζω[vsap3p] ὑπό[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ἀπέχω[vipa3p] ὁ[dams] μισθός[nams] αὐτός[rpgmp]. **v.3** σύ[rpg-s] δέ[c] ποιέω[vppagms] ἐλεημοσύνη[nafs] μή[xo] γινώσκω[vdaa3s] ὁ[dnfs] ἀριστερός[anfsn] σύ[rpg-s] τίς[rqans] ποιέω[vipa3s] ὁ[dnfs] δεξιός[anfsn] σύ[rpg-s]. **v.4** ὅπως[bo] εἰμί[vspx3s] σύ[rpg-s] ὁ[dnfs] ἐλεημοσύνη[nnfs] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] καί[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-s] ὁ[dnms] βλέπω[vppanms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] αὐτός[rpnms] ἀποδίδωμι[vifa3s] σύ[rpd-s] ἐν[p] ὁ[ddns] φανερός[adnsn]. **v.5** καί[c] ὅταν[c] προσεύχομαι[vspn2s] οὐ[xo] εἰμί[vifx2s] ὥσπερ[bo] ὁ[dnmp] ὑποκριτής[nnmp] ὅτι[c] φιλέω[vipa3p] ἐν[p] ὁ[ddfp] συναγωγή[ndfp] καί[c] ἐν[p] ὁ[ddfp] γωνία[ndfp] ὁ[dgfp] πλατύς[ngfp] ἵστημι[vpxanmp] προσεύχομαι[vnpn] ὅπως[bo] ἄν[xo] φαίνω[vsap3p] ὁ[ddmp] ἄνθρωπος[ndmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἀπέχω[vipa3p] ὁ[dams] μισθός[nams] αὐτός[rpgmp]. **v.6** σύ[rpn-s] δέ[c] ὅταν[c] προσεύχομαι[vspn2s] εἰσέρχομαι[vdaa2s] εἰς[p] ὁ[dans] ταμεῖον[nnns] σύ[rpg-s] καί[c] κλείω[vpaanms] ὁ[dafs] θύρα[nafs] σύ[rpg-s] προσεύχομαι[vdad2s] ὁ[ddms] πατήρ[ndms] σύ[rpg-s] ὁ[ddms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] καί[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-s] ὁ[dnms] βλέπω[vppanms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] ἀποδίδωμι[vifa3s] σύ[rpd-s] ἐν[p] ὁ[ddns] φανερός[adnsn]. **v.7** προσεύχομαι[vppnnmp] δέ[c] μή[xo] βατταλογέω[vsaa2p] ὥσπερ[bo] ὁ[dnmp] ἐθνικός[anmpn] δοκέω[vipa3p] γάρ[c] ὅτι[c] ἐν[p] ὁ[ddfs] πολυλογία[ndfs] αὐτός[rpgmp] εἰσακούω[vifp3p]. **v.8** μή[xo] οὖν[c] ὁμοιόω[vsap2p] αὐτός[rpdmp] οἶδα[vixa3s] γάρ[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὅς[rrgnp] χρεία[nafs] ἔχω[vipa2p] πρό[p] ὁ[dgms] σύ[rpa-p] αἰτέω[vnaa] αὐτός[rpams].

ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, 10
ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον 11
δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς 12
καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς 13
ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι
σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.
ἀμήν. ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, 14
ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ἐὰν δὲ μὴ ἀφῆτε 15
τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀ-
φήσει τὰ παραπτώματα ὑμῶν. Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε 16
ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί, ἀφανίζουσι γὰρ τὰ πρόσωπα
αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες, ἀμὴν λέγω
ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ νηστεύων ἄλειψαί 17
σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς 18
τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ,
καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ
φανερῷ. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου 19
σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ
κλέπτουσι, θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου 20
οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσ-

---

v.9 οὕτω[bo] οὖν[c] προσεύχομαι[vdpn2p] σύ[rpn-p] πατήρ[nvms] ἐγώ[rpg-p] ὁ[dnms] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] ἁγιάζω[vdap3s] ὁ[dnns] ὄνομα[nnns] σύ[rpg-s]. **v.10** ἔρχομαι[vdaa3s] ὁ[dnfs] βασιλεία[nnfs] σύ[rpg-s] γίνομαι[vdao3s] ὁ[dnns] θέλημα[nnns] σύ[rpg-s] ὡς[bo] ἐν[p] οὐρανός[ndms] καί[c] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs]. **v.11** ὁ[dams] ἄρτος[nams] ἐγώ[rpg-p] ὁ[dams] ἐπιούσιος[aamsn] δίδωμι[vdaa2s] ἐγώ[rpd-p] σήμερον[bo]. **v.12** καί[c] ἀφίημι[vdaa2s] ἐγώ[rpd-p] ὁ[danp] ὀφείλημα[nanp] ἐγώ[rpg-p] ὡς[bo] καί[c] ἐγώ[rpn-p] ἀφίημι[vipa1p] ὁ[ddmp] ὀφειλέτης[ndmp] ἐγώ[rpg-p]. **v.13** καί[c] μή[xo] εἰσφέρω[vsaa2s] ἐγώ[rpa-p] εἰς[p] πειρασμός[nams] ἀλλά[c] ῥύομαι[vdad2s] ἐγώ[rpa-p] ἀπό[p] ὁ[dgms] πονηρός[agmsn] ὅτι[c] σύ[rpg-s] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] καί[c] ὁ[dnfs] δύναμις[nnfs] καί[c] ὁ[dnfs] δόξα[nnfs] εἰς[p] ὁ[damp] αἰών[namp] ἀμήν[th]. **v.14** ἐάν[qo] γάρ[c] ἀφίημι[vsaa2p] ὁ[ddmp] ἄνθρωπος[ndmp] ὁ[danp] παράπτωμα[nanp] αὐτός[rpgmp] ἀφίημι[vifa3s] καί[c] σύ[rpd-p] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὁ[dnms] οὐράνιος[anmsn]. **v.15** ἐάν[qo] δέ[c] μή[xo] ἀφίημι[vsaa2p] ὁ[ddmp] ἄνθρωπος[ndmp] ὁ[danp] παράπτωμα[nanp] αὐτός[rpgmp] οὐδέ[bo] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ἀφίημι[vifa3s] ὁ[danp] παράπτωμα[nanp] σύ[rpg-p]. **v.16** ὅταν[c] δέ[c] νηστεύω[vspa2p] μή[xo] γίνομαι[vdpn2p] ὥσπερ[bo] ὁ[dnmp] ὑποκριτής[nnmp] σκυθρωπός[anmpn] ἀφανίζω[vipa3p] γάρ[c] ὁ[danp] πρόσωπον[nanp] αὐτός[rpgmp] ὅπως[bo] φαίνω[vsap3p] ὁ[ddmp] ἄνθρωπος[ndmp] νηστεύω[vppanmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἀπέχω[vipa3p] ὁ[dams] μισθός[nams] αὐτός[rpgmp]. **v.17** σύ[rpn-s] δέ[c] νηστεύω[vppanms] ἀλείφω[vdam2s] σύ[rpg-s] ὁ[dafs] κεφαλή[nafs] καί[c] ὁ[dans] πρόσωπον[nans] σύ[rpg-s] νίπτω[vdam2s]. **v.18** ὅπως[bo] μή[xo] φαίνω[vsap2s] ὁ[ddmp] ἄνθρωπος[ndmp] νηστεύω[vppanms] ἀλλά[c] ὁ[ddms] πατήρ[ndms] σύ[rpg-s] ὁ[ddms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] καί[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-s] ὁ[dnms] βλέπω[vppanms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] ἀποδίδωμι[vifa3s] σύ[rpd-s] ἐν[p] ὁ[ddns] φανερός[adnsn]. **v.19** μή[xo] θησαυρίζω[vdpa2p] σύ[rpd-p] θησαυρός[namp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ὅπου[bo] σής[nnms] καί[c] βρῶσις[nnfs] ἀφανίζω[vipa3s] καί[c] ὅπου[bo] κλέπτης[nnmp] διορύσσω[vipa3p] καί[c] κλέπτω[vipa3p].

21 σουσιν οὐδὲ κλέπτουσιν. ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν,
22 ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμων. ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ
ὀφθαλμός, ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά
23 σου φωτεινὸν ἔσται, ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον
τὸ σῶμά σου σκοτεινὸν ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος
24 ἐστί, τὸ σκότος πόσον· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύ-
ειν, ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς
ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει οὐ δύνασθε Θεῷ δου-
25 λεύειν καὶ μαμμωνᾷ. διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ
ψυχῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν, τί
ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα
26 τοῦ ἐνδύματος· ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ
σπείρουσιν οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας,
καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά, οὐχ ὑμεῖς μᾶλλον
27 διαφέρετε αὐτῶν· τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖ-
28 ναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα· καὶ περὶ ἐνδύματος τί
μεριμνᾶτε· καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει, οὐ
29 κοπιᾷ, οὐδὲ νήθει, λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ
30 τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρτον τοῦ
ἀγροῦ, σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ

---

v.20 θησαυρίζω[vdpa2p] δέ[c] σύ[rpd-p] θησαυρός[namp] ἐν[p] οὐρανός[ndms] ὅπου[bo] οὔτε[c] σής[nnms] οὔτε[c] βρῶσις[nnfs] ἀφανίζω[vipa3s] καί[c] ὅπου[bo] κλέπτης[nnmp] οὐ[xo] διορύσσω[vipa3p] οὐδέ[bo] κλέπτω[vipa3p]. **v.21** ὅπου[bo] γάρ[c] εἰμί[vipx3s] ὁ[dnms] θησαυρός[nnms] σύ[rpg-p] ἐκεῖ[bo] εἰμί[vifx3s] καί[c] ὁ[dnfs] καρδία[nnfs] σύ[rpg-p]. **v.22** ὁ[dnms] λύχνος[nnms] ὁ[dgns] σῶμα[ngns] εἰμί[vipx3s] ὁ[dnms] ὀφθαλμός[nnms] ἐάν[qo] οὖν[c] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] ἁπλοῦς[anmsn] εἰμί[vspx3s] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] φωτεινός[annsn] εἰμί[vifx3s]. **v.23** ἐάν[qo] δέ[c] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] πονηρός[anmsn] εἰμί[vspx3s] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] σκοτεινός[annsn] εἰμί[vifx3s] εἰ[qo] οὖν[c] ὁ[dnns] φῶς[nnns] ὁ[dnns] ἐν[p] σύ[rpd-s] σκότος[nnns] εἰμί[vipx3s] ὁ[dnns] σκότος[nnns] πόσος[ronns]. **v.24** οὐδείς[anfsn] δύναμαι[vipn3s] δύο[ndmp] κύριος[ndmp] δουλεύω[vnpa] ἤ[xo] γάρ[c] ὁ[dams] εἷς[nams] μισέω[vifa3s] καί[c] ὁ[dams] ἕτερος[aamsn] ἀγαπάω[vifa3s] ἤ[xo] εἷς[ngms] ἀντέχω[vifd3s] καί[c] ὁ[dgms] ἕτερος[agmsn] καταφρονέω[vifa3s] οὐ[xo] δύναμαι[vipn2p] θεός[ndms] δουλεύω[vnpa] καί[c] μαμωνᾶς[ndns]. **v.25** διά[p] οὗτος[rdans] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] μεριμνάω[vdpa2p] ὁ[ddfs] ψυχή[ndfs] σύ[rpg-p] τίς[rqans] ἐσθίω[vsaa2p] καί[c] τίς[rqans] πίνω[vsaa2p] μηδέ[c] ὁ[ddns] σῶμα[ndns] σύ[rpg-p] τίς[rqans] ἐνδύω[vsam2p] οὐχί[xo] ἡ[dnfs] ψυχή[nnfs] πολύς[annsc] εἰμί[vipx3s] ὁ[dgfs] τροφή[ngfs] καί[c] ὁ[dnns] σῶμα[nnns] ὁ[dgns] ἔνδυμα[ngns]. **v.26** ἐμβλέπω[vdaa2p] εἰς[p] ὁ[danp] πετεινός[nanp] ὁ[dgms] οὐρανός[ngms] ὅτι[c] οὐ[xo] σπείρω[vipa3p] οὐδέ[bo] θερίζω[vipa3p] οὐδέ[bo] συνάγω[vipa3p] εἰς[p] ἀποθήκη[nafp] καί[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὁ[dnms] οὐράνιος[anmsn] τρέφω[vipa3s] αὐτός[rpanp] οὐ[xo] σύ[rpn-p] μᾶλλον[bo] διαφέρω[vipa2p] αὐτός[rpgnp]. **v.27** τίς[rqnms] δέ[c] ἐκ[p] σύ[rpg-p] μεριμνάω[vppanms] δύναμαι[vipn3s] προστίθημι[vnaa] ἐπί[p] ὁ[dafs] ἡλικία[nafs] αὐτός[rpgms] πῆχυς[nams] εἷς[nams]. **v.28** καί[c] περί[p] ἔνδυμα[ngns] τίς[rqans] μεριμνάω[vdpa2p] καταμανθάνω[vdaa2p] ὁ[danp] κρίνον[nanp] ὁ[dgms] ἀγρός[ngms] πῶς[bo] αὐξάνω[vipa3s] οὐ[xo] κοπιάω[vipa3s] οὐδέ[bo] νήθω[vipa3s]. **v.29** λέγω[vipa1s] δέ[c] σύ[rpd-p] ὅτι[c] οὐδέ[bo] Σολομών[nnms] ἐν[p] πᾶς[adfsn] ὁ[ddfs] δόξα[ndfs] αὐτός[rpgms] περιβάλλω[viam3s] ὡς[bo] εἷς[nans] οὗτος[rdgnp].

Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι·
μὴ οὖν μεριμνήσητε, λέγοντες, Τί φάγωμεν, ἤ τί πίωμεν, ἤ τί 31
περιβαλώμεθα· πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ, οἶδε γὰρ ὁ 32
πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. ζητεῖτε 33
δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ,
καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. μὴ οὖν μεριμνήσητε 34
εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς ἀρκετὸν τῇ
ἡμέρᾳ ἡ κακία αὐτῆς.

Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, ἐν ᾧ γὰρ κρίματι κρίνετε κρι- **7**, 2
θήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. τί 3
δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου,
τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς· ἢ πῶς ἐρεῖς 4
τῷ ἀδελφῷ σου, Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ
σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σοῦ· ὑποκριτά, ἔκβαλε 5
πρῶτον τὴν δοκόν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ, καὶ τότε διαβλέψεις
ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. Μὴ 6
δῶτε τὸ ἅγιον τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν
ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς
ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. Αἰτεῖτε, καὶ δο- 7
θήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται
ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ 8

---

v.30 εἰ[qo] δέ[c] ὁ[dams] χόρτος[nams] ὁ[dgms] ἀγρός[ngms] σήμερον[bo] εἰμί[vppxams] καί[c] αὔριον[bo] εἰς[p] κλίβανος[nams] βάλλω[vpppams] ὁ[dnms] θεός[nnms] οὕτω[bo] ἀμφιέννυμι[vipa3s] οὐ[xo] πολύς[adnsn] μᾶλλον[bo] σύ[rpa-p] ὀλιγόπιστος[avmpn]. **v.31** μή[xo] οὖν[c] μεριμνάω[vsaa2p] λέγω[vppanmp] τίς[rqans] ἐσθίω[vsaa1p] ἤ[xo] τίς[rqans] πίνω[vsaa1p] ἤ[xo] τίς[rqans] περιβάλλω[vsam1p]. **v.32** πᾶς[aanpn] γάρ[c] οὗτος[rdanp] ὁ[dnnp] ἔθνος[nnnp] ἐπιζητέω[vipa3s] οἶδα[vixa3s] γάρ[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὁ[dnms] οὐράνιος[anmsn] ὅτι[c] χρῄζω[vipa2p] οὗτος[rdgnp] ἅπας[agnpn]. **v.33** ζητέω[vdpa2p] δέ[c] πρῶτος[bo] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dafs] δικαιοσύνη[nafs] αὐτός[rpgms] καί[c] οὗτος[rdnnp] πᾶς[annpn] προστίθημι[vifp3s] σύ[rpd-p]. **v.34** μή[xo] οὖν[c] μεριμνάω[vsaa2p] εἰς[p] ὁ[dafs] αὔριον[bo] ὁ[dnfs] γάρ[c] αὔριον[bo] μεριμνάω[vifa3s] ὁ[danp] ἑαυτοῦ[rxgfs] ἀρκετός[annsn] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[dnfs] κακία[nnfs] αὐτός[rpgfs]. **7. v.1** μή[xo] κρίνω[vdpa2p] ἵνα[c] μή[xo] κρίνω[vsap2p]. **v.2** ἐν[p] ὅς[rrdns] γάρ[c] κρίμα[ndns] κρίνω[vipa2p] κρίνω[vifp2p] καί[c] ἐν[p] ὅς[rrdns] μέτρον[ndns] μετρέω[vipa2p] ἀντιμετρέω[vifp3s] σύ[rpd-p]. **v.3** τίς[rqans] δέ[c] βλέπω[vipa2s] ὁ[dans] κάρφος[nans] ὁ[dans] ἐν[p] ὁ[ddms] ὀφθαλμός[ndms] ὁ[dgms] ἀδελφός[ngms] σύ[rpg-s] ὁ[dafs] δέ[c] ἐν[p] ὁ[ddms] σός[rsdms] ὀφθαλμός[ndms] δοκός[nafs] οὐ[xo] κατανοέω[vipa2s]. **v.4** ἤ[xo] πῶς[bo] λέγω[vifa2s] ὁ[ddms] ἀδελφός[ndms] σύ[rpg-s] ἀφίημι[vdaa2s] ἐκβάλλω[vsaa1s] ὁ[dans] κάρφος[nans] ἀπό[p] ὁ[dgms] ὀφθαλμός[ngms] σύ[rpg-s] καί[c] ἰδού[vdaa2s] ὁ[dnfs] δοκός[nnfs] ἐν[p] ὁ[ddms] ὀφθαλμός[ndms] σύ[rpg-s]. **v.5** ὑποκριτής[nvms] ἐκβάλλω[vdaa2s] πρῶτος[bo] ὁ[dafs] δοκός[nafs] ἐκ[p] ὁ[dgms] ὀφθαλμός[ngms] σύ[rpg-s] καί[c] τότε[bo] διαβλέπω[vifa2s] ἐκβάλλω[vnaa] ὁ[dans] κάρφος[nans] ἐκ[p] ὁ[dgms] ὀφθαλμός[ngms] ὁ[dgms] ἀδελφός[ngms] σύ[rpg-s]. **v.6** μή[xo] δίδωμι[vsaa2p] ὁ[dans] ἅγιος[aansn] ὁ[ddmp] κύων[ndmp] μηδέ[c] βάλλω[vsaa2p] ὁ[damp] μαργαρίτης[namp] σύ[rpg-p] ἔμπροσθεν[p] ὁ[dgmp] χοῖρος[ngmp] μήποτε[bo] καταπατέω[vsaa3p] αὐτός[rpamp] ἐν[p] ὁ[ddmp] πούς[ndmp] αὐτός[rpgmp] καί[c] στρέφω[vpapnmp] ῥήγνυμι[vsaa3p] σύ[rpa-p]. **v.7** αἰτέω[vdpa2p] καί[c] δίδωμι[vifp3s] σύ[rpd-p] ζητέω[vdpa2p] καί[c] εὑρίσκω[vifa2p] κρούω[vdpa2p] καί[c] ἀνοίγω[vifp3s] σύ[rpd-p].

9 κρούοντι ἀνοιγήσεται. ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν
10 αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ· καὶ ἐὰν
11 ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ· εἰ οὖν ὑμεῖς, πονηροὶ
ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ
μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰ-
12 τοῦσιν αὐτόν· πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ
ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς, οὗτος γάρ ἐστιν ὁ
13 νόμος καὶ οἱ προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι
πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν
14 ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι᾽ αὐτῆς, ὅτί στε-
νὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν,
15 καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε δὲ ἀπὸ τῶν
ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προ-
16 βάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. ἀπὸ τῶν καρπῶν αὐτῶν
ἐπιγνώσεσθε αὐτούς, μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυ-
17 λὴν, ἢ ἀπὸ τριβόλων σῦκα· οὕτω πᾶν δένδρον ἀγαθὸν καρ-
ποὺς καλοὺς ποιεῖ, τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς
18 ποιεῖ, οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν,
19 οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. πᾶν δένδρον
20 μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ἀ-

---

v.8 πᾶς^{anmsn} γάρ^{c} ὁ^{dnms} αἰτέω^{vppanms} λαμβάνω^{vipa3s} καί^{c} ὁ^{dnms} ζητέω^{vppanms} εὑρίσκω^{vipa3s} καί^{c} ὁ^{ddms} κρούω^{vppadms} ἀνοίγω^{vifp3s}. **v.9** ἤ^{xo} τίς^{rqnms} εἰμί^{vipx3s} ἐκ^{p} σύ$^{rpg-p}$ ἄνθρωπος^{nnms} ὅς^{rrams} ἐάν^{qo} αἰτέω^{vsaa3s} ὁ^{dnms} υἱός^{nnms} αὐτός^{rpgms} ἄρτος^{nams} μή^{xo} λίθος^{nams} ἐπιδίδωμι^{vifa3s} αὐτός^{rpdms}. **v.10** καί^{c} ἐάν^{qo} ἰχθύς^{nams} αἰτέω^{vsaa3s} μή^{xo} ὄφις^{nams} ἐπιδίδωμι^{vifa3s} αὐτός^{rpdms}. **v.11** εἰ^{qo} οὖν^{c} σύ$^{rpn-p}$ πονηρός^{anmpn} εἰμί^{vppxnmp} οἶδα^{vixa2p} δόμα^{nanp} ἀγαθός^{aanpn} δίδωμι^{vnpa} ὁ^{ddnp} τέκνον^{ndnp} σύ$^{rpg-p}$ πόσος^{rodns} μᾶλλον^{bo} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg-p}$ ὁ^{dnms} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp} δίδωμι^{vifa3s} ἀγαθός^{aanpn} ὁ^{ddmp} αἰτέω^{vppadmp} αὐτός^{rpams}. **v.12** πᾶς^{aanpn} οὖν^{c} ὅσος^{rcanp} ἄν^{xo} θέλω^{vspa2p} ἵνα^{c} ποιέω^{vspa3p} σύ$^{rpd-p}$ ὁ^{dnmp} ἄνθρωπος^{nnmp} οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ ποιέω^{vdpa2p} αὐτός^{rpdmp} οὗτος^{rdnms} γάρ^{c} εἰμί^{vipx3s} ὁ^{dnms} νόμος^{nnms} καί^{c} ὁ^{dnmp} προφήτης^{nnmp}. **v.13** εἰσέρχομαι^{vdaa2p} διά^{p} ὁ^{dgfs} στενός^{agfsn} πύλη^{ngfs} ὅτι^{c} πλατύς^{anfsn} ὁ^{dnfs} πύλη^{nnfs} καί^{c} εὐρύχωρος^{nnfs} ὁ^{dnfs} ὁδός^{nnfs} ὁ^{dnfs} ἀπάγω^{vppanfs} εἰς^{p} ὁ^{dafs} ἀπώλεια^{nafs} καί^{c} πολύς^{anmpn} εἰμί^{vipx3p} ὁ^{dnmp} εἰσέρχομαι^{vppnnmp} διά^{p} αὐτός^{rpgfs}. **v.14** ὅτι^{c} στενός^{anfsn} ὁ^{dnfs} πύλη^{nnfs} καί^{c} θλίβω^{vpxpnfs} ὁ^{dnfs} ὁδός^{nnfs} ὁ^{dnfs} ἀπάγω^{vppanfs} εἰς^{p} ὁ^{dafs} ζωή^{nafs} καί^{c} ὀλίγος^{anmpn} εἰμί^{vipx3p} ὁ^{dnmp} εὑρίσκω^{vppanmp} αὐτός^{rpafs}. **v.15** προσέχω^{vdpa2p} δέ^{c} ἀπό^{p} ὁ^{dgmp} ψευδοπροφήτης^{ngmp} ὅστις^{rrnmp} ἔρχομαι^{vipn3p} πρός^{p} σύ$^{rpa-p}$ ἐν^{p} ἔνδυμα^{ndnp} πρόβατον^{ngnp} ἔσωθεν^{bo} δέ^{c} εἰμί^{vipx3p} λύκος^{nnmp} ἅρπαξ^{anmpn}. **v.16** ἀπό^{p} ὁ^{dgmp} κάρπος^{ngmp} αὐτός^{rpgmp} ἐπιγινώσκω^{vifd2p} αὐτός^{rpamp} μήτι^{xo} συλλέγω^{vipa3p} ἀπό^{p} ἄκανθα^{ngfp} σταφυλή^{nafs} ἤ^{xo} ἀπό^{p} τρίβολος^{ngmp} σῦκον^{nanp}. **v.17** οὕτω^{bo} πᾶς^{annsn} δένδρον^{nnns} ἀγαθός^{annsn} καρπός^{namp} καλός^{aampn} ποιέω^{vipa3s} ὁ^{dnns} δέ^{c} σαπρός^{annsn} δένδρον^{nnns} καρπός^{namp} πονηρός^{aampn} ποιέω^{vipa3s}. **v.18** οὐ^{xo} δύναμαι^{vipn3s} δένδρον^{nnns} ἀγαθός^{annsn} καρπός^{namp} πονηρός^{aampn} ποιέω^{vnpa} οὐδέ^{bo} δένδρον^{nnns} σαπρός^{annsn} καρπός^{namp} καλός^{aampn} ποιέω^{vnpa}. **v.19** πᾶς^{annsn} δένδρον^{nnns} μή^{xo} ποιέω^{vppanns} καρπός^{nams} καλός^{aamsn} ἐκκόπτω^{vipp3s} καί^{c} εἰς^{p} πῦρ^{nans} βάλλω^{vipp3s}.

ραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. οὐ πᾶς ὁ 21
λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν
οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρα-
νοῖς. πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε Κύριε, οὐ 22
τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια
ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν·
καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς, ἀποχω- 23
ρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. πᾶς οὖν ὅστις 24
ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτοὺς, ὁμοιώσω
αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ
τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔ- 25
πνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ
ἔπεσε, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. καὶ πᾶς ὁ ἀκούων 26
μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται
ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον,
καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄ- 27
νεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ
πτῶσις αὐτῆς μεγάλη. Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς 28
τοὺς λόγους τούτους ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐ-
τοῦ, ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ 29
γραμματεῖς.

---

v.20 ἀρά^{xo} ἀπό^{p} ὁ^{dgmp} κάρπος^{ngmp} αὐτός^{rpgmp} ἐπιγινώσκω^{vifd2p} αὐτός^{rpamp}. **v.21** οὐ^{xo} πᾶς^{anmsn} ὁ^{dnms} λέγω^{vppanms} ἐγώ$^{rpd-s}$ κύριος^{nvms} κύριος^{nvms} εἰσέρχομαι^{vifd3s} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgmp} οὐρανός^{ngmp} ἀλλά^{c} ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{dans} θέλημα^{nans} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$ ὁ^{dgms} ἐν^{p} οὐρανός^{ndmp}. **v.22** πολύς^{anmpn} λέγω^{vifa3p} ἐγώ$^{rpd-s}$ ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} κύριος^{nvms} κύριος^{nvms} οὐ^{xo} ὁ^{ddms} σός^{rsdms} ὄνομα^{ndns} προφητεύω^{viaa1p} καί^{c} ὁ^{ddms} σός^{rsdms} ὄνομα^{ndns} δαιμόνιον^{nanp} ἐκβάλλω^{viaa1p} καί^{c} ὁ^{ddms} σός^{rsdms} ὄνομα^{ndns} δύναμις^{nafp} πολύς^{aafpn} ποιέω^{viaa1p}. **v.23** καί^{c} τότε^{bo} ὁμολογέω^{vifa1s} αὐτός^{rpdmp} ὅτι^{c} οὐδέποτε^{bo} γινώσκω^{viaa1s} σύ$^{rpa-p}$ ἀποχωρέω^{vdpa2p} ἀπό^{p} ἐγώ$^{rpg-s}$ ὁ^{dnmp} ἐργάζομαι^{vppnnmp} ὁ^{dafs} ἀνομία^{nafs}. **v.24** πᾶς^{anmsn} οὖν^{c} ὅστις^{rrnms} ἀκούω^{vipa3s} ἐγώ$^{rpg-s}$ ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} καί^{c} ποιέω^{vipa3s} αὐτός^{rpamp} ὁμοιόω^{vifa1s} αὐτός^{rpams} ἀνήρ^{ndms} φρόνιμος^{admsn} ὅστις^{rrnms} οἰκοδομέω^{viaa3s} ὁ^{dafs} οἰκία^{nafs} αὐτός^{rpgms} ἐπί^{p} ὁ^{dafs} πέτρα^{nafs}. **v.25** καί^{c} καταβαίνω^{viaa3s} ὁ^{dnfs} βροχή^{nnfs} καί^{c} ἔρχομαι^{viaa3p} ὁ^{dnmp} ποταμός^{nnmp} καί^{c} πνέω^{viaa3p} ὁ^{dnmp} ἄνεμος^{nnmp} καί^{c} προσπίπτω^{viaa3p} ὁ^{ddfs} οἰκία^{ndfs} ἐκεῖνος^{rddfs} καί^{c} οὐ^{xo} πίπτω^{viaa3s} θεμελιόω^{viyp3s} γάρ^{c} ἐπί^{p} ὁ^{dafs} πέτρα^{nafs}. **v.26** καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} ἀκούω^{vppanms} ἐγώ$^{rpg-s}$ ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} καί^{c} μή^{xo} ποιέω^{vppanms} αὐτός^{rpamp} ὁμοιόω^{vifp3s} ἀνήρ^{ndms} μωρός^{admsn} ὅστις^{rrnms} οἰκοδομέω^{viaa3s} ὁ^{dafs} οἰκία^{nafs} αὐτός^{rpgms} ἐπί^{p} ὁ^{dafs} ἄμμος^{nafs}. **v.27** καί^{c} καταβαίνω^{viaa3s} ὁ^{dnfs} βροχή^{nnfs} καί^{c} ἔρχομαι^{viaa3p} ὁ^{dnmp} ποταμός^{nnmp} καί^{c} πνέω^{viaa3p} ὁ^{dnmp} ἄνεμος^{nnmp} καί^{c} προσκόπτω^{viaa3p} ὁ^{ddfs} οἰκία^{ndfs} ἐκεῖνος^{rddfs} καί^{c} πίπτω^{viaa3s} καί^{c} εἰμί^{viix3s} ὁ^{dnfs} πτῶσις^{nnfs} αὐτός^{rpgfs} μέγας^{anfsn}. **v.28** καί^{c} γίνομαι^{viad3s} ὅτε^{bo} συντελέω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} ἐκπλήσσω^{viip3p} ὁ^{dnmp} ὄχλος^{nnmp} ἐπί^{p} ὁ^{ddfs} διδαχή^{ndfs} αὐτός^{rpgms}. **v.29** εἰμί^{viix3s} γάρ^{c} διδάσκω^{vppanms} αὐτός^{rpamp} ὡς^{bo} ἐξουσία^{nafs} ἔχω^{vppanms} καί^{c} οὐ^{xo} ὡς^{bo} ὁ^{dnmp} γραμματεύς^{nnmp}.

8 Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι
2 πολλοί, καὶ ἰδού, λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέγων, Κύ-
3 ριε, ἐὰν θέλῃς δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα,
ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων, Θέλω, καθαρίσθητι. καὶ εὐθέως
4 ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὅρα
μηδενὶ εἴπῃς, ἀλλ᾽ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσ-
ένεγκε τὸ δῶρον ὃ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.
5 Εἰσελθόντι δὲ τῷ Ἰησοῦ εἰς Καπερναούμ, προσῆλθεν αὐτῷ ἑ-
6 κατόνταρχος παρακαλῶν αὐτὸν, καὶ λέγων, Κύριε, ὁ παῖς μου
7 βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. καὶ
8 λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. καὶ ἀπο-
κριθεὶς ὁ ἑκατόνταρχος ἔφη, Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου
ὑπὸ τὴν στέγην εἰσέλθῃς, ἀλλὰ μόνον εἰπὲ λόγον, καὶ ἰαθήσε-
9 ται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν,
ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ
πορεύεται, καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου,
10 Ποίησον τοῦτο, καὶ ποιεῖ. ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασε,
καὶ εἶπε τοῖς ἀκολουθοῦσιν, Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσ-
11 ραὴλ τοσαύτην πίστιν εὗρον. λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ
ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβρα-
12 ὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οἱ δὲ

---

8. v.1 καταβαίνω[vpaadms] δέ[c] αὐτός[rpdms] ἀπό[p] ὁ[dgns] ὄρος[ngns] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] ὄχλος[nnmp] πολύς[anmpn]. **v.2** καί[c] ἰδού[vdaa2s] λεπρός[anmsn] ἔρχομαι[vpaanms] προσκυνέω[viia3s] αὐτός[rpdms] λέγω[vppanms] κύριος[nvms] ἐάν[qo] θέλω[vspa2s] δύναμαι[vipn2s] ἐγώ[rpa-s] καθαρίζω[vnaa]. **v.3** καί[c] ἐκτείνω[vpaanfs] ὁ[dafs] χείρ[nafs] ἅπτω[viad3s] αὐτός[rpgms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vppanms] θέλω[vipa1s] καθαρίζω[vdap2s] καί[c] εὐθέως[bo] καθαρίζω[viap3s] αὐτός[rpgms] ὁ[dnfs] λέπρα[nnfs]. **v.4** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁράω[vdpa2s] μηδείς[admsn] λέγω[vsaa2s] ἀλλά[c] ὑπάγω[vdpa2s] σεαυτοῦ[rxams] δείκνυμι[vdaa2s] ὁ[ddms] ἱερεύς[ndms] καί[c] προσφέρω[vdaa2s] ὁ[dans] δῶρον[nans] ὅς[rrans] προστάσσω[viaa3s] Μωϋσῆς[nnms] εἰς[p] μαρτύριον[nans] αὐτός[rpdmp]. **v.5** εἰσέρχομαι[vpaadms] δέ[c] ὁ[ddms] Ἰησοῦς[ndms] εἰς[p] Καπερναούμ[tp] προσέρχομαι[viaa3s] αὐτός[rpdms] ἑκατοντάρχης[nnms] παρακαλέω[vppanms] αὐτός[rpams]. **v.6** καί[c] λέγω[vppanms] κύριος[nvms] ὁ[dnms] παῖς[nnms] ἐγώ[rpg-s] βάλλω[vixp3s] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] παραλυτικός[anmsn] δεινῶς[bo] βασανίζω[vpppnms]. **v.7** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] ἔρχομαι[vpaanms] θεραπεύω[vifa1s] αὐτός[rpams]. **v.8** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] ἑκατοντάρχης[nnms] φημί[viix3s] κύριος[nvms] οὐ[xo] εἰμί[vipx1s] ἱκανός[anmsn] ἵνα[c] ἐγώ[rpg-s] ὑπό[p] ὁ[dafs] στέγη[nafs] εἰσέρχομαι[vsaa2s] ἀλλά[c] μόνος[bo] λέγω[vdaa2s] λόγος[nams] καί[c] ἰάομαι[vifp3s] ὁ[dnms] παῖς[nnms] ἐγώ[rpg-s]. **v.9** καί[c] γάρ[c] ἐγώ[rpn-s] ἄνθρωπος[nnms] εἰμί[vipx1s] ὑπό[p] ἐξουσία[nafs] ἔχω[vppanms] ὑπό[p] ἐμαυτοῦ[rxams] στρατιώτης[namp] καί[c] λέγω[vipa1s] οὗτος[rddms] πορεύομαι[vdao2s] καί[c] πορεύομαι[vipn3s] καί[c] ἄλλος[admsn] ἔρχομαι[vipn2s] καί[c] ἔρχομαι[vipn3s] καί[c] ὁ[ddms] δοῦλος[ndms] ἐγώ[rpg-s] ποιέω[vdaa2s] οὗτος[rdans] καί[c] ποιέω[vipa3s]. **v.10** ἀκούω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] θαυμάζω[viaa3s] καί[c] λέγω[viaa3s] ὁ[ddmp] ἀκολουθέω[vppadmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] οὐδέ[bo] ἐν[p] ὁ[ddms] Ἰσραήλ[tp] τοσοῦτος[rdafs] πίστις[nafs] εὑρίσκω[viaa1s]. **v.11** λέγω[vipa1s] δέ[c] σύ[rpd-p] ὅτι[c] πολύς[anmpn] ἀπό[p] ἀνατολή[ngfp] καί[c] δυσμή[ngfp] ἥκω[vifa3p] καί[c] ἀνακλίνω[vifp3p] μετά[p] Ἀβραάμ[tp] καί[c] Ἰσαάκ[tp] καί[c] Ἰακώβ[tp] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp].

υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐ-
κεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ εἶπεν ὁ 13
Ἰησοῦς τῷ ἑκατοντάρχῳ, Ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω
σοι. καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ. Καὶ ἐλθὼν 14
ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βε-
βλημένην καὶ πυρέσσουσαν, καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ 15
ἀφῆκεν αὐτὴν ὁ πυρετός, καὶ ἠγέρθη, καὶ διηκόνει αὐτοῖς.
ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολ- 16
λούς, καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς
ἔχοντας ἐθεράπευσεν, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου 17
τοῦ προφήτου, λέγοντος, Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ
τὰς νόσους ἐβάστασεν. Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους πε- 18
ρὶ αὐτὸν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. καὶ προσελθὼν 19
εἷς γραμματεὺς εἶπεν αὐτῷ, Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου
ἐὰν ἀπέρχῃ. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Αἱ ἀλώπεκες φωλεοὺς 20
ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς
τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. ἕτερος δὲ 21
τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ, Κύριε, ἐπίτρεψόν μοι πρῶτον
ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου. ὁ δὲ Ἰησοῦς εἶπεν αὐ- 22
τῷ, Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν
νεκρούς. Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐ- 23

---

v.12 ὁ[dnmp] δέ[c] υἱός[nnmp] ὁ[dgfs] βασιλεία[ngfs] ἐκβάλλω[vifp3p] εἰς[p] ὁ[dans] σκότος[nans] ὁ[dans] ἐξώτερος[aansn] ἐκεῖ[bo] εἰμί[vifx3s] ὁ[dnms] κλαυθμός[nnms] καί[c] ὁ[dnms] βρυγμός[nnms] ὁ[dgmp] ὀδούς[ngmp]. **v.13** καί[c] λέγω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[ddms] ἑκατοντάρχης[ndms] ὑπάγω[vdpa2s] καί[c] ὡς[bo] πιστεύω[viaa2s] γίνομαι[vdao3s] σύ[rpd-s] καί[c] ἰάομαι[viap3s] ὁ[dnms] παῖς[nnms] αὐτός[rpgms] ἐν[p] ὁ[ddfs] ὥρα[ndfs] ἐκεῖνος[rddfs]. **v.14** καί[c] ἔρχομαι[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] ὁ[dafs] οἰκία[nafs] Πέτρος[ngms] ὁράω[viaa3s] ὁ[dafs] πενθερά[nafs] αὐτός[rpgms] βάλλω[vpxpafs] καί[c] πυρέσσω[vppaafs]. **v.15** καί[c] ἅπτω[viad3s] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgfs] καί[c] ἀφίημι[viaa3s] αὐτός[rpafs] ὁ[dnms] πυρετός[nnms] καί[c] ἐγείρω[viap3s] καί[c] διακονέω[viia3s] αὐτός[rpdmp]. **v.16** ὄψιος[agfsn] δέ[c] γίνομαι[vpadgfs] προσφέρω[viaa3p] αὐτός[rpdms] δαιμονίζομαι[vppnamp] πολύς[aampn] καί[c] ἐκβάλλω[viaa3s] ὁ[danp] πνεῦμα[nanp] λόγος[ndms] καί[c] πᾶς[aampn] ὁ[damp] κακῶς[bo] ἔχω[vppaamp] θεραπεύω[viaa3s]. **v.17** ὅπως[bo] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] διά[p] Ἠσαΐας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns] αὐτός[rpnms] ὁ[dafp] ἀσθένεια[nafp] ἐγώ[rpg-p] λαμβάνω[viaa3s] καί[c] ὁ[dafp] νόσος[nafp] βαστάζω[viaa3s]. **v.18** ὁράω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] πολύς[aampn] ὄχλος[namp] περί[p] αὐτός[rpams] κελεύω[viaa3s] ἀπέρχομαι[vnaa] εἰς[p] ὁ[dans] πέραν[bo]. **v.19** καί[c] προσέρχομαι[vpaanms] εἷς[nnms] γραμματεύς[nnms] λέγω[viaa3s] αὐτός[rpdms] διδάσκαλος[nvms] ἀκολουθέω[vifa1s] σύ[rpd-s] ὅπου[bo] ἐάν[qo] ἀπέρχομαι[vspn2s]. **v.20** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dnfp] ἀλώπηξ[nnfp] φωλεός[namp] ἔχω[vipa3p] καί[c] ὁ[dnnp] πετεινός[nnnp] ὁ[dgms] οὐρανός[ngms] κατασκήνωσις[nafp] ὁ[dnms] δέ[c] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] οὐ[xo] ἔχω[vipa3s] ποῦ[xo] ὁ[dafs] κεφαλή[nafs] κλίνω[vspa3s]. **v.21** ἕτερος[anmsn] δέ[c] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] λέγω[viaa3s] αὐτός[rpdms] κύριος[nvms] ἐπιτρέπω[vdaa2s] ἐγώ[rpd-s] πρῶτος[bo] ἀπέρχομαι[vnaa] καί[c] θάπτω[vnaa] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s]. **v.22** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdms] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s] καί[c] ἀφίημι[vdaa2s] ὁ[damp] νεκρός[aampn] θάπτω[vnaa] ὁ[damp] ἑαυτοῦ[rxgmp] νεκρός[aampn].

24 τῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδοὺ, σεισμὸς μέγας ἐγένετο ἐν τῇ
θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων, αὐ-
25 τὸς δὲ ἐκάθευδε. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν
26 αὐτόν, λέγοντες, Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. καὶ λέ-
γει αὐτοῖς, Τί δειλοί ἐστε, ὀλιγόπιστοι· τότε ἐγερθεὶς ἐπετίμησε
27 τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. οἱ
δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες, Ποταπός ἐστιν οὗτος, ὅτι
28 καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ· Καὶ ἐλθόντι
αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν
αὐτῷ δύο δαιμονιζόμενοι ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλε-
ποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης,
29 καὶ ἰδοὺ, ἔκραξαν λέγοντες, Τί ἡμῖν καὶ σοί, Ἰησου. υἱὲ τοῦ Θε-
30 οῦ· ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς· ἦν δὲ μακρὰν ἀπ'
31 αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. οἱ δὲ δαίμονες πα-
ρεκάλουν αὐτὸν, λέγοντες, Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν
32 ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. καὶ εἶπεν αὐτοῖς, Ὑπά-
γετε. οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων, καὶ
ἰδού, ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς
33 τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. οἱ δὲ βόσκοντες
ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα, καὶ
34 τὰ τῶν δαιμονιζομένων. καὶ ἰδοὺ, πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς

---

v.23 καί[c] ἐμβαίνω[vpaadms] αὐτός[rpdms] εἰς[p] ὁ[dans] πλοῖον[nans] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms]. **v.24** καί[c] ἰδού[vdaa2s] σεισμός[nnms] μέγας[anmsn] γίνομαι[viad3s] ἐν[p] ὁ[ddfs] θάλασσα[ndfs] ὥστε[c] ὁ[dnns] πλοῖον[nnns] καλύπτω[vnpp] ὑπό[p] ὁ[dgnp] κῦμα[ngnp] αὐτός[rpnms] δέ[c] καθεύδω[viia3s]. **v.25** καί[c] προσέρχομαι[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ἐγείρω[viaa3p] αὐτός[rpams] λέγω[vppanmp] κύριος[nvms] σῴζω[vdaa2s] ἐγώ[rpa-p] ἀπόλλυμι[vipm1p]. **v.26** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] τίς[rqnns] δειλός[anmpn] εἰμί[vipx2p] ὀλιγόπιστος[avmpn] τότε[bo] ἐγείρω[vpapnms] ἐπιτιμάω[viaa3s] ὁ[ddmp] ἄνεμος[ndmp] καί[c] ὁ[ddfs] θάλασσα[ndfs] καί[c] γίνομαι[viad3s] γαλήνη[nnfs] μέγας[anfsn]. **v.27** ὁ[dnmp] δέ[c] ἄνθρωπος[nnmp] θαυμάζω[viaa3p] λέγω[vppanmp] ποταπός[anmsn] εἰμί[vipx3s] οὗτος[rdnms] ὅτι[c] καί[c] ὁ[dnmp] ἄνεμος[nnmp] καί[c] ὁ[dnfs] θάλασσα[nnfs] ὑπακούω[vipa3p] αὐτός[rpdms]. **v.28** καί[c] ἔρχομαι[vpaadms] αὐτός[rpdms] εἰς[p] ὁ[dans] πέραν[bo] εἰς[p] ὁ[dafs] χώρα[nafs] ὁ[dgmp] Γερασηνός[ngmp] ὑπαντάω[viaa3p] αὐτός[rpdms] δύο[tn] δαιμονίζομαι[vppnnmp] ἐκ[p] ὁ[dgnp] μνημεῖον[ngnp] ἐξέρχομαι[vppnnmp] χαλεπός[anmpn] λίαν[bo] ὥστε[c] μή[xo] ἰσχύω[vnpa] τι-σριαμσ παρέρχομαι[vnaa] διά[p] ὁ[dgfs] ὁδός[ngfs] ἐκεῖνος[rdgfs]. **v.29** καί[c] ἰδού[vdaa2s] κράζω[viaa3p] λέγω[vppanmp] τίς[rqnns] ἐγώ[rpd-p] καί[c] σύ[rpd-s] Ἰησοῦς[nvms] υἱός[nvms] ὁ[dgms] θεός[ngms] ἔρχομαι[viaa2s] ὧδε[bo] πρό[p] καιρός[ngms] βασανίζω[vnaa] ἐγώ[rpa-p]. **v.30** εἰμί[viix3s] δέ[c] μακράν[bo] ἀπό[p] αὐτός[rpgmp] ἀγέλη[nnfs] χοῖρος[ngmp] πολύς[agmpn] βόσκω[vpppnfs]. **v.31** ὁ[dnmp] δέ[c] δαίμων[nnmp] παρακαλέω[viia3p] αὐτός[rpams] λέγω[vppanmp] εἰ[qo] ἐκβάλλω[vipa2s] ἐγώ[rpa-p] ἐπιτρέπω[vdaa2s] ἐγώ[rpd-p] ἀπέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] ἀγέλη[nafs] ὁ[dgmp] χοῖρος[ngmp]. **v.32** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὑπάγω[vdpa2p] ὁ[dnmp] δέ[c] ἐξέρχομαι[vpaanmp] ἀπέρχομαι[viaa3p] εἰς[p] ὁ[dafs] ἀγέλη[nafs] ὁ[dgmp] χοῖρος[ngmp] καί[c] ἰδού[vdaa2s] ὁρμάω[viaa3s] πᾶς[anfsn] ὁ[dnfs] ἀγέλη[nnfs] ὁ[dgmp] χοῖρος[ngmp] κατά[p] ὁ[dgms] κρημνός[ngms] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] καί[c] ἀποθνῄσκω[viaa3p] ἐν[p] ὁ[ddnp] ὕδωρ[ndnp]. **v.33** ὁ[dnmp] δέ[c] βόσκω[vppanmp] φεύγω[viaa3p] καί[c] ἀπέρχομαι[vpaanmp] εἰς[p] ὁ[dafs] πόλις[nafs] ἀπαγγέλλω[viaa3p] πᾶς[aanpn] καί[c] ὁ[danp] ὁ[dgmp] δαιμονίζομαι[vppngmp].

συνάντησιν τῷ Ἰησοῦ, καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν ὅπως
μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

Καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασε καὶ ἦλθεν εἰς τὴν ἰδίαν **9**
πόλιν. καὶ ἰδού, προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης 2
βεβλημένον, καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπε τῷ πα-
ραλυτικῷ, Θάρσει, τέκνον, ἀφέωνταί σοί αἱ ἁμαρτίαι σου. καὶ 3
ἰδού, τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς, Οὗτος βλασφη-
μεῖ. καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν, Ἱνατί 4
ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν· τί γάρ ἐστιν 5
εὐκοπώτερον, εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, Ἔγει-
ραι καὶ περιπάτει· ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ 6
ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας τότε λέγει τῷ παραλυ-
τικῷ, Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν
σου. καὶ ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. ἰδόντες δὲ 7, 8
οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεὸν, τὸν δόντα ἐξου-
σίαν τοιαύτην τοῖς ἀνθρώποις. Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν 9
εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμε-
νον, καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν
αὐτῷ. Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδού, 10
πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰη-
σοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. καὶ ἰδόντες οἱ Φαρισαῖοι εἶπον 11

---

v.34 καί^{c} ἰδού^{vdaa2s} πᾶς^{anfsn} ὁ^{dnfs} πόλις^{nnfs} ἐξέρχομαι^{viaa3s} εἰς^{p} συνάντησις^{nafs} ὁ^{ddms} Ἰησοῦς^{ndms} καί^{c} ὁράω^{vpaanmp} αὐτός^{rpams} παρακαλέω^{viaa3p} ὅπως^{bo} μεταβαίνω^{vsaa3s} ἀπό^{p} ὁ^{dgnp} ὅριον^{ngnp} αὐτός^{rpgmp}. **9. v.1** καί^{c} ἐμβαίνω^{vpaanms} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} διαπεράω^{viaa3s} καί^{c} ἔρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dafs} ἴδιος^{aafsn} πόλις^{nafs}. **v.2** καί^{c} ἰδού^{vdaa2s} προσφέρω^{viia3p} αὐτός^{rpdms} παραλυτικός^{aamsn} ἐπί^{p} κλίνη^{ngfs} βάλλω^{vpxpams} καί^{c} ὁράω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafs} πίστις^{nafs} αὐτός^{rpgmp} λέγω^{viaa3s} ὁ^{ddms} παραλυτικός^{admsn} θαρσέω^{vdpa2s} τέκνον^{nvns} ἀφίημι^{vixp3p} σύ$^{rpd-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} σύ$^{rpg-s}$. **v.3** καί^{c} ἰδού^{vdaa2s} τι-σρινμπ ὁ^{dgmp} γραμματεύς^{ngmp} λέγω^{viaa3p} ἐν^{p} ἑαυτοῦ^{rxdmp} οὗτος^{rdnms} βλασφημέω^{vipa3s}. **v.4** καί^{c} ὁράω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafp} ἐνθύμησις^{nafp} αὐτός^{rpgmp} λέγω^{viaa3s} ἵνα^{c} τίς^{rqnns} σύ$^{rpn-p}$ ἐνθυμέομαι^{vipn2p} πονηρός^{aanpn} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} σύ$^{rpg-p}$. **v.5** τίς^{rqnns} γάρ^{c} εἰμί^{vipx3s} εὔκοπος^{annsc} λέγω^{vnaa} ἀφίημι^{vixp3p} σύ$^{rpd-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} ἤ^{xo} λέγω^{vnaa} ἐγείρω^{vdam2s} καί^{c} περιπατέω^{vdpa2s}. **v.6** ἵνα^{c} δέ^{c} οἶδα^{vsxa2p} ὅτι^{c} ἐξουσία^{nafs} ἔχω^{vipa3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} ἀφίημι^{vnpa} ἁμαρτία^{nafp} τότε^{bo} λέγω^{vipa3s} ὁ^{ddms} παραλυτικός^{admsn} ἐγείρω^{vpapnms} αἴρω^{vdaa2s} σύ$^{rpg-s}$ ὁ^{dafs} κλίνη^{nafs} καί^{c} ὑπάγω^{vdpa2s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} σύ$^{rpg-s}$. **v.7** καί^{c} ἐγείρω^{vpapnms} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms}. **v.8** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} ὄχλος^{nnmp} θαυμάζω^{viaa3p} καί^{c} δοξάζω^{viaa3p} ὁ^{dams} θεός^{nams} ὁ^{dams} δίδωμι^{vpaaams} ἐξουσία^{nafs} τοιοῦτος^{rdafs} ὁ^{ddmp} ἄνθρωπος^{ndmp}. **v.9** καί^{c} παράγω^{vppanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐκεῖθεν^{bo} ὁράω^{viaa3s} ἄνθρωπος^{nams} κάθημαι^{vppnams} ἐπί^{p} ὁ^{dans} τελώνιον^{nans} Μαθχαῖος^{nams} λέγω^{vpppams} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ἀκολουθέω^{vdpa2s} ἐγώ$^{rpd-s}$ καί^{c} ἀνίστημι^{vpaanms} ἀκολουθέω^{viaa3s} αὐτός^{rpdms}. **v.10** καί^{c} γίνομαι^{viad3s} αὐτός^{rpgms} ἀνάκειμαι^{vppngms} ἐν^{p} ὁ^{ddfs} οἰκία^{ndfs} καί^{c} ἰδού^{vdaa2s} πολύς^{anmpn} τελώνης^{nnmp} καί^{c} ἁμαρτωλός^{anmpn} ἔρχομαι^{vpaanmp} συνανάκειμαι^{viin3p} ὁ^{ddms} Ἰησοῦς^{ndms} καί^{c} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms}.

τοῖς μαθηταῖς αὐτοῦ, Διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν
12 ἐσθίει ὁ διδάσκαλος ὑμῶν· ὁ δὲ Ἰησοῦς ἀκούσας εἶπεν αὐτοῖς,
Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.
13 πορευθέντες δὲ μάθετε τί ἐστιν, Ἔλεον θέλω, καὶ οὐ θυσίαν, οὐ
γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.
14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου, λέγοντες, Διατί
ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου
15 οὐ νηστεύουσι· καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Μὴ δύνανται οἱ
υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμ-
φίος· ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος,
16 καὶ τότε νηστεύσουσιν. Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους
ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ. αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ
17 τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται. οὐδὲ βάλλουσιν οἶνον
νέον εἰς ἀσκοὺς παλαιούς, εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ
οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται, ἀλλὰ βάλλουσιν οἶνον
18 νέον εἰς ἀσκοὺς καινούς, καὶ ἀμφότερα συντηροῦνται. Ταῦτα
αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδού, ἄρχων εἷς ἐλθὼν προσεκύνει
αὐτῷ, λέγων ὅτι Ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν, ἀλλὰ ἐλθὼν
19 ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται. καὶ ἐγερθεὶς ὁ
20 Ἰησοῦς ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδού,
γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν, ἥψατο

---

v.11 καί[c] ὁράω[vpaanmp] ὁ[dnmp] Φαρισαῖος[nnmp] λέγω[viaa3p] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] διά&τίς[xo] μετά[p] ὁ[dgmp] τελώνης[ngmp] καί[c] ἁμαρτωλός[agmpn] ἐσθίω[vipa3s] ὁ[dnms] διδάσκαλος[nnms] σύ[rpg-p]. **v.12** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἀκούω[vpaanms] λέγω[viaa3s] αὐτός[rpdmp] οὐ[xo] χρεία[nafs] ἔχω[vipa3p] ὁ[dnmp] ἰσχύω[vppanmp] ἰατρός[ngms] ἀλλά[c] ὁ[dnmp] κακῶς[bo] ἔχω[vppanmp]. **v.13** πορεύομαι[vpaonmp] δέ[c] μανθάνω[vdaa2p] τίς[rqnns] εἰμί[vipx3s] ἔλεος[nams] θέλω[vipa1s] καί[c] οὐ[xo] θυσία[nafs] οὐ[xo] γάρ[c] ἔρχομαι[viaa1s] καλέω[vnaa] δίκαιος[aampn] ἀλλά[c] ἁμαρτωλός[aampn] εἰς[p] μετάνοια[nafs]. **v.14** τότε[bo] προσέρχομαι[vipn3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] Ἰωάννης[ngms] λέγω[vppanmp] διά&τίς[xo] ἐγώ[rpn-p] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] νηστεύω[vipa1p] πολύς[aanpn] ὁ[dnmp] δέ[c] μαθητής[nnmp] σύ[rpg-s] οὐ[xo] νηστεύω[vipa3p]. **v.15** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] μή[xo] δύναμαι[vipn3p] ὁ[dnmp] υἱός[nnmp] ὁ[dgms] νυμφών[ngms] πενθέω[vnpa] ἐπί[p] ὅσος[rcans] μετά[p] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnms] νυμφίος[nnms] ἔρχομαι[vifd3p] δέ[c] ἡμέρα[nnfp] ὅταν[c] ἀπαίρω[vsap3s] ἀπό[p] αὐτός[rpgmp] ὁ[dnms] νυμφίος[nnms] καί[c] τότε[bo] νηστεύω[vifa3p]. **v.16** οὐδείς[anfsn] δέ[c] ἐπιβάλλω[vipa3s] ἐπίβλημα[nans] ῥάκος[ngns] ἄγναφος[agnsn] ἐπί[p] ἱμάτιον[ndns] παλαιός[adnsn] αἴρω[vipa3s] γάρ[c] ὁ[dnns] πλήρωμα[nnns] αὐτός[rpgns] ἀπό[p] ὁ[dgns] ἱμάτιον[ngns] καί[c] χείρων[annsn] σχίσμα[nnns] γίνομαι[vipn3s]. **v.17** οὐδέ[bo] βάλλω[vipa3p] οἶνος[nams] νέος[aamsn] εἰς[p] ἀσκός[namp] παλαιός[aampn] εἰ[qo] δέ[c] μή[xo] ῥήγνυμι[vipp3p] ὁ[dnmp] ἀσκός[nnmp] καί[c] ὁ[dnms] οἶνος[nnms] ἐκχέω[vipp3s] καί[c] ὁ[dnmp] ἀσκός[nnmp] ἀπόλλυμι[vifm3p] ἀλλά[c] βάλλω[vipa3p] οἶνος[nams] νέος[aamsn] εἰς[p] ἀσκός[namp] καινός[aampn] καί[c] ἀμφότεροι[aanpn] συντηρέω[vipp3p]. **v.18** οὗτος[rdanp] αὐτός[rpgms] λαλέω[vppagms] αὐτός[rpdmp] ἰδού[vdaa2s] ἄρχων[nnms] εἷς[nnms] ἔρχομαι[vpaanms] προσκυνέω[viia3s] αὐτός[rpdms] λέγω[vppanms] ὅτι[c] ὁ[dnfs] θυγάτηρ[nnfs] ἐγώ[rpg-s] ἄρτι[bo] τελευτάω[viaa3s] ἀλλά[c] ἔρχομαι[vpaanms] ἐπιτίθημι[vdaa2s] ὁ[dafs] χείρ[nafs] σύ[rpg-s] ἐπί[p] αὐτός[rpafs] καί[c] ζάω[vifd3s]. **v.19** καί[c] ἐγείρω[vpapnms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀκολουθέω[viaa3s] αὐτός[rpdms] καί[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms].

τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γὰρ ἐν ἑαυτῇ, Ἐὰν 21
μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. ὁ δὲ Ἰησοῦς 22
ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν, εἶπε, Θάρσει, θύγατερ, ἡ πίστις
σου σέσωκέ σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. καὶ 23
ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐ-
λητὰς καὶ τὸν ὄχλον θορυβούμενον, λέγει αὐτοῖς, Ἀναχωρεῖτε, 24
οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. καὶ κατεγέλων
αὐτοῦ. ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς 25
αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς 26
ὅλην τὴν γῆν ἐκείνην. Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκο- 27
λούθησαν αὐτῷ δύο τυφλοὶ, κράζοντες καὶ λέγοντες, Ἐλέησον
ἡμᾶς, υἱὲ Δαβίδ. ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ 28
οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πιστεύετε ὅτι δύναμαι
τοῦτο ποιῆσαι· λέγουσιν αὐτῷ, Ναί, Κύριε. τότε ἥψατο τῶν ὀ- 29
φθαλμῶν αὐτῶν, λέγων, Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν.
καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἐνεβριμήσατο αὐτοῖς 30
ὁ Ἰησοῦς λέγων, Ὁρᾶτε μηδεὶς γινωσκέτω. οἱ δὲ ἐξελθόντες 31
διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. Αὐτῶν δὲ ἐξερχομέ- 32
νων, ἰδού, προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμε-
νον, καὶ ἐκβληθέντος τοῦ δαιμονίου, ἐλάλησεν ὁ κωφός, καὶ 33
ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες, Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ

---

v.20 καί^{c} ἰδού^{vdaa2s} γυνή^{nnfs} αἱμορροέω^{vppanfs} δώδεκα^{tn} ἔτος^{nnnp} προσέρχομαι^{vpaanfs} ὄπισθεν^{bo} ἅπτω^{viad3s} ὁ^{dgns} κράσπεδον^{ngns} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms}. **v.21** λέγω^{viia3s} γάρ^{c} ἐν^{p} ἑαυτοῦ^{rxdfs} ἐάν^{qo} μόνος^{bo} ἅπτω^{vsam1s} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms} σῴζω^{vifp1s}. **v.22** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} ἐπιστρέφω^{vpapnms} καί^{c} ὁράω^{vpaanms} αὐτός^{rpafs} λέγω^{viaa3s} θαρσέω^{vdpa2s} θυγάτηρ^{nvfs} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-s}$ σῴζω^{vixa3s} σύ$^{rpa-s}$ καί^{c} σῴζω^{viap3s} ὁ^{dnfs} γυνή^{nnfs} ἀπό^{p} ὁ^{dgfs} ὥρα^{ngfs} ἐκεῖνος^{rdgfs}. **v.23** καί^{c} ἔρχομαι^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} ὁ^{dgms} ἄρχων^{ngms} καί^{c} ὁράω^{vpaanms} ὁ^{damp} αὐλητής^{namp} καί^{c} ὁ^{dams} ὄχλος^{nams} θορυβέω^{vpppams}. **v.24** λέγω^{vipa3s} αὐτός^{rpdmp} ἀναχωρέω^{vdpa2p} οὐ^{xo} γάρ^{c} ἀποθνῄσκω^{viaa3s} ὁ^{dnns} κοράσιον^{nnns} ἀλλά^{c} καθεύδω^{vipa3s} καί^{c} καταγελάω^{viia3p} αὐτός^{rpgms}. **v.25** ὅτε^{bo} δέ^{c} ἐκβάλλω^{viap3s} ὁ^{dnms} ὄχλος^{nnms} εἰσέρχομαι^{vpaanms} κρατέω^{viaa3s} ὁ^{dgfs} χείρ^{ngfs} αὐτός^{rpgfs} καί^{c} ἐγείρω^{viap3s} ὁ^{dnns} κοράσιον^{nnns}. **v.26** καί^{c} ἐξέρχομαι^{viaa3s} ὁ^{dnfs} φήμη^{nnfs} οὗτος^{rdnfs} εἰς^{p} ὅλος^{aafsn} ὁ^{dafs} γῆ^{nafs} ἐκεῖνος^{rdafs}. **v.27** καί^{c} παράγω^{vppadms} ἐκεῖθεν^{bo} ὁ^{ddms} Ἰησοῦς^{ndms} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms} δύο^{tn} τυφλός^{anmpn} κράζω^{vppanmp} καί^{c} λέγω^{vppanmp} ἐλεέω^{vdaa2s} ἐγώ$^{rpa-p}$ υἱός^{nvms} Δαυίδ^{tp}. **v.28** ἔρχομαι^{vpaadms} δέ^{c} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} προσέρχομαι^{viaa3p} αὐτός^{rpdms} ὁ^{dnmp} τυφλός^{anmpn} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} πιστεύω^{vdpa2p} ὅτι^{c} δύναμαι^{vipn1s} οὗτος^{rdans} ποιέω^{vnaa} λέγω^{vipa3p} αὐτός^{rpdms} ναί^{xo} κύριος^{nvms}. **v.29** τότε^{bo} ἅπτω^{viad3s} ὁ^{dgmp} ὀφθαλμός^{ngmp} αὐτός^{rpgmp} λέγω^{vppanms} κατά^{p} ὁ^{dafs} πίστις^{nafs} σύ$^{rpg-p}$ γίνομαι^{vdao3s} σύ$^{rpd-p}$. **v.30** καί^{c} ἀνοίγω^{viap3p} αὐτός^{rpgmp} ὁ^{dnmp} ὀφθαλμός^{nnmp} καί^{c} ἐμβριμάομαι^{viad3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{vppanms} ὁράω^{vdpa2p} μηδείς^{anmsn} γινώσκω^{vdpa3s}. **v.31** ὁ^{dnmp} δέ^{c} ἐξέρχομαι^{vpaanmp} διαφημίζω^{viaa3p} αὐτός^{rpams} ἐν^{p} ὅλος^{adfsn} ὁ^{ddfs} γῆ^{ndfs} ἐκεῖνος^{rddfs}. **v.32** αὐτός^{rpgmp} δέ^{c} ἐξέρχομαι^{vppngmp} ἰδού^{vdaa2s} προσφέρω^{viaa3p} αὐτός^{rpdms} ἄνθρωπος^{nams} κωφός^{aamsn} δαιμονίζομαι^{vppnams}.

34 Ἰσραήλ. οἱ δὲ Φαρισαῖοι ἔλεγον, Ἐν τῷ ἄρχοντι τῶν δαιμο-
35 νίων ἐκβάλλει τὰ δαιμόνια. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις
πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ
κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν
36 νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. ἰδὼν δὲ τοὺς ὄχλους,
ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐρριμμέ-
37 νοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα. τότε λέγει τοῖς μαθηταῖς
38 αὐτοῦ, Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι, δεήθητε
οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν
θερισμὸν αὐτοῦ.

10 καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν
αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐ-
2 τά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τῶν
δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα, πρῶτος Σίμων
ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος
3 ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος,
καὶ Βαρθολομαῖος, Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης, Ἰάκωβος
4 ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος, Σίμων
ὁ Κανανίτης, καὶ Ἰούδας Ἰσκαριώτης ὁ καὶ παραδοὺς αὐτόν.
5 τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐ-
τοῖς, λέγων, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμα-

---

v.33 καί[c] ἐκβάλλω[vpapgns] ὁ[dgns] δαιμόνιον[ngns] λαλέω[viaa3s] ὁ[dnms] κωφός[anmsn] καί[c] θαυμάζω[viaa3p] ὁ[dnmp] ὄχλος[nnmp] λέγω[vppanmp] οὐδέποτε[bo] φαίνω[viap3s] οὕτω[bo] ἐν[p] ὁ[ddms] Ἰσραήλ[tp]. **v.34** ὁ[dnmp] δέ[c] Φαρισαῖος[nnmp] λέγω[viia3p] ἐν[p] ὁ[ddms] ἄρχων[ndms] ὁ[dgnp] δαιμόνιον[ngnp] ἐκβάλλω[vipa3s] ὁ[danp] δαιμόνιον[nanp]. **v.35** καί[c] περιάγω[viia3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dafp] πόλις[nafp] πᾶς[aafpn] καί[c] ὁ[dafp] κώμη[nafp] διδάσκω[vppanms] ἐν[p] ὁ[ddfp] συναγωγή[ndfp] αὐτός[rpgmp] καί[c] κηρύσσω[vppanms] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgfs] βασιλεία[ngfs] καί[c] θεραπεύω[vppanms] πᾶς[aafsn] νόσος[nafs] καί[c] πᾶς[aafsn] μαλακία[nafs] ἐν[p] ὁ[ddms] λαός[ndms]. **v.36** ὁράω[vpaanms] δέ[c] ὁ[damp] ὄχλος[namp] σπλαγχνίζομαι[viao3s] περί[p] αὐτός[rpgmp] ὅτι[c] εἰμί[viix3p] ἐκλύω[vpxpnmp] καί[c] ῥίπτω[vpxpnmp] ὡσεί[bo] πρόβατον[nanp] μή[xo] ἔχω[vppannp] ποιμήν[nams]. **v.37** τότε[bo] λέγω[vipa3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ὁ[dnms] μέν[xo] θερισμός[nnms] πολύς[anmsn] ὁ[dnmp] δέ[c] ἐργάτης[nnmp] ὀλίγος[anmpn]. **v.38** δέομαι[vdao2p] οὖν[c] ὁ[dgms] κύριος[ngms] ὁ[dgms] θερισμός[ngms] ὅπως[bo] ἐκβάλλω[vsaa3s] ἐργάτης[namp] εἰς[p] ὁ[dams] θερισμός[nams] αὐτός[rpgms]. **10. v.1** καί[c] προσκαλέομαι[vpadnms] ὁ[damp] δώδεκα[tn] μαθητής[namp] αὐτός[rpgms] δίδωμι[viaa3s] αὐτός[rpdmp] ἐξουσία[nafs] πνεῦμα[ngnp] ἀκάθαρτος[agnpn] ὥστε[c] ἐκβάλλω[vnpa] αὐτός[rpanp] καί[c] θεραπεύω[vnpa] πᾶς[aafsn] νόσος[nafs] καί[c] πᾶς[aafsn] μαλακία[nafs]. **v.2** ὁ[dgmp] δέ[c] δώδεκα[tn] ἀπόστολος[ngmp] ὁ[dnnp] ὄνομα[nnnp] εἰμί[vipx3s] οὗτος[rdnnp] πρῶτος[anmsn] Σίμων[nnms] ὁ[dnms] λέγω[vpppnms] Πέτρος[nnms] καί[c] Ἀνδρέας[nnms] ὁ[dnms] ἀδελφός[nnms] αὐτός[rpgms] Ἰάκωβος[nnms] ὁ[dnms] ὁ[dgms] Ζεβεδαῖος[ngms] καί[c] Ἰωάννης[nnms] ὁ[dnms] ἀδελφός[nnms] αὐτός[rpgms]. **v.3** Φίλιππος[nnms] καί[c] Βαρθολομαῖος[nnms] Θωμᾶς[nnms] καί[c] Μαθχαῖος[nnms] ὁ[dnms] τελώνης[nnms] Ἰάκωβος[nnms] ὁ[dnms] ὁ[dgms] Ἀλφαῖος[ngms] καί[c] Λεββαῖος[nnms] ὁ[dnms] ἐπικαλέω[vpapnms] Θαδδαῖος[nnms]. **v.4** Σίμων[nnms] ὁ[dnms] Καναναῖος[nnms] καί[c] Ἰούδας[nnms] Ἰσκαριώθ[nnms] ὁ[dnms] καί[c] παραδίδωμι[vpaanms] αὐτός[rpams].

ρειτῶν μὴ εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα 6
τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. πορευόμενοι δὲ κηρύσσετε, λέ- 7
γοντες ὅτι Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. ἀσθενοῦντας 8
θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια
ἐκβάλλετε. δωρεὰν ἐλάβετε, δωρεὰν δότε. μὴ κτήσησθε χρυ- 9
σὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ 10
πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥά-
βδους, ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. εἰς ἣν δ' 11
ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι,
κἀκεῖ μείνατε, ἕως ἂν ἐξέλθητε. εἰσερχόμενοι δὲ εἰς τὴν οἰ- 12
κίαν, ἀσπάσασθε αὐτήν. καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ 13
εἰρήνη ὑμῶν ἐπ' αὐτήν, ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς
ὑμᾶς ἐπιστραφήτω. καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ 14
τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκεί-
νης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. ἀμὴν λέγω 15
ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ
κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς 16
πρόβατα ἐν μέσῳ λύκων, γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ
ἀκέραιοι ὡς αἱ περιστεραί. προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, 17
παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς

---

ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐννενη-
κονταεννέα τοῖς μὴ πεπλανημένοις. οὕτως οὐκ ἔστι θέλημα 14
ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς
τῶν μικρῶν τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, 15
ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν
σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου, ἐὰν δὲ μὴ ἀκούσῃ, 16
παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρ-

---

v.7 οὐαί[i] ὁ[ddms] κόσμος[ndms] ἀπό[p] ὁ[dgnp] σκάνδαλον[ngnp] ἀνάγκη[nnfs] γάρ[c] εἰμί[vipx3s] ἔρχομαι[vnaa] ὁ[danp] σκάνδαλον[nanp] πλήν[bo] οὐαί[i] ὁ[ddms] ἄνθρωπος[ndms] ἐκεῖνος[rddms] διά[p] ὅς[rrgms] ὁ[dnns] σκάνδαλον[nnns] ἔρχομαι[vipn3s]. **v.8** εἰ[qo] δέ[c] ὁ[dnfs] χείρ[nnfs] σύ[rpg-s] ἤ[xo] ὁ[dnms] πούς[nnms] σύ[rpg-s] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐκκόπτω[vdaa2s] αὐτός[rpanp] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] καλός[annsn] σύ[rpd-s] εἰμί[vipx3s] εἰσέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] ζωή[nafs] χωλός[aamsn] ἤ[xo] κυλλός[aamsn] ἤ[xo] δύο[tn] χείρ[nafp] ἤ[xo] δύο[tn] πούς[namp] ἔχω[vppannp] βάλλω[vnap] εἰς[p] ὁ[dans] πῦρ[nans] ὁ[dans] αἰώνιος[aansn]. **v.9** καί[c] εἰ[qo] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] σκανδαλίζω[vipa3s] σύ[rpa-s] ἐξαιρέω[vdaa2s] αὐτός[rpams] καί[c] βάλλω[vdaa2s] ἀπό[p] σύ[rpg-s] καλός[annsn] σύ[rpd-s] εἰμί[vipx3s] μονόφθαλμος[aamsn] εἰς[p] ὁ[dafs] ζωή[nafs] εἰσέρχομαι[vnaa] ἤ[xo] δύο[tn] ὀφθαλμός[namp] ἔχω[vppannp] βάλλω[vnap] εἰς[p] ὁ[dafs] γέεννα[nafs] ὁ[dgns] πῦρ[ngns]. **v.10** ὁράω[vdpa2p] μή[xo] καταφρονέω[vsaa2p] εἷς[ngns] ὁ[dgmp] μικρός[agmpn] οὗτος[rdgmp] λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] ὁ[dnmp] ἄγγελος[nnmp] αὐτός[rpgmp] ἐν[p] οὐρανός[ndmp] διά[p] πᾶς[agnsn] βλέπω[vipa3p] ὁ[dans] πρόσωπον[nans] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] ὁ[dgms] ἐν[p] οὐρανός[ndmp]. **v.11** ἔρχομαι[viaa3s] γάρ[c] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] σῴζω[vnaa] ὁ[dans] ἀπόλλυμι[vpxaans]. **v.12** τίς[rqans] σύ[rpd-p] δοκέω[vipa3s] ἐάν[qo] γίνομαι[vsad3s] τι-σριδμσ ἄνθρωπος[ndms] ἑκατόν[tn] πρόβατον[nnnp] καί[c] πλανάω[vsap3s] εἷς[nnns] ἐκ[p] αὐτός[rpgnp] οὐχί[xo] ἀφίημι[vpaanms] ὁ[danp] ἐνενήκοντα[tn] ἐπί[p] ὁ[danp] ὄρος[nanp] πορεύομαι[vpaonms] ζητέω[vipa3s] ὁ[dans] πλανάω[vpppans]. **v.13** καί[c] ἐάν[qo] γίνομαι[vsad3s] εὑρίσκω[vnaa] αὐτός[rpans] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] χαίρω[vipa3s] ἐπί[p] αὐτός[rpdns] μᾶλλον[bo] ἤ[xo] ἐπί[p] ὁ[ddnp] ἐνενήκοντα[tn] ὁ[ddnp] μή[xo] πλανάω[vpxpdnp]. **v.14** οὕτω[bo] οὐ[xo] εἰμί[vipx3s] θέλημα[nnns] ἔμπροσθεν[p] ὁ[dgms] πατήρ[ngms] σύ[rpg-p] ὁ[dgms] ἐν[p] οὐρανός[ndmp] ἵνα[c] ἀπόλλυμι[vsam3s] εἷς[nnms] ὁ[dgmp] μικρός[agmpn] οὗτος[rdgmp]. **v.15** ἐάν[qo] δέ[c] ἁμαρτάνω[vsaa3s] εἰς[p] σύ[rpa-s] ὁ[dnms] ἀδελφός[nnms] σύ[rpg-s] ὑπάγω[vdpa2s] καί[c] ἐλέγχω[vdaa2s] αὐτός[rpams] μεταξύ[bo] σύ[rpg-s] καί[c] αὐτός[rpgms] μόνος[agmsn] ἐάν[qo] σύ[rpg-s] ἀκούω[vsaa3s] κερδαίνω[viaa2s] ὁ[dams] ἀδελφός[nams] σύ[rpg-s].

17 τύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα, ἐὰν δὲ παρακούσῃ αὐτῶν,
εἰπὲ τῇ ἐκκλησίᾳ, ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω
18 σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν
δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐὰν
19 λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. πάλιν λέγω
ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς
πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πα-
20 τρός μου τοῦ ἐν οὐρανοῖς. οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι
21 εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. Τότε προσελθὼν
αὐτῷ ὁ Πέτρος εἶπε, Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελ-
22 φός μου, καὶ ἀφήσω αὐτῷ· ἕως ἑπτάκις· λέγει αὐτῷ ὁ Ἰησοῦς,
23 Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. διὰ
τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅς
24 ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. ἀρξαμένου
δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων
25 ταλάντων. μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι ἐκέλευσεν αὐτὸν ὁ
κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα,
26 καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. πεσὼν οὖν ὁ δοῦλος
προσεκύνει αὐτῷ, λέγων, Κύριε, μακροθύμησον ἐπ' ἐμοί, καὶ
27 πάντα σοι ἀποδώσω. σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου

---

v.16 ἐάν[qo] δέ[c] μή[xo] ἀκούω[vsaa3s] παραλαμβάνω[vdaa2s] μετά[p] σύ[rpg-s] ἔτι[bo] εἷς[nams] ἤ[xo] δύο[tn] ἵνα[c] ἐπί[p] στόμα[ngns] δύο[tn] μάρτυς[ngmp] ἤ[xo] τρεῖς[ngmp] ἵστημι[vsap3s] πᾶς[annsn] ῥῆμα[nnns]. **v.17** ἐάν[qo] δέ[c] παρακούω[vsaa3s] αὐτός[rpgmp] λέγω[vdaa2s] ὁ[ddfs] ἐκκλησία[ndfs] ἐάν[qo] δέ[c] καί[c] ὁ[dgfs] ἐκκλησία[ngfs] παρακούω[vsaa3s] εἰμί[vdpx3s] σύ[rpd-s] ὥσπερ[bo] ὁ[dnms] ἐθνικός[anmsn] καί[c] ὁ[dnms] τελώνης[nnms]. **v.18** ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅσος[rcanp] ἐάν[qo] δέω[vsaa2p] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] εἰμί[vifx3s] δέω[vpxpnnp] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] καί[c] ὅσος[rcanp] ἐάν[qo] λύω[vsaa2p] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] εἰμί[vifx3s] λύω[vpxpnnp] ἐν[p] ὁ[ddms] οὐρανός[ndms]. **v.19** πάλιν[bo] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἐάν[qo] δύο[tn] σύ[rpg-p] συμφωνέω[vsaa3p] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] περί[p] πᾶς[agnsn] πρᾶγμα[ngns] ὅς[rrgns] ἐάν[qo] αἰτέω[vsam3p] γίνομαι[vifd3s] αὐτός[rpdmp] παρά[p] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] ὁ[dgms] ἐν[p] οὐρανός[ndmp]. **v.20** ὅς[bo] γάρ[c] εἰμί[vipx3p] δύο[tn] ἤ[xo] τρεῖς[nnmp] συνάγω[vpxpnmp] εἰς[p] ὁ[dans] ἐμός[rsans] ὄνομα[nans] ἐκεῖ[bo] εἰμί[vipx1s] ἐν[p] μέσος[adnsn] αὐτός[rpgmp]. **v.21** τότε[bo] προσέρχομαι[vpaanms] αὐτός[rpdms] ὁ[dnms] Πέτρος[nnms] λέγω[viaa3s] κύριος[nvms] ποσάκις[bo] ἁμαρτάνω[vifa3s] εἰς[p] ἐγώ[rpa-s] ὁ[dnms] ἀδελφός[nnms] ἐγώ[rpg-s] καί[c] ἀφίημι[vifa1s] αὐτός[rpdms] ἕως[c] ἑπτάκις[bo]. **v.22** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] οὐ[xo] λέγω[vipa1s] σύ[rpd-s] ἕως[c] ἑπτάκις[bo] ἀλλά[c] ἕως[c] ἑβδομηκοντάκις[bo] ἑπτά[tn]. **v.23** διά[p] οὗτος[rdans] ὁμοιόω[viap3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp] ἄνθρωπος[ndms] βασιλεύς[ndms] ὅς[rrnms] θέλω[viaa3s] συναίρω[vnaa] λόγος[nams] μετά[p] ὁ[dgmp] δοῦλος[ngmp] αὐτός[rpgms]. **v.24** ἄρχω[vpamgms] δέ[c] αὐτός[rpgms] συναίρω[vnpa] προσφέρω[viap3s] αὐτός[rpdms] εἷς[nnms] ὀφειλέτης[nnms] μύριοι[agmpn] τάλαντον[ngnp]. **v.25** μή[xo] ἔχω[vppagms] δέ[c] αὐτός[rpgms] ἀποδίδωμι[vnaa] κελεύω[viaa3s] αὐτός[rpams] ὁ[dnms] κύριος[nnms] αὐτός[rpgms] πιπράσκω[vnap] καί[c] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] καί[c] ὁ[danp] τέκνον[nanp] καί[c] πᾶς[aanpn] ὅσος[rcanp] ἔχω[viia3s] καί[c] ἀποδίδωμι[vnap]. **v.26** πίπτω[vpaanms] οὖν[c] ὁ[dnms] δοῦλος[nnms] προσκυνέω[viia3s] αὐτός[rpdms] λέγω[vppanms] κύριος[nvms] μακροθυμέω[vdaa2s] ἐπί[p] ἐγώ[rpd-s] καί[c] πᾶς[aanpn] σύ[rpd-s] ἀποδίδωμι[vifa1s].

ἐκείνου ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. ἐξελ- 28
θὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὅς
ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέ-
γων, Ἀπόδος μοι ὅ τι ὀφείλεις. πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ 29
εἰς τοὺς πόδας αὐτοῦ παρεκάλει αὐτὸν, λέγων, Μακροθύμη-
σον ἐπ᾽ ἐμοί, καὶ πάντα ἀποδώσω σοι. ὁ δὲ οὐκ ἤθελεν, ἀλλ᾽ 30
ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλό-
μενον. ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα ἐλυπήθη- 31
σαν σφόδρα, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ ἀυτῶν πάντα
τὰ γενόμενα. τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ 32
λέγει αὐτῷ, Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά
σοι, ἐπεὶ παρεκάλεσάς με, οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύν- 33
δουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα· καὶ ὀργισθεὶς ὁ κύριος 34
αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν
τὸ ὀφειλόμενον αὐτῷ. οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος 35
ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν
καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, με- **19**
τῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας
πέραν τοῦ Ἰορδάνου. καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, 2

---

v.27 σπλαγχνίζομαι[vpaonms] δέ[c] ὁ[dnms] κύριος[nnms] ὁ[dgms] δοῦλος[ngms] ἐκεῖνος[rdgms] ἀπολύω[viaa3s] αὐτός[rpams] καί[c] ὁ[dans] δάνειον[nans] ἀφίημι[viaa3s] αὐτός[rpdms]. **v.28** ἐξέρχομαι[vpaanms] δέ[c] ὁ[dnms] δοῦλος[nnms] ἐκεῖνος[rdnms] εὑρίσκω[viaa3s] εἷς[nams] ὁ[dgmp] σύνδουλος[ngmp] αὐτός[rpgms] ὅς[rrnms] ὀφείλω[viia3s] αὐτός[rpdms] ἑκατόν[tn] δηνάριον[nanp] καί[c] κρατέω[vpaanms] αὐτός[rpams] πνίγω[viia3s] λέγω[vppanms] ἀποδίδωμι[vdaa2s] ἐγώ[rpd-s] ὅς[rrans] τι-σριανσ ὀφείλω[vipa2s]. **v.29** πίπτω[vpaanms] οὖν[c] ὁ[dnms] σύνδουλος[nnms] αὐτός[rpgms] εἰς[p] ὁ[damp] πούς[namp] αὐτός[rpgms] παρακαλέω[viia3s] αὐτός[rpams] λέγω[vppanms] μακροθυμέω[vdaa2s] ἐπί[p] ἐγώ[rpd-s] καί[c] πᾶς[aamsn] ἀποδίδωμι[vifa1s] σύ[rpd-s]. **v.30** ὁ[dnms] δέ[c] οὐ[xo] θέλω[viia3s] ἀλλά[c] ἀπέρχομαι[vpaanms] βάλλω[viaa3s] αὐτός[rpams] εἰς[p] φυλακή[nafs] ἕως[c] οὐ[bo] ἀποδίδωμι[vsaa3s] ὁ[dans] ὀφείλω[vpppans]. **v.31** ὁράω[vpaanmp] δέ[c] ὁ[dnmp] σύνδουλος[nnmp] αὐτός[rpgms] ὁ[danp] γίνομαι[vpadanp] λυπέω[viap3p] σφόδρα[bo] καί[c] ἔρχομαι[vpaanmp] διασαφέω[viaa3p] ὁ[ddms] κύριος[ndms] αὐτός[rpgmp] πᾶς[aanpn] ὁ[danp] γίνομαι[vpadanp]. **v.32** τότε[bo] προσκαλέομαι[vpadnms] αὐτός[rpams] ὁ[dnms] κύριος[nnms] αὐτός[rpgms] λέγω[vipa3s] αὐτός[rpdms] δοῦλος[nvms] πονηρός[avmsn] πᾶς[aafsn] ὁ[dafs] ὀφειλή[nafs] ἐκεῖνος[rdafs] ἀφίημι[viaa1s] σύ[rpd-s] ἐπεί[c] παρακαλέω[viaa2s] ἐγώ[rpa-s]. **v.33** οὐ[xo] δεῖ[viiq3s] καί[c] σύ[rpa-s] ἐλεέω[vnaa] ὁ[dams] σύνδουλος[nams] σύ[rpg-s] ὡς[bo] καί[c] ἐγώ[rpn-s] σύ[rpa-s] ἐλεέω[viaa1s]. **v.34** καί[c] ὀργίζω[vpapnms] ὁ[dnms] κύριος[nnms] αὐτός[rpgms] παραδίδωμι[viaa3s] αὐτός[rpams] ὁ[ddmp] βασανιστής[ndmp] ἕως[c] ὅς[bo] ἀποδίδωμι[vsaa3s] πᾶς[aansn] ὁ[dans] ὀφείλω[vpppans] αὐτός[rpdms]. **v.35** οὕτω[bo] καί[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἐπουράνιος[anmsn] ποιέω[vifa3s] σύ[rpd-p] ἐάν[qo] μή[xo] ἀφίημι[vsaa2p] ἕκαστος[anmsn] ὁ[ddms] ἀδελφός[ndms] αὐτός[rpgms] ἀπό[p] ὁ[dgfp] καρδία[ngfp] σύ[rpg-p] ὁ[danp] παράπτωμα[nanp] αὐτός[rpgmp]. **19. v.1** καί[c] γίνομαι[viad3s] ὅτε[bo] τελέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] μεταίρω[viaa3s] ἀπό[p] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] ἔρχομαι[viaa3s] εἰς[p] ὁ[danp] ὅριον[nanp] ὁ[dgfs] Ἰουδαία[ngfs] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms].

3 καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ. Καὶ προσῆλθον αὐτῷ οἱ Φα-
ρισαῖοι πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ, Εἰ ἔξεστιν ἀν-
4 θρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν· ὁ
δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ'
5 ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εἶπεν, Ἕνεκεν
τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ
προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς
6 σάρκα μίαν. ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία, ὃ οὖν ὁ
7 θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω. λέγουσιν αὐτῷ, Τί
οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦ-
8 σαι αὐτήν· λέγει αὐτοῖς ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν
ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, ἀπ' ἀρ-
9 χῆς δὲ οὐ γέγονεν οὕτω. λέγω δὲ ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν
γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ καὶ γαμήσῃ ἄλλην, μοιχᾶ-
10 ται, καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται. λέγουσιν αὐτῷ
οἱ μαθηταὶ αὐτοῦ, Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ
11 τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. ὁ δὲ εἶπεν αὐτοῖς, Οὐ
12 πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται. εἰσὶ γὰρ
εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω, καὶ εἰ-
σὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καὶ
εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν

---

v.2 καί[c] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] ὄχλος[nnmp] πολύς[anmpn] καί[c] θεραπεύω[viaa3s] αὐτός[rpamp] ἐκεῖ[bo]. **v.3** καί[c] προσέρχομαι[viaa3p] αὐτός[rpdms] ὁ[dnmp] Φαρισαῖος[nnmp] πειράζω[vppanmp] αὐτός[rpams] καί[c] λέγω[vppanmp] αὐτός[rpdms] εἰ[qo] ἔξεστι[vipq3s] ἄνθρωπος[ndms] ἀπολύω[vnaa] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] κατά[p] πᾶς[aafsn] αἰτία[nafs]. **v.4** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdmp] οὐ[xo] ἀναγινώσκω[viaa2p] ὅτι[c] ὁ[dnms] ποιέω[vpaanms] ἀπό[p] ἀρχή[ngfs] ἄρσην[nans] καί[c] θῆλυς[aansn] ποιέω[viaa3s] αὐτός[rpamp]. **v.5** καί[c] λέγω[viaa3s] ἕνεκα[bo] οὗτος[rdgns] καταλείπω[vifa3s] ἄνθρωπος[nnms] ὁ[dams] πατήρ[nams] καί[c] ὁ[dafs] μήτηρ[nafs] καί[c] προσκολλάω[vifp3s] ὁ[ddfs] γυνή[ndfs] αὐτός[rpgms] καί[c] εἰμί[vifx3p] ὁ[dnmp] δύο[tn] εἰς[p] σάρξ[nafs] εἷς[nafs]. **v.6** ὥστε[c] οὐκέτι[bo] εἰμί[vipx3p] δύο[tn] ἀλλά[c] σάρξ[nnfs] εἷς[nnfs] ὅς[rrans] οὖν[c] ὁ[dnms] θεός[nnms] συζεύγνυμι[viaa3s] ἄνθρωπος[nnms] μή[xo] χωρίζω[vdpa3s]. **v.7** λέγω[vipa3p] αὐτός[rpdms] τίς[rqans] οὖν[c] Μωϋσῆς[nnms] ἐντέλλομαι[viad3s] δίδωμι[vnaa] βιβλίον[nans] ἀποστάσιον[ngns] καί[c] ἀπολύω[vnaa] αὐτός[rpafs]. **v.8** λέγω[vipa3s] αὐτός[rpdmp] ὅτι[c] Μωϋσῆς[nnms] πρός[p] ὁ[dafs] σκληροκαρδία[nafs] σύ[rpg-p] ἐπιτρέπω[viaa3s] σύ[rpd-p] ἀπολύω[vnaa] ὁ[dafp] γυνή[nafp] σύ[rpg-p] ἀπό[p] ἀρχή[ngfs] δέ[c] οὐ[xo] γίνομαι[vixa3s] οὕτω[bo]. **v.9** λέγω[vipa1s] δέ[c] σύ[rpd-p] ὅτι[c] ὅς[rrnms] ἄν[xo] ἀπολύω[vsaa3s] ὁ[dafs] γυνή[nafs] αὐτός[rpgms] εἰ[qo] μή[xo] ἐπί[p] πορνεία[ndfs] καί[c] γαμέω[vsaa3s] ἄλλος[aafsn] μοιχάομαι[vipn3s] καί[c] ὁ[dnms] ἀπολύω[vpxpafs] γαμέω[vpaanms] μοιχάομαι[vipn3s]. **v.10** λέγω[vipa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] εἰ[qo] οὕτω[bo] εἰμί[vipx3s] ὁ[dnfs] αἰτία[nnfs] ὁ[dgms] ἄνθρωπος[ngms] μετά[p] ὁ[dgfs] γυνή[ngfs] οὐ[xo] συμφέρω[vipa3s] γαμέω[vnaa]. **v.11** ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdmp] οὐ[xo] πᾶς[anmpn] χωρέω[vipa3p] ὁ[dams] λόγος[nams] οὗτος[rdams] ἀλλά[c] ὅς[rrdmp] δίδωμι[vixp3s].

τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν χωρείτω. Τότε προσηνέχθη 13
αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται, οἱ
δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. ὁ δὲ Ἰησοῦς εἶπεν, Ἄφετε τὰ 14
παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων
ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας 15
ἐπορεύθη ἐκεῖθεν. Καὶ ἰδού, εἷς προσελθὼν εἶπεν αὐτῷ, Δι- 16
δάσκαλε ἀγαθε, τὶ ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον· ὁ 17
δὲ εἶπεν αὐτῷ, Τί με λέγεις ἀγαθόν· οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς,
ὁ Θεός. εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντο-
λάς. λέγει αὐτῷ, Ποίας· ὁ δὲ Ἰησοῦς εἶπε, Τὸ οὐ φονεύσεις, 18
οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, τίμα τὸν 19
πατέρα σου καὶ τὴν μητέρα, καί, ἀγαπήσεις τὸν πλησίον σου
ὡς σεαυτόν. λέγει αὐτῷ ὁ νεανίσκος, Πάντα ταῦτα ἐφυλαξά- 20
μην ἐκ νεότητός μου, τί ἔτι ὑστερῶ· ἔφη αὐτῷ ὁ Ἰησοῦς, Εἰ 21
θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς
πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο, ἀκολούθει
μοι. ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον ἀπῆλθε λυπούμενος, 22
ἦν γὰρ ἔχων κτήματα πολλά. Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς 23
αὐτοῦ, Ἀμὴν λέγω ὑμῖν ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς

---

v.12 εἰμί[vipx3p] γάρ[c] εὐνοῦχος[nnmp] ὅστις[rrnmp] ἐκ[p] κοιλία[ngfs] μήτηρ[ngfs] γεννάω[viap3p] οὕτω[bo] καί[c] εἰμί[vipx3p] εὐνοῦχος[nnmp] ὅστις[rrnmp] εὐνουχίζω[viaa3p] ὑπό[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] καί[c] εἰμί[vipx3p] εὐνοῦχος[nnmp] ὅστις[rrnmp] εὐνουχίζω[viaa3p] ἑαυτοῦ[rxamp] διά[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgmp] οὐρανός[ngmp] ὁ[dnms] δύναμαι[vppnnms] χωρέω[vnpa] χωρέω[vdpa3s]. **v.13** τότε[bo] προσφέρω[viap3s] αὐτός[rpdms] παιδίον[nnnp] ἵνα[c] ὁ[dafp] χείρ[nafp] ἐπιτίθημι[vsaa3s] αὐτός[rpdnp] καί[c] προσεύχομαι[vsad3s] ὁ[dnmp] δέ[c] μαθητής[nnmp] ἐπιτιμάω[viaa3p] αὐτός[rpdmp]. **v.14** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] ἀφίημι[vdaa2p] ὁ[danp] παιδίον[nanp] καί[c] μή[xo] κωλύω[vdpa2p] αὐτός[rpanp] ἔρχομαι[vnaa] πρός[p] ἐγώ[rpa-s] ὁ[dgnp] γάρ[c] τοιοῦτος[rdgnp] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.15** καί[c] ἐπιτίθημι[vpaanms] αὐτός[rpdnp] ὁ[dafp] χείρ[nafp] πορεύομαι[viao3s] ἐκεῖθεν[bo]. **v.16** καί[c] ἰδού[vdaa2s] εἷς[nnms] προσέρχομαι[vpaanms] λέγω[viaa3s] αὐτός[rpdms] διδάσκαλος[nvms] ἀγαθός[avmsn] τίς[rqans] ἀγαθός[aansn] ποιέω[vsaa1s] ἵνα[c] ἔχω[vspa1s] ζωή[nafs] αἰώνιος[aafsn]. **v.17** ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdms] τίς[rqans] ἐγώ[rpa-s] λέγω[vipa2s] ἀγαθός[aamsn] οὐδείς[anfsn] ἀγαθός[anmsn] εἰ[qo] μή[xo] εἷς[nnms] ὁ[dnms] θεός[nnms] εἰ[qo] δέ[c] θέλω[vipa2s] εἰσέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] ζωή[nafs] τηρέω[vdaa2s] ὁ[dafp] ἐντολή[nafp]. **v.18** λέγω[vipa3s] αὐτός[rpdms] ποῖος[rqafp] ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] ὁ[dans] οὐ[xo] φονεύω[vifa2s] οὐ[xo] μοιχεύω[vifa2s] οὐ[xo] κλέπτω[vifa2s] οὐ[xo] ψευδομαρτυρέω[vifa2s]. **v.19** τιμάω[vdpa2s] ὁ[dams] πατήρ[nams] σύ[rpg-s] καί[c] ὁ[dafs] μήτηρ[nafs] καί[c] ἀγαπάω[vifa2s] ὁ[dams] πλησίον[bo] σύ[rpg-s] ὡς[bo] σεαυτοῦ[rxams]. **v.20** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] νεανίσκος[nnms] πᾶς[aanpn] οὗτος[rdanp] φυλάσσω[viam1s] ἐκ[p] νεότης[ngfs] ἐγώ[rpg-s] τίς[rqans] ἔτι[bo] ὑστερέω[vipa1s]. **v.21** φημί[viix3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] εἰ[qo] θέλω[vipa2s] τέλειος[anmsn] εἰμί[vnpx] ὑπάγω[vdpa2s] πωλέω[vdaa2s] σύ[rpg-s] ὁ[danp] ὑπάρχω[vppaanp] καί[c] δίδωμι[vdaa2s] πτωχός[admpn] καί[c] ἔχω[vifa2s] θησαυρός[nams] ἐν[p] οὐρανός[ndms] καί[c] δεῦρο[vdvx2s] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s]. **v.22** ἀκούω[vpaanms] δέ[c] ὁ[dnms] νεανίσκος[nnms] ὁ[dams] λόγος[nams] ἀπέρχομαι[viaa3s] λυπέω[vpppnms] εἰμί[viix3s] γάρ[c] ἔχω[vppanms] κτῆμα[nanp] πολύς[aanpn].

24 τὴν βασιλείαν τῶν οὐρανῶν. πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν
ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς
25 τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. ἀκούσαντες δὲ οἱ μαθηταὶ
αὐτοῦ ἐξεπλήσσοντο σφόδρα, λέγοντες, Τίς ἄρα δύναται σω-
26 θῆναι· ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Παρὰ ἀνθρώποις
27 τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστι. τότε
ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα
28 καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν· ὁ δὲ Ἰησοῦς εἶπεν
αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν
τῇ παλιγγενεσίᾳ ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου
δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνον-
29 τες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ πᾶς ὅς ἀφῆκεν οἰκίας,
ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ
τέκνα, ἢ ἀγρούς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα
30 λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. πολλοὶ δὲ ἔσονται
πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.

20 ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδε-
σπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν
2 ἀμπελῶνα αὐτοῦ, συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δη-
ναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐ-
3 τοῦ. καὶ ἐξελθὼν περὶ τήν τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας

---

v.23 ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] δυσκόλως[bo] πλούσιος[anmsn] εἰσέρχομαι[vifd3s] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.24** πάλιν[bo] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] εὔκοπος[annsc] εἰμί[vipx3s] κάμηλος[nams] διά[p] τρύπημα[ngns] ῥαφίς[ngfs] διέρχομαι[vnaa] ἤ[xo] πλούσιος[aamsn] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms] εἰσέρχομαι[vnaa]. **v.25** ἀκούω[vpaanmp] δέ[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ἐκπλήσσω[viip3p] σφόδρα[bo] λέγω[vppanmp] τίς[rqnms] ἄρα[xo] δύναμαι[vipn3s] σῴζω[vnap]. **v.26** ἐμβλέπω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] παρά[p] ἄνθρωπος[ndmp] οὗτος[rdnns] ἀδύνατος[annsn] εἰμί[vipx3s] παρά[p] δέ[c] θεός[ndms] πᾶς[annpn] δυνατός[annpn] εἰμί[vipx3s]. **v.27** τότε[bo] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Πέτρος[nnms] λέγω[viaa3s] αὐτός[rpdms] ἰδού[vdaa2s] ἐγώ[rpn-p] ἀφίημι[viaa1s] πᾶς[aanpn] καί[c] ἀκολουθέω[viaa1p] σύ[rpd-s] τίς[rqnns] ἄρα[xo] εἰμί[vifx3s] ἐγώ[rpd-p]. **v.28** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] σύ[rpn-p] ὁ[dnmp] ἀκολουθέω[vpaanmp] ἐγώ[rpd-s] ἐν[p] ὁ[ddfs] παλιγγενεσία[ndfs] ὅταν[c] καθίζω[vsaa3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ἐπί[p] θρόνος[ngms] δόξα[ngfs] αὐτός[rpgms] καθίζω[vifd2p] καί[c] σύ[rpn-p] ἐπί[p] δώδεκα[tn] θρόνος[namp] κρίνω[vppanmp] ὁ[dafp] δώδεκα[tn] φυλή[nafp] ὁ[dgms] Ἰσραήλ[tp]. **v.29** καί[c] πᾶς[anmsn] ὅς[rrnms] ἀφίημι[viaa3s] οἰκία[nafp] ἤ[xo] ἀδελφός[namp] ἤ[xo] ἀδελφή[nafp] ἤ[xo] πατήρ[nams] ἤ[xo] μήτηρ[nafs] ἤ[xo] γυνή[nafs] ἤ[xo] τέκνον[nanp] ἤ[xo] ἀγρός[namp] ἕνεκα[bo] ὁ[dgns] ὄνομα[ngns] ἐγώ[rpg-s] ἑκατονταπλασίων[aanpn] λαμβάνω[vifd3s] καί[c] ζωή[nafs] αἰώνιος[aafsn] κληρονομέω[vifa3s]. **v.30** πολύς[anmpn] δέ[c] εἰμί[vifx3p] πρῶτος[anmpn] ἔσχατος[anmpn] καί[c] ἔσχατος[anmpn] πρῶτος[anmpn]. **20. v.1** ὅμοιος[anfsn] γάρ[c] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp] ἄνθρωπος[ndms] οἰκοδεσπότης[ndms] ὅστις[rrnms] ἐξέρχομαι[viaa3s] ἅμα[bo] πρωΐ[bo] μισθόω[vnam] ἐργάτης[namp] εἰς[p] ὁ[dams] ἀμπελών[nams] αὐτός[rpgms]. **v.2** συμφωνέω[vpaanms] δέ[c] μετά[p] ὁ[dgmp] ἐργάτης[ngmp] ἐκ[p] δηνάριον[ngns] ὁ[dafs] ἡμέρα[nafs] ἀποστέλλω[viaa3s] αὐτός[rpamp] εἰς[p] ὁ[dams] ἀμπελών[nams] αὐτός[rpgms].

ἐν τῇ ἀγορᾷ ἀργούς, κἀκείνοις εἶπεν, Ὑπάγετε καὶ ὑμεῖς εἰς 4
τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. οἱ δὲ ἀπῆλ-
θόν. πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν 5
ὡσαύτως. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθών, εὗρεν ἄλλους 6
ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς, Τί ὧδε ἑστήκατε ὅλην τὴν
ἡμέραν ἀργοί· λέγουσιν αὐτῷ, Ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. 7
λέγει αὐτοῖς, Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν
ᾖ δίκαιον λήψεσθε. ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ 8
ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ, Κάλεσον τοὺς ἐργάτας, καὶ ἀ-
πόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν
πρώτων. καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ 9
δηνάριον. ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλεῖονα λήψον- 10
ται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. λαβόντες δὲ ἐγόγγυ- 11
ζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες ὅτι Οὗτοι οἱ ἔσχατοι μίαν 12
ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστά-
σασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. ὁ δὲ ἀποκριθεὶς 13
εἶπεν ἑνὶ αὐτῶν, Ἑταῖρε, οὐκ ἀδικῶ σε, οὐχὶ δηναρίου συνεφώ-
νησάς μοι· ἆρον τὸ σὸν καὶ ὕπαγε, θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ 14
δοῦναι ὡς καὶ σοί. ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς 15
ἐμοῖς· εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι·

---

v.3 καί[c] ἐξέρχομαι[vpaanms] περί[p] ὁ[dafs] τρίτος[aafsn] ὥρα[nafs] ὁράω[viaa3s] ἄλλος[aampn] ἵστημι[vpxaamp] ἐν[p] ὁ[ddfs] ἀγορά[ndfs] ἀργός[aampn]. **v.4** κἀκεῖνος[rddmp] λέγω[viaa3s] ὑπάγω[vdpa2p] καί[c] σύ[rpn-p] εἰς[p] ὁ[dams] ἀμπελών[nams] καί[c] ὅς[rrnns] ἐάν[qo] εἰμί[vspx3s] δίκαιος[aansn] δίδωμι[vifa1s] σύ[rpd-p] ὁ[dnmp] δέ[c] ἀπέρχομαι[viaa3p]. **v.5** πάλιν[bo] ἐξέρχομαι[vpaanms] περί[p] ἕκτος[aafsn] καί[c] ἔνατος[aafsn] ὥρα[nafs] ποιέω[viaa3s] ὡσαύτως[bo]. **v.6** περί[p] δέ[c] ὁ[dafs] ἑνδέκατος[aafsn] ὥρα[nafs] ἐξέρχομαι[vpaanms] εὑρίσκω[viaa3s] ἄλλος[aampn] ἵστημι[vpxaamp] ἀργός[aampn] καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] τίς[rqans] ὧδε[bo] ἵστημι[vixa2p] ὅλος[aafsn] ὁ[dafs] ἡμέρα[nafs] ἀργός[anmpn]. **v.7** λέγω[vipa3p] αὐτός[rpdms] ὅτι[c] οὐδείς[anfsn] ἐγώ[rpa-p] μισθόω[viam3s] λέγω[vipa3s] αὐτός[rpdmp] ὑπάγω[vdpa2p] καί[c] σύ[rpn-p] εἰς[p] ὁ[dams] ἀμπελών[nams] καί[c] ὅς[rrans] ἐάν[qo] εἰμί[vspx3s] δίκαιος[aansn] λαμβάνω[vifd2p]. **v.8** ὄψιος[agfsn] δέ[c] γίνομαι[vpadgfs] λέγω[vipa3s] ὁ[dnms] κύριος[nnms] ὁ[dgms] ἀμπελών[ngms] ὁ[ddms] ἐπίτροπος[ndms] αὐτός[rpgms] καλέω[vdaa2s] ὁ[damp] ἐργάτης[namp] καί[c] ἀποδίδωμι[vdaa2s] αὐτός[rpdmp] ὁ[dams] μισθός[nams] ἄρχω[vpamnms] ἀπό[p] ὁ[dgmp] ἔσχατος[agmpn] ἕως[c] ὁ[dgmp] πρῶτος[agmpn]. **v.9** καί[c] ἔρχομαι[vpaanmp] ὁ[dnmp] περί[p] ὁ[dafs] ἑνδέκατος[aafsn] ὥρα[nafs] λαμβάνω[viaa3p] ἀνά[p] δηνάριον[nans]. **v.10** ἔρχομαι[vpaanmp] δέ[c] ὁ[dnmp] πρῶτος[anmpn] νομίζω[viaa3p] ὅτι[c] πολύς[aanpc] λαμβάνω[vifd3p] καί[c] λαμβάνω[viaa3p] καί[c] αὐτός[rpnmp] ἀνά[p] δηνάριον[nans]. **v.11** λαμβάνω[vpaanmp] δέ[c] γογγύζω[viia3p] κατά[p] ὁ[dgms] οἰκοδεσπότης[ngms]. **v.12** λέγω[vppanmp] ὅτι[c] οὗτος[rdnmp] ὁ[dnmp] ἔσχατος[anmpn] εἷς[nafs] ὥρα[nafs] ποιέω[viaa3p] καί[c] ἴσος[aampn] ἐγώ[rpd-p] αὐτός[rpamp] ποιέω[viaa2s] ὁ[ddmp] βαστάζω[vpaadmp] ὁ[dans] βάρος[nans] ὁ[dgfs] ἡμέρα[ngfs] καί[c] ὁ[dams] καύσων[nams]. **v.13** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] εἷς[ndms] αὐτός[rpgmp] ἑταῖρος[nvms] οὐ[xo] ἀδικέω[vipa1s] σύ[rpa-s] οὐχί[xo] δηνάριον[ngns] συμφωνέω[viaa2s] ἐγώ[rpd-s]. **v.14** αἴρω[vdaa2s] ὁ[dans] σός[rsans] καί[c] ὑπάγω[vdpa2s] θέλω[vipa1s] δέ[c] οὗτος[rddms] ὁ[ddms] ἔσχατος[admsn] δίδωμι[vnaa] ὡς[bo] καί[c] σύ[rpd-s]. **v.15** ἤ[xo] οὐ[xo] ἔξεστι[vipq3s] ἐγώ[rpd-s] ποιέω[vnaa] ὅς[rrans] θέλω[vipa1s] ἐν[p] ὁ[ddnp] ἐμός[rsdnp] εἰ[qo] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] πονηρός[anmsn] εἰμί[vipx3s] ὅτι[c] ἐγώ[rpn-s] ἀγαθός[anmsn] εἰμί[vipx1s].

16 οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι, πολλοὶ
17 γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. Καὶ ἀναβαίνων ὁ Ἰησοῦς
εἰς Ἱεροσόλυμα παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ᾽ ἰδίαν ἐν
18 τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς, Ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα,
καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ
19 γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώ-
σουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ
20 σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Τότε προσῆλ-
θεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς,
21 προσκυνοῦσα καὶ αἰτοῦσά τι παρ᾽ αὐτοῦ. ὁ δὲ εἶπεν αὐτῇ, Τί
θέλεις· λέγει αὐτῷ, Εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου,
εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων, ἐν τῇ βασιλείᾳ σου.
22 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Οὐκ οἴδατε τί αἰτεῖσθε δύνασθε
πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα ὅ ἐγὼ
23 βαπτίζομαι βαπτισθῆναι· λέγουσιν αὐτῷ, Δυνάμεθα. καὶ λέγει
αὐτοῖς, Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ
βαπτίζομαι βαπτισθήσεσθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ
εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ
24 τοῦ πατρός μου. καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ
25 τῶν δύο ἀδελφῶν. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶ-
πεν, Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν,

---

v.16 οὕτω[bo] εἰμί[vifx3p] ὁ[dnmp] ἔσχατος[anmpn] πρῶτος[anmpn] καί[c] ὁ[dnmp] πρῶτος[anmpn] ἔσχατος[anmpn] πολύς[anmpn] γάρ[c] εἰμί[vipx3p] κλητός[anmpn] ὀλίγος[anmpn] δέ[c] ἐκλεκτός[anmpn]. **v.17** καί[c] ἀναβαίνω[vppanms] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] Ἱεροσόλυμα[nafs] παραλαμβάνω[viaa3s] ὁ[damp] δώδεκα[tn] μαθητής[namp] κατά[p] ἴδιος[aafsn] ἐν[p] ὁ[ddfs] ὁδός[ndfs] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp]. **v.18** ἰδού[vdaa2s] ἀναβαίνω[vipa1p] εἰς[p] Ἱεροσόλυμα[nafs] καί[c] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] παραδίδωμι[vifp3s] ὁ[ddmp] ἀρχιερεύς[ndmp] καί[c] γραμματεύς[ndmp] καί[c] κατακρίνω[vifa3p] αὐτός[rpams] θάνατος[ndms]. **v.19** καί[c] παραδίδωμι[vifa3p] αὐτός[rpams] ὁ[ddnp] ἔθνος[ndnp] εἰς[p] ὁ[dans] ἐμπαίζω[vnaa] καί[c] μαστιγόω[vnaa] καί[c] σταυρόω[vnaa] καί[c] ὁ[ddfs] τρίτος[adfsn] ἡμέρα[ndfs] ἀνίστημι[vifm3s]. **v.20** τότε[bo] προσέρχομαι[viaa3s] αὐτός[rpdms] ὁ[dnfs] μήτηρ[nnfs] ὁ[dgmp] υἱός[ngmp] Ζεβεδαῖος[ngms] μετά[p] ὁ[dgmp] υἱός[ngmp] αὐτός[rpgfs] προσκυνέω[vppanfs] καί[c] αἰτέω[vppanfs] τι-σριανσ παρά[p] αὐτός[rpgms]. **v.21** ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdfs] τίς[rqans] θέλω[vipa2s] λέγω[vipa3s] αὐτός[rpdms] λέγω[vdaa2s] ἵνα[c] καθίζω[vsaa3p] οὗτος[rdnmp] ὁ[dnmp] δύο[tn] υἱός[nnmp] ἐγώ[rpg-s] εἷς[nnms] ἐκ[p] δεξιός[agmpn] σύ[rpg-s] καί[c] εἷς[nnms] ἐκ[p] εὐώνυμος[agmpn] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] σύ[rpg-s]. **v.22** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] οὐ[xo] οἶδα[vixa2p] τίς[rqans] αἰτέω[vipm2p] δύναμαι[vipn2p] πίνω[vnaa] ὁ[dans] ποτήριον[nans] ὅς[rrans] ἐγώ[rpn-s] μέλλω[vipa1s] πίνω[vnpa] καί[c] ὁ[dans] βάπτισμα[nans] ὅς[rrans] ἐγώ[rpn-s] βαπτίζω[vipp1s] βαπτίζω[vnap] λέγω[vipa3p] αὐτός[rpdms] δύναμαι[vipn1p]. **v.23** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dans] μέν[xo] ποτήριον[nans] ἐγώ[rpg-s] πίνω[vifd2p] καί[c] ὁ[dans] βάπτισμα[nans] ὅς[rrans] ἐγώ[rpn-s] βαπτίζω[vipp1s] βαπτίζω[vifp2p] ὁ[dnns] δέ[c] καθίζω[vnaa] ἐκ[p] δεξιός[agmpn] ἐγώ[rpg-s] καί[c] ἐκ[p] εὐώνυμος[agmpn] ἐγώ[rpg-s] οὐ[xo] εἰμί[vipx3s] ἐμός[rsnns] δίδωμι[vnaa] ἀλλά[c] ὅς[rrdmp] ἑτοιμάζω[vixp3s] ὑπό[p] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s]. **v.24** καί[c] ἀκούω[vpaanmp] ὁ[dnmp] δέκα[tn] ἀγανακτέω[viaa3p] περί[p] ὁ[dgmp] δύο[tn] ἀδελφός[ngmp].

καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. οὐχ οὕτως δὲ ἔσται 26
ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι ἔστω ὑμῶν
διάκονος, καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔστω ὑμῶν 27
δοῦλος, ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, 28
ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ
πολλῶν. Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχώ, ἠκολούθη- 29
σεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδού, δύο τυφλοὶ καθήμενοι παρὰ 30
τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν, λέγοντες,
Ἐλέησον ἡμᾶς, Κύριε, υἱὸς Δαβίδ. ὁ δὲ ὄχλος ἐπετίμησεν αὐ- 31
τοῖς ἵνα σιωπήσωσιν οἱ δὲ μεῖζον ἔκραζον, λέγοντες, Ἐλέησον
ἡμᾶς, Κύριε, υἱὸς Δαβίδ. καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐ- 32
τούς, καὶ εἶπε, Τί θέλετε ποιήσω ὑμῖν· λέγουσιν αὐτῷ, Κύριε, 33
ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί. σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς 34
ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν,, καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ
ὀφθαλμοί, καὶ ἠκολούθησαν αὐτῷ.

Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγῆ **21**
πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μα-
θητάς, λέγων αὐτοῖς, Πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι 2
ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ'
αὐτῆς, λύσαντες ἀγάγετέ μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε 3

---

v.25 ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] προσκαλέομαι[vpadnms] αὐτός[rpamp] λέγω[viaa3s] οἶδα[vixa2p] ὅτι[c] ὁ[dnmp] ἄρχων[nnmp] ὁ[dgnp] ἔθνος[ngnp] κατακυριεύω[vipa3p] αὐτός[rpgnp] καί[c] ὁ[dnmp] μέγας[anmpn] κατεξουσιάζω[vipa3p] αὐτός[rpgnp]. **v.26** οὐ[xo] οὕτω[bo] δέ[c] εἰμί[vifx3s] ἐν[p] σύ[rpd-p] ἀλλά[c] ὅς[rrnms] ἐάν[qo] θέλω[vspa3s] ἐν[p] σύ[rpd-p] μέγας[anmsn] γίνομαι[vnad] εἰμί[vdpx3s] σύ[rpg-p] διάκονος[nnms]. **v.27** καί[c] ὅς[rrnms] ἐάν[qo] θέλω[vspa3s] ἐν[p] σύ[rpd-p] εἰμί[vnpx] πρῶτος[anmsn] εἰμί[vdpx3s] σύ[rpg-p] δοῦλος[nnms]. **v.28** ὥσπερ[bo] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] οὐ[xo] ἔρχομαι[viaa3s] διακονέω[vnap] ἀλλά[c] διακονέω[vnaa] καί[c] δίδωμι[vnaa] ὁ[dafs] ψυχή[nafs] αὐτός[rpgms] λύτρον[nans] ἀντί[p] πολύς[agmpn]. **v.29** καί[c] ἐκπορεύομαι[vppngmp] αὐτός[rpgmp] ἀπό[p] Ἰεριχώ[tp] ἀκολουθέω[viaa3s] αὐτός[rpdms] ὄχλος[nnms] πολύς[anmsn]. **v.30** καί[c] ἰδού[vdaa2s] δύο[tn] τυφλός[anmpn] κάθημαι[vppnnmp] παρά[p] ὁ[dafs] ὁδός[nafs] ἀκούω[vpaanmp] ὅτι[c] Ἰησοῦς[nnms] παράγω[vipa3s] κράζω[viaa3p] λέγω[vppanmp] ἐλεέω[vdaa2s] ἐγώ[rpa-p] κύριος[nvms] υἱός[nnms] Δαυίδ[tp]. **v.31** ὁ[dnms] δέ[c] ὄχλος[nnms] ἐπιτιμάω[viaa3s] αὐτός[rpdmp] ἵνα[c] σιωπάω[vsaa3p] ὁ[dnmp] δέ[c] μέγας[bo] κράζω[viia3p] λέγω[vppanmp] ἐλεέω[vdaa2s] ἐγώ[rpa-p] κύριος[nvms] υἱός[nnms] Δαυίδ[tp]. **v.32** καί[c] ἵστημι[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] φωνέω[viaa3s] αὐτός[rpamp] καί[c] λέγω[viaa3s] τίς[rqans] θέλω[vipa2p] ποιέω[vsaa1s] σύ[rpd-p]. **v.33** λέγω[vipa3p] αὐτός[rpdms] κύριος[nvms] ἵνα[c] ἀνοίγω[vsap3p] ἐγώ[rpg-p] ὁ[dnmp] ὀφθαλμός[nnmp]. **v.34** σπλαγχνίζομαι[vpaonms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] ἅπτω[viad3s] ὁ[dgmp] ὀφθαλμός[ngmp] αὐτός[rpgmp] καί[c] εὐθέως[bo] ἀναβλέπω[viaa3p] αὐτός[rpgmp] ὁ[dnmp] ὀφθαλμός[nnmp] καί[c] ἀκολουθέω[viaa3p] αὐτός[rpdms]. **21. v.1** καί[c] ὅτε[bo] ἐγγίζω[viaa3p] εἰς[p] Ἱεροσόλυμα[nafs] καί[c] ἔρχομαι[viaa3p] εἰς[p] Βηθφαγή[tp] πρός[p] ὁ[dans] ὄρος[nans] ὁ[dgfp] ἐλαία[ngfp] τότε[bo] ὁ[dnms] Ἰησοῦς[nnms] ἀποστέλλω[viaa3s] δύο[tn] μαθητής[namp]. **v.2** λέγω[vppanms] αὐτός[rpdmp] πορεύομαι[vsao2p] εἰς[p] ὁ[dafs] κώμη[nafs] ὁ[dafs] ἀπέναντι[bo] σύ[rpg-p] καί[c] εὐθέως[bo] εὑρίσκω[vifa2p] ὄνος[nafs] δέω[vpxpafs] καί[c] πῶλος[nams] μετά[p] αὐτός[rpgfs] λύω[vpaanmp] ἄγω[vdaa2p] ἐγώ[rpd-s].

ὅτι Ὁ Κύριος αὐτῶν χρείαν ἔχει, εὐθέως δὲ ἀποστελεῖ αὐτούς.
4 τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφή-
5 του, λέγοντος, Εἴπατε τῇ θυγατρὶ Σιών, Ἰδού, ὁ βασιλεύς σου
ἔρχεταί σοι, πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑ-
6 ποζυγίου. πορευθέντες δὲ οἱ μαθηταί, καὶ ποιήσαντες καθὼς
7 προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον,
καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια, αὐτῶν, καὶ ἐπεκάθισαν
8 ἐπάνω αὐτῶν. ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμά-
τια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων,
9 καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ
ἀκολουθοῦντες ἔκραζον, λέγοντες, Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐ-
λογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑ-
10 ψίστοις. καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα
11 ἡ πόλις λέγουσα, Τίς ἐστιν οὗτος· οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός
12 ἐστιν Ἰησοῦς ο προφήτης, ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας. Καὶ
εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας
τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας
τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων
13 τὰς περιστεράς. καὶ λέγει αὐτοῖς, Γέγραπται, Ὁ οἶκός μου
οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπή-
14 λαιον λῃστῶν. Καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ

---

v.3 καί[c] ἐάν[qo] τι-σρινμσ σύ[rpd-p] λέγω[vsaa3s] τι-σριανσ λέγω[vifa2p] ὅτι[c] ὁ[dnms] κύριος[nnms] αὐτός[rpgmp] χρεία[nafs] ἔχω[vipa3s] εὐθέως[bo] δέ[c] ἀποστέλλω[vifa3s] αὐτός[rpamp]. **v.4** οὗτος[rdnns] δέ[c] ὅλος[annsn] γίνομαι[vixa3s] ἵνα[c] πληρόω[vsap3s] ὁ[dnns] λέγω[vpapnns] διά[p] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns]. **v.5** λέγω[vdaa2p] ὁ[ddfs] θυγάτηρ[ndfs] Σιών[tp] ἰδού[vdaa2s] ὁ[dnms] βασιλεύς[nnms] σύ[rpg-s] ἔρχομαι[vipn3s] σύ[rpd-s] πραΰς[anmsn] καί[c] ἐπιβαίνω[vpxanms] ἐπί[p] ὄνος[nafs] καί[c] πῶλος[nams] υἱός[nams] ὑποζύγιον[ngns]. **v.6** πορεύομαι[vpaonmp] δέ[c] ὁ[dnmp] μαθητής[nnmp] καί[c] ποιέω[vpaanmp] καθώς[bo] προστάσσω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms]. **v.7** ἄγω[viaa3p] ὁ[dafs] ὄνος[nafs] καί[c] ὁ[dams] πῶλος[nams] καί[c] ἐπιτίθημι[viaa3p] ἐπάνω[bo] αὐτός[rpgmp] ὁ[danp] ἱμάτιον[nanp] αὐτός[rpgmp] καί[c] ἐπικαθίζω[viaa3p] ἐπάνω[bo] αὐτός[rpgnp]. **v.8** ὁ[dnms] δέ[c] πολύς[anmsn] ὄχλος[nnms] στρωννύω[viaa3p] ἑαυτοῦ[rxgmp] ὁ[danp] ἱμάτιον[nanp] ἐν[p] ὁ[ddfs] ὁδός[ndfs] ἄλλος[anmpn] δέ[c] κόπτω[viia3p] κλάδος[namp] ἀπό[p] ὁ[dgnp] δένδρον[ngnp] καί[c] στρωννύω[viia3p] ἐν[p] ὁ[ddfs] ὁδός[ndfs]. **v.9** ὁ[dnmp] δέ[c] ὄχλος[nnmp] ὁ[dnmp] προάγω[vppanmp] καί[c] ὁ[dnmp] ἀκολουθέω[vppanmp] κράζω[viia3p] λέγω[vppanmp] ὡσαννά[th] ὁ[ddms] υἱός[ndms] Δαυίδ[tp] εὐλογέω[vpxpnms] ὁ[dnms] ἔρχομαι[vppnnms] ἐν[p] ὄνομα[ndns] κύριος[ngms] ὡσαννά[th] ἐν[p] ὁ[ddnp] ὕψιστος[adnpn]. **v.10** καί[c] εἰσέρχομαι[vpaagms] αὐτός[rpgms] εἰς[p] Ἱεροσόλυμα[nafs] σείω[viap3s] πᾶς[anfsn] ὁ[dnfs] πόλις[nnfs] λέγω[vppanfs] τίς[rqnms] εἰμί[vipx3s] οὗτος[rdnms]. **v.11** ὁ[dnmp] δέ[c] ὄχλος[nnmp] λέγω[viia3p] οὗτος[rdnms] εἰμί[vipx3s] Ἰησοῦς[nnms] ὁ[dnms] προφήτης[nnms] ὁ[dnms] ἀπό[p] Ναζαρά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs]. **v.12** καί[c] εἰσέρχομαι[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] ὁ[dans] ἱερόν[nans] ὁ[dgms] θεός[ngms] καί[c] ἐκβάλλω[viaa3s] πᾶς[aampn] ὁ[damp] πωλέω[vppaamp] καί[c] ἀγοράζω[vppaamp] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καί[c] ὁ[dafp] τράπεζα[nafp] ὁ[dgmp] κολλυβιστής[ngmp] καταστρέφω[viaa3s] καί[c] ὁ[dafp] καθέδρα[nafp] ὁ[dgmp] πωλέω[vppagmp] ὁ[dafp] περιστερά[nafp]. **v.13** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] γράφω[vixp3s] ὁ[dnms] οἶκος[nnms] ἐγώ[rpg-s] οἶκος[nnms] προσευχή[ngfs] καλέω[vifp3s] σύ[rpn-p] δέ[c] αὐτός[rpams] ποιέω[viaa2p] σπήλαιον[nans] λῃστής[ngmp].

ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς. ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ 15
γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας
ἐν τῷ ἱερῷ, καὶ λέγοντας, Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ἠγανάκτησαν,
καὶ εἶπον αὐτῷ, Ἀκούεις τί οὗτοι λέγουσιν· ὁ δὲ Ἰησοῦς λέγει 16
αὐτοῖς, Ναί, οὐδέποτε ἀνέγνωτε ὅτι Ἐκ στόματος νηπίων καὶ
θηλαζόντων κατηρτίσω αἶνον· καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν 17
ἔξω τῆς πόλεως εἰς Βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ. Πρωΐας δὲ 18
ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασε, καὶ ἰδὼν συκῆν μίαν ἐ- 19
πὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ᾽ αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ
φύλλα μόνον, καὶ λέγει αὐτῇ, Μηκέτι ἐκ σοῦ καρπὸς γένηται
εἰς τὸν αἰῶνα. καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. καὶ ἰδόντες 20
οἱ μαθηταὶ ἐθαύμασαν, λέγοντες, Πῶς παραχρῆμα ἐξηράνθη ἡ
συκῆ· ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, 21
ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς
ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, Ἄρθητι καὶ βλήθητι
εἰς τὴν θάλασσαν, γενήσεται. καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν 22
τῇ προσευχῇ, πιστεύοντες λήψεσθε. Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ 23
ἱερὸν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύ-
τεροι τοῦ λαοῦ, λέγοντες, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς· καὶ
τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην· ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶ- 24
πεν αὐτοῖς, Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι,

---

v.14 καί[c] προσέρχομαι[viaa3p] αὐτός[rpdms] τυφλός[anmpn] καί[c] χωλός[anmpn] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καί[c] θεραπεύω[viaa3s] αὐτός[rpamp]. **v.15** ὁράω[vpaanmp] δέ[c] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] γραμματεύς[nnmp] ὁ[danp] θαυμάσιος[aanpn] ὅς[rranp] ποιέω[viaa3s] καί[c] ὁ[damp] παῖς[namp] κράζω[vppaamp] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καί[c] λέγω[vppaamp] ὡσαννά[th] ὁ[ddms] υἱός[ndms] Δαυίδ[tp] ἀγανακτέω[viaa3p]. **v.16** καί[c] λέγω[viaa3p] αὐτός[rpdms] ἀκούω[vipa2s] τίς[rqans] οὗτος[rdnmp] λέγω[vipa3p] ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] λέγω[vipa3s] αὐτός[rpdmp] ναί[xo] οὐδέποτε[bo] ἀναγινώσκω[viaa2p] ὅτι[c] ἐκ[p] στόμα[ngns] νήπιος[agmpn] καί[c] θηλάζω[vppagmp] καταρτίζω[viam2s] αἶνος[nams]. **v.17** καί[c] καταλείπω[vpaanms] αὐτός[rpamp] ἐξέρχομαι[viaa3s] ἔξω[bo] ὁ[dgfs] πόλις[ngfs] εἰς[p] Βηθανία[nafs] καί[c] αὐλίζομαι[viao3s] ἐκεῖ[bo]. **v.18** πρωΐα[ngfs] δέ[c] ἐπανάγω[vppanms] εἰς[p] ὁ[dafs] πόλις[nafs] πεινάω[viaa3s]. **v.19** καί[c] ὁράω[vpaanms] συκῆ[nafs] εἷς[nafs] ἐπί[p] ὁ[dgfs] ὁδός[ngfs] ἔρχομαι[viaa3s] ἐπί[p] αὐτός[rpafs] καί[c] οὐδείς[aansn] εὑρίσκω[viaa3s] ἐν[p] αὐτός[rpdfs] εἰ[qo] μή[xo] φύλλον[nanp] μόνος[bo] καί[c] λέγω[vipa3s] αὐτός[rpdfs] μηκέτι[bo] ἐκ[p] σύ[rpg-s] καρπός[nnms] γίνομαι[vsad3s] εἰς[p] ὁ[dams] αἰών[nams] καί[c] ξηραίνω[viap3s] παραχρῆμα[bo] ὁ[dnfs] συκῆ[nnfs]. **v.20** καί[c] ὁράω[vpaanmp] ὁ[dnmp] μαθητής[nnmp] θαυμάζω[viaa3p] λέγω[vppanmp] πῶς[bo] παραχρῆμα[bo] ξηραίνω[viap3s] ὁ[dnfs] συκῆ[nnfs]. **v.21** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ἐάν[qo] ἔχω[vspa2p] πίστις[nafs] καί[c] μή[xo] διακρίνω[vsap2p] οὐ[xo] μόνος[bo] ὁ[dans] ὁ[dgfs] συκῆ[ngfs] ποιέω[vifa2p] ἀλλά[c] κἄν[qo] ὁ[ddns] ὄρος[ndns] οὗτος[rddns] λέγω[vsaa2p] αἴρω[vdap2s] καί[c] βάλλω[vdap2s] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] γίνομαι[vifd3s]. **v.22** καί[c] πᾶς[aanpn] ὅσος[rcanp] ἄν[xo] αἰτέω[vsaa2p] ἐν[p] ὁ[ddfs] προσευχή[ndfs] πιστεύω[vppanmp] λαμβάνω[vifd2p]. **v.23** καί[c] ἔρχομαι[vpaadms] αὐτός[rpdms] εἰς[p] ὁ[dans] ἱερόν[nans] προσέρχομαι[viaa3p] αὐτός[rpdms] διδάσκω[vppadms] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] ὁ[dgms] λαός[ngms] λέγω[vppanmp] ἐν[p] ποῖος[rqdfs] ἐξουσία[ndfs] οὗτος[rdanp] ποιέω[vipa2s] καί[c] τίς[rqnms] σύ[rpd-s] δίδωμι[viaa3s] ὁ[dafs] ἐξουσία[nafs] οὗτος[rdafs].

25 κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ, τὸ βάπτισμα Ἰω-
άννου πόθεν ἦν· ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων· οἱ δὲ διελογίζοντο
παρ᾽ ἑαυτοῖς, λέγοντες, Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν,
26 Διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ· ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώ-
πων, φοβούμεθα τὸν ὄχλον, πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς
27 προφήτην. καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον, Οὐκ οἴδαμεν.
ἔφη αὐτοῖς καὶ αὐτός, Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ
28 ταῦτα ποιῶ. τί δὲ ὑμῖν δοκεῖ· ἄνθρωπος εἶχε τέκνα δύο, καὶ
προσελθὼν τῷ πρώτῳ εἶπε, Τέκνον, ὕπαγε, σήμερον ἐργάζου ἐν
29 τῷ ἀμπελῶνι μου. ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐ θέλω, ὕστερον
30 δὲ μεταμεληθείς, ἀπῆλθε. καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν
ὡσαύτως. ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἐγώ, κύριε, καὶ οὐκ ἀπῆλθε.
31 τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός· λέγουσιν αὐ-
τῷ, Ὁ πρῶτος. λέγει αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ
τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ
32 θεοῦ. ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ
οὐκ ἐπιστεύσατε αὐτῷ, οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν
αὐτῷ, ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦ-
33 σαι αὐτῷ. Ἄλλην παραβολὴν ἀκούσατε. ἄνθρωπός τις ἦν
οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ
περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησε πύργον,

---

v.24 ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] αὐτός[rpdmp] ἐρωτάω[vifa1s] σύ[rpa-p] κἀγώ[rpn-s] λόγος[nams] εἷς[nams] ὅς[rrams] ἐάν[qo] λέγω[vsaa2p] ἐγώ[rpd-s] κἀγώ[rpn-s] σύ[rpd-p] λέγω[vifa1s] ἐν[p] ποῖος[rqdfs] ἐξουσία[ndfs] οὗτος[rdanp] ποιέω[vipa1s]. **v.25** ὁ[dnns] βάπτισμα[nnns] Ἰωάννης[ngms] πόθεν[bo] εἰμί[viix3s] ἐκ[p] οὐρανός[ngms] ἤ[xo] ἐκ[p] ἄνθρωπος[ngmp] ὁ[dnmp] δέ[c] διαλογίζομαι[viin3p] παρά[p] ἑαυτοῦ[rxdmp] λέγω[vppanmp] ἐάν[qo] λέγω[vsaa1p] ἐκ[p] οὐρανός[ngms] λέγω[vifa3s] ἐγώ[rpd-p] διά&τίς[xo] οὖν[c] οὐ[xo] πιστεύω[viaa2p] αὐτός[rpdms]. **v.26** ἐάν[qo] δέ[c] λέγω[vsaa1p] ἐκ[p] ἄνθρωπος[ngmp] φοβέομαι[vipn1p] ὁ[dams] ὄχλος[nams] πᾶς[anmpn] γάρ[c] ἔχω[vipa3p] ὁ[dams] Ἰωάννης[nams] ὡς[bo] προφήτης[nams]. **v.27** καί[c] ἀποκρίνομαι[vpaonmp] ὁ[ddms] Ἰησοῦς[ndms] λέγω[viaa3p] οὐ[xo] οἶδα[vixa1p] φημί[viix3s] αὐτός[rpdmp] καί[c] αὐτός[rpnms] οὐδέ[bo] ἐγώ[rpn-s] λέγω[vipa1s] σύ[rpd-p] ἐν[p] ποῖος[rqdfs] ἐξουσία[ndfs] οὗτος[rdanp] ποιέω[vipa1s]. **v.28** τίς[rqans] δέ[c] σύ[rpd-p] δοκέω[vipa3s] ἄνθρωπος[nnms] ἔχω[viia3s] τέκνον[nanp] δύο[tn] καί[c] προσέρχομαι[vpaanms] ὁ[ddns] πρῶτος[adnsn] λέγω[viaa3s] τέκνον[nvns] ὑπάγω[vdpa2s] σήμερον[bo] ἐργάζομαι[vdpn2s] ἐν[p] ὁ[ddms] ἀμπελών[ndms] ἐγώ[rpg-s]. **v.29** ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] οὐ[xo] θέλω[vipa1s] ὕστερος[bo] δέ[c] μεταμέλομαι[vpaonms] ἀπέρχομαι[viaa3s]. **v.30** καί[c] προσέρχομαι[vpaanms] ὁ[ddns] δεύτερος[adnsn] λέγω[viaa3s] ὡσαύτως[bo] ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] ἐγώ[rpn-s] κύριος[nvms] καί[c] οὐ[xo] ἀπέρχομαι[viaa3s]. **v.31** τίς[rqnms] ἐκ[p] ὁ[dgmp] δύο[tn] ποιέω[viaa3s] ὁ[dans] θέλημα[nans] ὁ[dgms] πατήρ[ngms] λέγω[vipa3p] αὐτός[rpdms] ὁ[dnms] πρῶτος[anmsn] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὁ[dnmp] τελώνης[nnmp] καί[c] ὁ[dnfp] πόρνη[nnfp] προάγω[vipa3p] σύ[rpa-p] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms]. **v.32** ἔρχομαι[viaa3s] γάρ[c] πρός[p] σύ[rpa-p] Ἰωάννης[nnms] ἐν[p] ὁδός[ndfs] δικαιοσύνη[ngfs] καί[c] οὐ[xo] πιστεύω[viaa2p] αὐτός[rpdms] ὁ[dnmp] δέ[c] τελώνης[nnmp] καί[c] ὁ[dnfp] πόρνη[nnfp] πιστεύω[viaa3p] αὐτός[rpdms] σύ[rpn-p] δέ[c] ὁράω[vpaanmp] ὅς[xo] μεταμέλομαι[viao2p] ὕστερος[bo] ὁ[dgms] πιστεύω[vnaa] αὐτός[rpdms].

καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. ὅτε δὲ ἤγγι- 34
σεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς
τοὺς γεωργούς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ, καὶ λαβόντες οἱ 35
γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν,
ὃν δὲ ἐλιθοβόλησαν. πάλιν ἀπέστειλεν ἄλλους δούλους πλεί- 36
ονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. ὕστερον δὲ 37
ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων, Ἐντραπήσονται
τὸν υἱόν μου. οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυ- 38
τοῖς, Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτείνωμεν αὐτὸν,
καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. καὶ λαβόντες αὐτὸν 39
ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. ὅταν οὖν ἔλ- 40
θῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις·
λέγουσιν αὐτῷ, Κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμ- 41
πελῶνα ἐκδόσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ
τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. λέγει αὐτοῖς ὁ Ἰησοῦς, 42
Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, Λίθον ὃν ἀπεδοκίμασαν
οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, παρὰ
Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν·
διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θε- 43
οῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. καὶ ὁ 44

---

v.33 ἄλλος[aafsn] παραβολή[nafs] ἀκούω[vdaa2p] ἄνθρωπος[nnms] τίς[rinms] εἰμί[viix3s] οἰκοδεσπότης[nnms] ὅστις[rrnms] φυτεύω[viaa3s] ἀμπελών[nams] καί[c] φραγμός[nams] αὐτός[rpdms] περιτίθημι[viaa3s] καί[c] ὀρύσσω[viaa3s] ἐν[p] αὐτός[rpdms] ληνός[nafs] καί[c] οἰκοδομέω[viaa3s] πύργος[nams] καί[c] ἐκδίδωμι[viam3s] αὐτός[rpams] γεωργός[ndmp] καί[c] ἀποδημέω[viaa3s]. **v.34** ὅτε[bo] δέ[c] ἐγγίζω[viaa3s] ὁ[dnms] καιρός[nnms] ὁ[dgmp] κάρπος[ngmp] ἀποστέλλω[viaa3s] ὁ[damp] δοῦλος[namp] αὐτός[rpgms] πρός[p] ὁ[damp] γεωργός[namp] λαμβάνω[vnaa] ὁ[damp] καρπός[namp] αὐτός[rpgms]. **v.35** καί[c] λαμβάνω[vpaanmp] ὁ[dnmp] γεωργός[nnmp] ὁ[damp] δοῦλος[namp] αὐτός[rpgms] ὅς[rrams] μέν[xo] δέρω[viaa3p] ὅς[rrams] δέ[c] ἀποκτείνω[viaa3p] ὅς[rrams] δέ[c] λιθοβολέω[viap3p]. **v.36** πάλιν[bo] ἀποστέλλω[viaa3s] ἄλλος[aampn] δοῦλος[namp] πολύς[aampc] ὁ[dgmp] πρῶτος[agmpn] καί[c] ποιέω[viaa3p] αὐτός[rpdmp] ὡσαύτως[bo]. **v.37** ὕστερος[bo] δέ[c] ἀποστέλλω[viaa3s] πρός[p] αὐτός[rpamp] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] λέγω[vppanms] ἐντρέπω[vifp3p] ὁ[dams] υἱός[nams] ἐγώ[rpg-s]. **v.38** ὁ[dnmp] δέ[c] γεωργός[nnmp] ὁράω[vpaanmp] ὁ[dams] υἱός[nams] λέγω[viaa3p] ἐν[p] ἑαυτοῦ[rxdmp] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] κληρονόμος[nnms] δεῦτε[vdvx2p] ἀποκτείνω[vspa1p] αὐτός[rpams] καί[c] κατέχω[vsaa1p] ὁ[dafs] κληρονομία[nafs] αὐτός[rpgms]. **v.39** καί[c] λαμβάνω[vpaanmp] αὐτός[rpams] ἐκβάλλω[viaa3p] ἔξω[bo] ὁ[dgms] ἀμπελών[ngms] καί[c] ἀποκτείνω[viaa3p]. **v.40** ὅταν[c] οὖν[c] ἔρχομαι[vsaa3s] ὁ[dnms] κύριος[nnms] ὁ[dgms] ἀμπελών[ngms] τίς[rqans] ποιέω[vifa3s] ὁ[ddmp] γεωργός[ndmp] ἐκεῖνος[rddmp]. **v.41** λέγω[vipa3p] αὐτός[rpdms] κακός[aampn] κακῶς[bo] ἀπόλλυμι[vifa3s] αὐτός[rpamp] καί[c] ὁ[dams] ἀμπελών[nams] ἐκδίδωμι[vifd3s] ἄλλος[admpn] γεωργός[ndmp] ὅστις[rrnmp] ἀποδίδωμι[vifa3p] αὐτός[rpdms] ὁ[damp] καρπός[namp] ἐν[p] ὁ[ddmp] καιρός[ndmp] αὐτός[rpgmp]. **v.42** λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] οὐδέποτε[bo] ἀναγινώσκω[viaa2p] ἐν[p] ὁ[ddfp] γραφή[ndfp] λίθος[nams] ὅς[rrams] ἀποδοκιμάζω[viaa3p] ὁ[dnmp] οἰκοδομέω[vppanmp] οὗτος[rdnms] γίνομαι[viao3s] εἰς[p] κεφαλή[nafs] γωνία[ngfs] παρά[p] κύριος[ngms] γίνομαι[viad3s] οὗτος[rdnfs] καί[c] εἰμί[vipx3s] θαυμαστός[anfsn] ἐν[p] ὀφθαλμός[ndmp] ἐγώ[rpg-p]. **v.43** διά[p] οὗτος[rdans] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] αἴρω[vifp3s] ἀπό[p] σύ[rpg-p] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgms] θεός[ngms] καί[c] δίδωμι[vifp3s] ἔθνος[ndns] ποιέω[vppadns] ὁ[damp] καρπός[namp] αὐτός[rpgfs].

πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται, ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ
45 λικμήσει αὐτόν. καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρι-
46 σαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει. καὶ
ζητοῦντες αὐτὸν κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς
προφήτην αὐτὸν εἶχον.
22 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς,
2 λέγων, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ,
3 ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, καὶ ἀπέστειλε τοὺς δού-
λους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ
4 οὐκ ἤθελον ἐλθεῖν. πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων,
Εἴπατε τοῖς κεκλημένοις, Ἰδού, τὸ ἄριστόν μου ἡτοίμασα, οἱ
ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα, δεῦτε
5 εἰς τοὺς γάμους. οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν εἰς τὸν
6 ἴδιον ἀγρόν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ, οἱ δὲ λοιποὶ κρατή-
7 σαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν. ἀκούσας
δὲ ὁ βασιλεὺς ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀ-
πώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.
8 τότε λέγει τοῖς δούλοις αὐτοῦ, Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ
9 κεκλημένοι οὐκ ἦσαν ἄξιοι. πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους
10 τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους. καὶ
ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς συνήγαγον πάντας
ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθούς, καὶ ἐπλήσθη ὁ γάμος

---

v.44 καί[c] ὁ[dnms] πίπτω[vpaanms] ἐπί[p] ὁ[dams] λίθος[nams] οὗτος[rdams] συνθλάω[vifp3s] ἐπί[p] ὅς[rrams] δέ[c] ἄν[xo] πίπτω[vsaa3s] λικμάω[vifa3s] αὐτός[rpams]. **v.45** καί[c] ἀκούω[vpaanmp] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] ὁ[dafp] παραβολή[nafp] αὐτός[rpgms] γινώσκω[viaa3p] ὅτι[c] περί[p] αὐτός[rpgmp] λέγω[vipa3s]. **v.46** καί[c] ζητέω[vppanmp] αὐτός[rpams] κρατέω[vnaa] φοβέομαι[viao3p] ὁ[damp] ὄχλος[namp] ἐπειδή[c] ὡς[bo] προφήτης[nams] αὐτός[rpams] ἔχω[viia3p]. **22. v.1** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] πάλιν[bo] λέγω[viaa3s] αὐτός[rpdmp] ἐν[p] παραβολή[ndfp] λέγω[vppanms]. **v.2** ὁμοιόω[viap3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgmp] οὐρανός[ngmp] ἄνθρωπος[ndms] βασιλεύς[ndms] ὅστις[rrnms] ποιέω[viaa3s] γάμος[namp] ὁ[ddms] υἱός[ndms] αὐτός[rpgms]. **v.3** καί[c] ἀποστέλλω[viaa3s] ὁ[damp] δοῦλος[namp] αὐτός[rpgms] καλέω[vnaa] ὁ[damp] καλέω[vpxpamp] εἰς[p] ὁ[damp] γάμος[namp] καί[c] οὐ[xo] θέλω[viia3p] ἔρχομαι[vnaa]. **v.4** πάλιν[bo] ἀποστέλλω[viaa3s] ἄλλος[aampn] δοῦλος[namp] λέγω[vppanms] λέγω[vdaa2p] ὁ[ddmp] καλέω[vpxpdmp] ἰδού[vdaa2s] ὁ[dnns] ἄριστον[nnns] ἐγώ[rpg-s] ἑτοιμάζω[viaa1s] ὁ[dnmp] ταῦρος[nnmp] ἐγώ[rpg-s] καί[c] ὁ[dnnp] σιτιστός[annpn] θύω[vpxpnnp] καί[c] πᾶς[annpn] ἕτοιμος[annpn] δεῦτε[vdvx2p] εἰς[p] ὁ[damp] γάμος[namp]. **v.5** ὁ[dnmp] δέ[c] ἀμελέω[vpaanmp] ἀπέρχομαι[viaa3p] ὁ[dnms] μέν[xo] εἰς[p] ὁ[dams] ἴδιος[aamsn] ἀγρός[nams] ὁ[dnms] δέ[c] εἰς[p] ὁ[dafs] ἐμπορία[nafs] αὐτός[rpgms]. **v.6** ὁ[dnmp] δέ[c] λοιπός[anmpn] κρατέω[vpaanmp] ὁ[damp] δοῦλος[namp] αὐτός[rpgms] ὑβρίζω[viaa3p] καί[c] ἀποκτείνω[viaa3p]. **v.7** ἀκούω[vpaanms] δέ[c] ὁ[dnms] βασιλεύς[nnms] ὀργίζω[viap3s] καί[c] πέμπω[vpaanms] ὁ[danp] στράτευμα[nanp] αὐτός[rpgms] ἀπόλλυμι[viaa3s] ὁ[damp] φονεύς[namp] ἐκεῖνος[rdamp] καί[c] ὁ[dafs] πόλις[nafs] αὐτός[rpgmp] ἐμπίπρημι[viaa3s]. **v.8** τότε[bo] λέγω[vipa3s] ὁ[ddmp] δοῦλος[ndmp] αὐτός[rpgms] ὁ[dnms] μέν[xo] γάμος[nnms] ἕτοιμος[anmsn] εἰμί[vipx3s] ὁ[dnmp] δέ[c] καλέω[vpxpnmp] οὐ[xo] εἰμί[viix3p] ἄξιος[anmpn]. **v.9** πορεύομαι[vdpn2p] οὖν[c] ἐπί[p] ὁ[dafp] διέξοδος[nafp] ὁ[dgfp] ὁδός[ngfp] καί[c] ὅσος[rcamp] ἄν[xo] εὑρίσκω[vsaa2p] καλέω[vdaa2p] εἰς[p] ὁ[damp] γάμος[namp].

ἀνακειμένων. εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακει- 11
μένους εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου,
καὶ λέγει αὐτῷ, Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα 12
γάμου· ὁ δὲ ἐφιμώθη. τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις, 13
Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, ἄρατε αὐτὸν καὶ ἐκβάλετε
εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυ-
γμὸς τῶν ὀδόντων. πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. 14
Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν 15
παγιδεύσωσιν ἐν λόγῳ. καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθη- 16
τὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες, Διδάσκαλε, οἴδαμεν
ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις,
καὶ οὐ μέλει σοι περὶ οὐδενός, οὐ γὰρ βλέπεις εἰς πρόσωπον
ἀνθρώπων. εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ· ἔξεστι δοῦναι κῆνσον 17
Καίσαρι, ἢ οὔ· γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε, Τί 18
με πειράζετε, ὑποκριταί· ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήν- 19
σου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. καὶ λέγει αὐτοῖς, 20
Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή· λέγουσιν αὐτῷ, Καίσα- 21
ρος. τότε λέγει αὐτοῖς, Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι, καὶ
τὰ τοῦ Θεοῦ τῷ Θεῷ. καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέν- 22
τες αὐτὸν ἀπῆλθον. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ 23

---

τὸν Χριστὸν Κυρίου. καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν, 27
καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποι-
ῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ 28
αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν
Θεόν, καὶ εἶπε, Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ 29
τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν 30
σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς 31, 32
ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. καὶ ἦν Ἰω- 33
σὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ

---

v.21 καί^{c} ὅτε^{bo} πίμπλημι^{viap3p} ἡμέρα^{nnfp} ὀκτώ^{tn} ὁ^{dgms} περιτέμνω^{vnaa} ὁ^{dans} παιδίον^{nans} καί^{c} καλέω^{viap3s} ὁ^{dnns} ὄνομα^{nnns} αὐτός^{rpgms} Ἰησοῦς^{nnms} ὁ^{dnns} καλέω^{vpapnns} ὑπό^{p} ὁ^{dgms} ἄγγελος^{ngms} πρό^{p} ὁ^{dgms} συλλαμβάνω^{vnap} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} κοιλία^{ndfs}. **v.22** καί^{c} ὅτε^{bo} πίμπλημι^{viap3p} ὁ^{dnfp} ἡμέρα^{nnfp} ὁ^{dgms} καθαρισμός^{ngms} αὐτός^{rpgfs} κατά^{p} ὁ^{dams} νόμος^{nams} Μωϋσῆς^{ngms} ἀνάγω^{viaa3p} αὐτός^{rpams} εἰς^{p} Ἱεροσόλυμα^{nafs} παρίστημι^{vnaa} ὁ^{ddms} κύριος^{ndms}. **v.23** καθώς^{bo} γράφω^{vixp3s} ἐν^{p} νόμος^{ndms} κύριος^{ngms} ὅτι^{c} πᾶς^{annsn} ἄρσην^{nnns} διανοίγω^{vppanns} μήτρα^{nafs} ἅγιος^{aansn} ὁ^{ddms} κύριος^{ndms} καλέω^{vifp3s}. **v.24** καί^{c} ὁ^{dgms} δίδωμι^{vnaa} θυσία^{nafs} κατά^{p} ὁ^{dans} λέγω^{vpxpans} ἐν^{p} νόμος^{ndms} κύριος^{ngms} ζεῦγος^{nnns} τρυγών^{ngfp} ἤ^{xo} δύο^{tn} νοσσός^{namp} περιστερά^{ngfp}. **v.25** καί^{c} ἰδού^{vdaa2s} εἰμί^{viix3s} ἄνθρωπος^{nnms} ἐν^{p} Ἰερουσαλήμ^{tp} ὅς^{rrdms} ὄνομα^{nnns} Συμεών^{tp} καί^{c} ὁ^{dnms} ἄνθρωπος^{nnms} οὗτος^{rdnms} δίκαιος^{anmsn} καί^{c} εὐλαβής^{anmsn} προσδέχομαι^{vppnnms} παράκλησις^{nafs} ὁ^{dgms} Ἰσραήλ^{tp} καί^{c} πνεῦμα^{nnns} ἅγιος^{aansn} εἰμί^{viix3s} ἐπί^{p} αὐτός^{rpams}. **v.26** καί^{c} εἰμί^{viix3s} αὐτός^{rpdms} χρηματίζω^{vpxpnns} ὑπό^{p} ὁ^{dgns} πνεῦμα^{ngns} ὁ^{dgns} ἅγιος^{agnsn} μή^{xo} ὁράω^{vnaa} θάνατος^{nams} πρίν^{bo} ἤ^{xo} ὁράω^{vsaa3s} ὁ^{dams} Χριστός^{nams} κύριος^{ngms}. **v.27** καί^{c} ἔρχομαι^{viaa3s} ἐν^{p} ὁ^{ddns} πνεῦμα^{ndns} εἰς^{p} ὁ^{dans} ἱερόν^{nans} καί^{c} ἐν^{p} ὁ^{ddms} εἰσάγω^{vnaa} ὁ^{damp} γονεύς^{namp} ὁ^{dans} παιδίον^{nans} Ἰησοῦς^{nams} ὁ^{dgms} ποιέω^{vnaa} αὐτός^{rpamp} κατά^{p} ὁ^{dans} ἐθίζω^{vpxpans} ὁ^{dgms} νόμος^{ngms} περί^{p} αὐτός^{rpgms}. **v.28** καί^{c} αὐτός^{rpnms} δέχομαι^{viad3s} αὐτός^{rpans} εἰς^{p} ὁ^{dafp} ἀγκάλη^{nafp} αὐτός^{rpgms} καί^{c} εὐλογέω^{viaa3s} ὁ^{dams} θεός^{nams} καί^{c} λέγω^{viaa3s}. **v.29** νῦν^{bo} ἀπολύω^{vipa2s} ὁ^{dams} δοῦλος^{nams} σύ$^{\text{rpg-s}}$ δεσπότης^{nvms} κατά^{p} ὁ^{dans} ῥῆμα^{nans} σύ$^{\text{rpg-s}}$ ἐν^{p} εἰρήνη^{ndfs}. **v.30** ὅτι^{c} ὁράω^{viaa3p} ὁ^{dnmp} ὀφθαλμός^{nnmp} ἐγώ$^{\text{rpg-s}}$ ὁ^{dans} σωτήριον^{aansn} σύ$^{\text{rpg-s}}$. **v.31** ὅς^{rrans} ἑτοιμάζω^{viaa2s} κατά^{p} πρόσωπον^{nans} πᾶς^{agmpn} ὁ^{dgmp} λαός^{ngmp}. **v.32** φῶς^{nnns} εἰς^{p} ἀποκάλυψις^{nafs} ἔθνος^{ngnp} καί^{c} δόξα^{nafs} λαός^{ngms} σύ$^{\text{rpg-s}}$ Ἰσραήλ^{tp}.

34 αὐτοῦ. καὶ εὐλόγησεν αὐτοὺς Σιμεών, καὶ εἶπε πρὸς Μαριὰμ
τὴν μητέρα αὐτοῦ, Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν
35 πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον, καὶ σοῦ
δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυ-
36 φθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. καὶ ἦν Ἄννα προφῆ-
τις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ αὕτη προβεβηκυῖα ἐν
ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρ-
37 θενίας αὐτῆς, καὶ αὐτὴ χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων, ἣ
οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα
38 νύκτα καὶ ἡμέραν. καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμο-
λογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχο-
39 μένοις λύτρωσιν ἐν Ἰερουσαλήμ. καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ
κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν
40 πόλιν αὐτῶν Ναζαρέθ. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο
πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτό.
41 Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽ ἔτος εἰς Ἰερουσαλὴμ τῇ
42 ἑορτῇ τοῦ πάσχα. καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων
43 αὐτῶν εἰς Ἰεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειω-
σάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰη-
σοῦς ὁ παῖς ἐν Ἰερουσαλήμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ
44 αὐτοῦ, νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέ-
ρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς

---

v.33 καί[c] εἰμί[viix3s] Ἰωσήφ[tp] καί[c] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms] θαυμάζω[vppanmp] ἐπί[p] ὁ[ddnp] λαλέω[vpppdnp] περί[p] αὐτός[rpgms]. **v.34** καί[c] εὐλογέω[viaa3s] αὐτός[rpamp] Συμεών[tp] καί[c] λέγω[viaa3s] πρός[p] Μαρία[tp] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] ἰδού[vdaa2s] οὗτος[rdnms] κεῖμαι[vipn3s] εἰς[p] πτῶσις[nafs] καί[c] ἀνάστασις[nafs] πολύς[agmpn] ἐν[p] ὁ[ddms] Ἰσραήλ[tp] καί[c] εἰς[p] σημεῖον[nans] ἀντιλέγω[vpppans]. **v.35** καί[c] σύ[rpg-s] δέ[c] αὐτός[rpgfs] ὁ[dafs] ψυχή[nafs] διέρχομαι[vifd3s] ῥομφαία[nnfs] ὅπως[bo] ἄν[xo] ἀποκαλύπτω[vsap3p] ἐκ[p] πολύς[agfpn] καρδία[ngfp] διαλογισμός[nnmp]. **v.36** καί[c] εἰμί[viix3s] Ἄννα[nnfs] προφῆτις[nnfs] θυγάτηρ[nnfs] Φανουήλ[tp] ἐκ[p] φυλή[ngfs] Ἀσήρ[tp] οὗτος[rpnfs] προβαίνω[vpxanfs] ἐν[p] ἡμέρα[ndfp] πολύς[adfpn] ζάω[vpaanfs] ἔτος[nanp] μετά[p] ἀνήρ[ngms] ἑπτά[tn] ἀπό[p] ὁ[dgfs] παρθενία[ngfs] αὐτός[rpgfs]. **v.37** καί[c] αὐτός[rpnfs] χήρα[nnfs] ὡς[bo] ἔτος[ngnp] ὀγδοήκοντα[ngnp] ὅς[rrnfs] οὐ[xo] ἀφίστημι[viin3s] ἀπό[p] ὁ[dgns] ἱερόν[ngns] νηστεία[ndfp] καί[c] δέησις[ndfp] λατρεύω[vppanfs] νύξ[nafs] καί[c] ἡμέρα[nafs]. **v.38** καί[c] αὐτός[rpnfs] αὐτός[rpdfs] ὁ[ddfs] ὥρα[ndfs] ἐφίστημι[vpaanfs] ἀνθομολογέομαι[viin3s] ὁ[ddms] κύριος[ndms] καί[c] λαλέω[viia3s] περί[p] αὐτός[rpgms] πᾶς[admpn] ὁ[ddmp] προσδέχομαι[vppndmp] λύτρωσις[nafs] ἐν[p] Ἰερουσαλήμ[tp]. **v.39** καί[c] ὡς[bo] τελέω[viaa3p] ἅπας[aanpn] ὁ[danp] κατά[p] ὁ[dams] νόμος[nams] κύριος[ngms] ὑποστρέφω[viaa3p] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] εἰς[p] ὁ[dafs] πόλις[nafs] αὐτός[rpgmp] Ναζαρά[tp]. **v.40** ὁ[dnns] δέ[c] παιδίον[nnns] αὐξάνω[viia3s] καί[c] κραταιόω[viip3s] πνεῦμα[ndns] πληρόω[vpppnns] σοφία[ngfs] καί[c] χάρις[nnfs] θεός[ngms] εἰμί[viix3s] ἐπί[p] αὐτός[rpans]. **v.41** καί[c] πορεύομαι[viin3p] ὁ[dnmp] γονεύς[nnmp] αὐτός[rpgms] κατά[p] ἔτος[nans] εἰς[p] Ἰερουσαλήμ[tp] ὁ[ddfs] ἑορτή[ndfs] ὁ[dgms] πάσχα[ta]. **v.42** καί[c] ὅτε[bo] γίνομαι[viad3s] ἔτος[ngnp] δώδεκα[tn] ἀναβαίνω[vpaagmp] αὐτός[rpgmp] εἰς[p] Ἱεροσόλυμα[nafs] κατά[p] ὁ[dans] ἔθος[nans] ὁ[dgfs] ἑορτή[ngfs]. **v.43** καί[c] τελειόω[vpaagmp] ὁ[dafp] ἡμέρα[nafp] ἐν[p] ὁ[ddms] ὑποστρέφω[vnpa] αὐτός[rpamp] ὑπομένω[viaa3s] Ἰησοῦς[nnms] ὁ[dnms] παῖς[nnms] ἐν[p] Ἰερουσαλήμ[tp] καί[c] οὐ[xo] γινώσκω[viaa3s] Ἰωσήφ[tp] καί[c] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms].

γνωστοῖς, καὶ μὴ εὑρόντες αὐτόν, ὑπέστρεψαν εἰς Ἰερουσα- 45
λήμ, ζητοῦντες αὐτόν. καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς εὗρον 46
αὐτὸν ἐν τῷ ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ
ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. ἐξίσταντο δὲ πάντες 47
οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.
καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐ- 48
τοῦ εἶπε, Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως· ἰδού, ὁ πατήρ σου
κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐτούς, Τί ὅτι 49
ἐζητεῖτέ με· οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με·
καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. καὶ κατέβη 50, 51
μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέθ, καὶ ἦν ὑποτασσόμενος αὐ-
τοῖς. καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ
καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ 52
χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσα- **3**
ρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τε-
τραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελ-
φοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώ-
ρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπ' ἀρχιε- 2
ρέων Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν

---

v.44 νομίζω[vpaanmp] δέ[c] αὐτός[rpams] ἐν[p] ὁ[ddfs] συνοδία[ndfs] εἰμί[vnpx] ἔρχομαι[viaa3p] ἡμέρα[ngfs] ὁδός[nafs] καί[c] ἀναζητέω[viia3p] αὐτός[rpams] ἐν[p] ὁ[ddmp] συγγενής[admpn] καί[c] ἐν[p] ὁ[ddmp] γνωστός[admpn]. **v.45** καί[c] μή[xo] εὑρίσκω[vpaanmp] αὐτός[rpams] ὑποστρέφω[viaa3p] εἰς[p] Ἰερουσαλήμ[tp] ζητέω[vppanmp] αὐτός[rpams]. **v.46** καί[c] γίνομαι[viad3s] μετά[p] ἡμέρα[nafp] τρεῖς[nafp] εὑρίσκω[viaa3p] αὐτός[rpams] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καθέζομαι[vppnams] ἐν[p] μέσος[adnsn] ὁ[dgmp] διδάσκαλος[ngmp] καί[c] ἀκούω[vppaams] αὐτός[rpgmp] καί[c] ἐπερωτάω[vppaams] αὐτός[rpamp]. **v.47** ἐξίστημι[viim3p] δέ[c] πᾶς[anmpn] ὁ[dnmp] ἀκούω[vppanmp] αὐτός[rpgms] ἐπί[p] ὁ[ddfs] σύνεσις[ndfs] καί[c] ὁ[ddfp] ἀπόκρισις[ndfp] αὐτός[rpgms]. **v.48** καί[c] ὁράω[vpaanmp] αὐτός[rpams] ἐκπλήσσω[viap3p] καί[c] πρός[p] αὐτός[rpams] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms] λέγω[viaa3s] τέκνον[nvns] τίς[rqans] ποιέω[viaa2s] ἐγώ[rpd-p] οὕτω[bo] ἰδού[vdaa2s] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-s] κἀγώ[rpn-s] ὀδυνάομαι[vpppnmp] ζητέω[viia1p] σύ[rpa-s]. **v.49** καί[c] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] τίς[rqnns] ὅτι[c] ζητέω[viia2p] ἐγώ[rpa-s] οὐ[xo] οἶδα[viya2p] ὅτι[c] ἐν[p] ὁ[ddnp] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] δεῖ[vipq3s] εἰμί[vnpx] ἐγώ[rpa-s]. **v.50** καί[c] αὐτός[rpnmp] οὐ[xo] συνίημι[viaa3p] ὁ[dans] ῥῆμα[nans] ὅς[rrans] λαλέω[viaa3s] αὐτός[rpdmp]. **v.51** καί[c] καταβαίνω[viaa3s] μετά[p] αὐτός[rpgmp] καί[c] ἔρχομαι[viaa3s] εἰς[p] Ναζαρά[tp] καί[c] εἰμί[viix3s] ὑποτάσσω[vpppnms] αὐτός[rpdmp] καί[c] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms] διατηρέω[viia3s] πᾶς[aanpn] ὁ[danp] ῥῆμα[nanp] οὗτος[rdanp] ἐν[p] ὁ[ddfs] καρδία[ndfs] αὐτός[rpgfs]. **v.52** καί[c] Ἰησοῦς[nnms] προκόπτω[viia3s] σοφία[ndfs] καί[c] ἡλικία[ndfs] καί[c] χάρις[ndfs] παρά[p] θεός[ndms] καί[c] ἄνθρωπος[ndmp]. **3. v.1** ἐν[p] ἔτος[ndns] δέ[c] πεντεκαιδέκατος[adnsn] ὁ[dgfs] ἡγεμονία[ngfs] Τιβέριος[ngms] Καῖσαρ[ngms] ἡγεμονεύω[vppagms] Πόντιος[ngms] Πιλᾶτος[ngms] ὁ[dgfs] Ἰουδαία[ngfs] καί[c] τετρααρχέω[vppagms] ὁ[dgfs] Γαλιλαία[ngfs] Ἡρῴδης[ngms] Φίλιππος[ngms] δέ[c] ὁ[dgms] ἀδελφός[ngms] αὐτός[rpgms] τετρααρχέω[vppagms] ὁ[dgfs] Ἰτουραῖος[agfsn] καί[c] Τραχωνῖτις[ngfs] χώρα[ngfs] καί[c] Λυσανίας[ngms] ὁ[dgfs] Ἀβιληνή[ngfs] τετρααρχέω[vppagms].

3 τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς πᾶσαν τὴν
περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς
4 ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἠσαΐου τοῦ
προφήτου, λέγοντος, Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε
5 τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα
φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσε-
ται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς
6, 7 λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. Ἔλεγεν
οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ᾽ αὐτοῦ, Γεν-
νήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης
8 ὀργῆς· ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ
ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ, λέγω
γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα
9 τῷ Ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων
κεῖται, πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται
10 καὶ εἰς πῦρ βάλλεται. καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες,
11 Τί οὖν ποιήσομεν· ἀποκριθεὶς δὲ λέγει αὐτοῖς, Ὁ ἔχων δύο
χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως
12 ποιείτω. ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς
13 αὐτόν, Διδάσκαλε, τί ποιήσομεν· ὁ δὲ εἶπε πρὸς αὐτούς, Μη-
14 δὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. ἐπηρώτων

---

v.2 ἐπί[p] ἀρχιερεύς[ngmp] Ἅννας[ngms] καί[c] Καϊάφας[ngms] γίνομαι[viad3s] ῥῆμα[nnns] θεός[ngms] ἐπί[p] Ἰωάννης[nams] ὁ[dams] ὁ[dgms] Ζαχαρίας[ngms] υἱός[nams] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn]. **v.3** καί[c] ἔρχομαι[viaa3s] εἰς[p] πᾶς[aafsn] ὁ[dafs] περίχωρος[aafsn] ὁ[dgms] Ἰορδάνης[ngms] κηρύσσω[vppanms] βάπτισμα[nans] μετάνοια[ngfs] εἰς[p] ἄφεσις[nafs] ἁμαρτία[ngfp]. **v.4** ὡς[bo] γράφω[vixp3s] ἐν[p] βίβλος[ndfs] λόγος[ngmp] Ἠσαΐας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns] φωνή[nnfs] βοάω[vppagms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] ἑτοιμάζω[vdaa2p] ὁ[dafs] ὁδός[nafs] κύριος[ngms] εὐθύς[aafpn] ποιέω[vdpa2p] ὁ[dafp] τρίβος[nafp] αὐτός[rpgms]. **v.5** πᾶς[anfsn] φάραγξ[nnfs] πληρόω[vifp3s] καί[c] πᾶς[annsn] ὄρος[nnns] καί[c] βουνός[nnms] ταπεινόω[vifp3s] καί[c] εἰμί[vifx3s] ὁ[dnnp] σκολιός[annpn] εἰς[p] εὐθύς[aafsn] καί[c] ὁ[dnfp] τραχύς[anfpn] εἰς[p] ὁδός[nafp] λεῖος[aafpn]. **v.6** καί[c] ὁράω[vifd3s] πᾶς[anfsn] σάρξ[nnfs] ὁ[dans] σωτήριον[aansn] ὁ[dgms] θεός[ngms]. **v.7** λέγω[viia3s] οὖν[c] ὁ[ddmp] ἐκπορεύομαι[vppndmp] ὄχλος[ndmp] βαπτίζω[vnap] ὑπό[p] αὐτός[rpgms] γέννημα[nvnp] ἔχιδνα[ngfp] τίς[rqnms] ὑποδείκνυμι[viaa3s] σύ[rpd-p] φεύγω[vnaa] ἀπό[p] ὁ[dgfs] μέλλω[vppagfs] ὀργή[ngfs]. **v.8** ποιέω[vdaa2p] οὖν[c] καρπός[namp] ἄξιος[aampn] ὁ[dgfs] μετάνοια[ngfs] καί[c] μή[xo] ἄρχω[vsam2p] λέγω[vnpa] ἐν[p] ἑαυτοῦ[rxdmp] πατήρ[nams] ἔχω[vipa1p] ὁ[dams] Ἀβραάμ[tp] λέγω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] δύναμαι[vipn3s] ὁ[dnms] θεός[nnms] ἐκ[p] ὁ[dgmp] λίθος[ngmp] οὗτος[rdgmp] ἐγείρω[vnaa] τέκνον[nanp] ὁ[ddms] Ἀβραάμ[tp]. **v.9** ἤδη[bo] δέ[c] καί[c] ὁ[dnfs] ἀξίνη[nnfs] πρός[p] ὁ[dafs] ῥίζα[nafs] ὁ[dgnp] δένδρον[ngnp] κεῖμαι[vipn3s] πᾶς[annsn] οὖν[c] δένδρον[nnns] μή[xo] ποιέω[vppanns] καρπός[nams] καλός[aamsn] ἐκκόπτω[vipp3s] καί[c] εἰς[p] πῦρ[nans] βάλλω[vipp3s]. **v.10** καί[c] ἐπερωτάω[viia3p] αὐτός[rpams] ὁ[dnmp] ὄχλος[nnmp] λέγω[vppanmp] τίς[rqans] οὖν[c] ποιέω[vifa1p]. **v.11** ἀποκρίνομαι[vpaonms] δέ[c] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] ἔχω[vppanms] δύο[tn] χιτών[namp] μεταδίδωμι[vdaa3s] ὁ[ddms] μή[xo] ἔχω[vppadms] καί[c] ὁ[dnms] ἔχω[vppanms] βρῶμα[nanp] ὁμοίως[bo] ποιέω[vdpa3s]. **v.12** ἔρχομαι[viaa3p] δέ[c] καί[c] τελώνης[nnmp] βαπτίζω[vnap] καί[c] λέγω[viaa3p] πρός[p] αὐτός[rpams] διδάσκαλος[nvms] τίς[rqans] ποιέω[vifa1p]. **v.13** ὁ[dnms] δέ[c] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] μηδείς[aansn] πολύς[aansc] παρά[p] ὁ[dans] διατάσσω[vpxpans] σύ[rpd-p] πράσσω[vipa2p].

δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες, Καὶ ἡμεῖς τί ποιήσομεν·
καὶ εἶπε πρὸς αὐτούς, Μηδένα διασείσητε, μηδὲ συκοφαντή-
σητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. Προσδοκῶντος δὲ τοῦ 15
λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν πε-
ρὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός, ἀπεκρίνατο ὁ 16
Ἰωάννης, ἅπασι λέγων, Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται
δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα
τῶν ὑποδημάτων αὐτοῦ, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁ-
γίῳ καὶ πυρί, οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθᾶρι- 17
εῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην
αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Πολλὰ μὲν 18
οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν, ὁ δὲ Ἡρώ- 19
δης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ᾽ αὐτοῦ περὶ Ἡρωδιάδος τῆς
γυναικὸς Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν
ἐποίησε πονηρῶν ὁ Ἡρώδης, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, 20
καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Ἐγένετο δὲ ἐν 21
τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν, καὶ Ἰησοῦ βαπτισθέντος, καὶ
προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανόν, καὶ καταβῆναι τὸ 22
Πνεῦμα τὸ Ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ᾽ αὐτόν,
καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν, Σὺ εἶ ὁ υἱός μου
ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα. Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ 23
ἐτῶν τριάκοντα ἀρχόμενος, ὢν ὡς ἐνομίζετο υἱός Ἰωσήφ, τοῦ

---

v.14 ἐπερωτάω[viia3p] δέ[c] αὐτός[rpams] καί[c] στρατεύω[vppmnmp] λέγω[vppanmp] καί[c] ἐγώ[rpn-p] τίς[rqans] ποιέω[vifa1p] καί[c] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] μηδείς[aamsn] διασείω[vsaa2p] μηδέ[c] συκοφαντέω[vsaa2p] καί[c] ἀρκέω[vdpp2p] ὁ[ddnp] ὀψώνιον[ndnp] σύ[rpg-p]. **v.15** προσδοκάω[vppagms] δέ[c] ὁ[dgms] λαός[ngms] καί[c] διαλογίζομαι[vppngmp] πᾶς[agmpn] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] αὐτός[rpgmp] περί[p] ὁ[dgms] Ἰωάννης[ngms] μήποτε[bo] αὐτός[rpnms] εἰμί[vopx3s] ὁ[dnms] Χριστός[nnms]. **v.16** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰωάννης[nnms] ἅπας[admpn] λέγω[vppanms] ἐγώ[rpn-s] μέν[xo] ὕδωρ[ndns] βαπτίζω[vipa1s] σύ[rpa-p] ἔρχομαι[vipn3s] δέ[c] ὁ[dnms] ἰσχυρός[anmsc] ἐγώ[rpg-s] ὅς[rrgms] οὐ[xo] εἰμί[vipx1s] ἱκανός[anmsn] λύω[vnaa] ὁ[dams] ἱμάς[nams] ὁ[dgnp] ὑπόδημα[ngnp] αὐτός[rpgms] αὐτός[rpnms] σύ[rpa-p] βαπτίζω[vifa3s] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn] καί[c] πῦρ[ndns]. **v.17** ὅς[rrgms] ὁ[dnns] πτύον[nnns] ἐν[p] ὁ[ddfs] χείρ[ndfs] αὐτός[rpgms] καί[c] διακαθαρίζω[vifa3s] ὁ[dafs] ἅλων[nafs] αὐτός[rpgms] καί[c] συνάγω[vifa3s] ὁ[dams] σῖτος[nams] εἰς[p] ὁ[dafs] ἀποθήκη[nafs] αὐτός[rpgms] ὁ[dans] δέ[c] ἄχυρον[nans] κατακαίω[vifa3s] πῦρ[ndns] ἄσβεστος[adnsn]. **v.18** πολύς[aanpn] μέν[xo] οὖν[c] καί[c] ἕτερος[aanpn] παρακαλέω[vppanms] εὐαγγελίζω[viim3s] ὁ[dams] λαός[nams]. **v.19** ὁ[dnms] δέ[c] Ἡρῴδης[nnms] ὁ[dnms] τετραάρχης[nnms] ἐλέγχω[vpppnms] ὑπό[p] αὐτός[rpgms] περί[p] Ἡρῳδιάς[ngfs] ὁ[dgfs] γυνή[ngfs] Φίλιππος[ngms] ὁ[dgms] ἀδελφός[ngms] αὐτός[rpgms] καί[c] περί[p] πᾶς[agnpn] ὅς[rrgnp] ποιέω[viaa3s] πονηρός[agnpn] ὁ[dnms] Ἡρῴδης[nnms]. **v.20** προστίθημι[viaa3s] καί[c] οὗτος[rdans] ἐπί[p] πᾶς[adnpn] καί[c] κατακλείω[viaa3s] ὁ[dams] Ἰωάννης[nams] ἐν[p] ὁ[ddfs] φυλακή[ndfs]. **v.21** γίνομαι[viad3s] δέ[c] ἐν[p] ὁ[ddms] βαπτίζω[vnap] ἅπας[aamsn] ὁ[dams] λαός[nams] καί[c] Ἰησοῦς[ngms] βαπτίζω[vpapgms] καί[c] προσεύχομαι[vppngms] ἀνοίγω[vnap] ὁ[dams] οὐρανός[nams]. **v.22** καί[c] καταβαίνω[vnaa] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn] σωματικός[adnsn] εἶδος[ndns] ὡσεί[bo] περιστερά[nafs] ἐπί[p] αὐτός[rpams] καί[c] φωνή[nafs] ἐκ[p] οὐρανός[ngms] γίνομαι[vnad] λέγω[vppaafs] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἀγαπητός[anmsn] ἐν[p] σύ[rpd-s] εὐδοκέω[viaa1s].

24 Ἡλὶ, τοῦ Ματθατ, τοῦ Λευΐ, τοῦ Μελχί, τοῦ Ἰαννά, τοῦ Ἰωσήφ,
25 τοῦ Ματταθίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἐσλί, τοῦ Ναγγαί,
26 τοῦ Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ, τοῦ Ἰωσήφ, τοῦ Ἰούδα,
27 τοῦ Ἰωαννᾶ, τοῦ Ῥησά, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νη-
28 ρί, τοῦ Μελχί, τοῦ Ἀδδί, τοῦ Κωσάμ, τοῦ Ἐλμωδάμ, τοῦ Ἤρ,
29, 30 τοῦ Ἰωσή, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρείμ, τοῦ Ματθάτ, τοῦ Λευΐ, τοῦ
31 Σιμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνάν, τοῦ Ἐλιακείμ, τοῦ
32 Μελεᾶ, τοῦ Μενάμ, τοῦ Ματταθά, τοῦ Ναθάν, τοῦ Δαβίδ, τοῦ
33 Ἰεσσαί, τοῦ Ὠβήδ, τοῦ Βοόζ, τοῦ Σαλμών, τοῦ Ναασσών, τοῦ
34 Ἀμιναδάβ, τοῦ Ἀράμ, τοῦ Ἐσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα, τοῦ
35 Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ Ἀβραάμ, τοῦ Θάρα, τοῦ Ναχώρ, τοῦ
36 Σαρούχ, τοῦ Ῥαγαῦ, τοῦ Φαλέκ, τοῦ Ἑβέρ, τοῦ Σαλά, τοῦ
37 Καϊνάν, τοῦ Ἀρφαξάδ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Μα-
θουσάλα, τοῦ Ἐνώχ, τοῦ Ἰαρέδ, τοῦ Μαλελεήλ, τοῦ Καϊνάν,
38 τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.

4 Ἰησοῦς δὲ Πνεύματος Ἁγίου πλήρης ὑπέστρεψεν ἀπὸ τοῦ
2 Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον, ἡμέρας
τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου. καὶ οὐκ ἔφα-
γεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συντελεσθεισῶν αὐτῶν,
3 ὕστερον ἐπείνασε. καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Εἰ υἱὸς εἶ τοῦ
4 Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. καὶ ἀπεκρίθη

---

v.23 καί[c] αὐτός[rpnms] εἰμί[viix3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὡσεί[bo] ἔτος[ngnp] τριάκοντα[tn] ἄρχω[vppmnms] εἰμί[vppxnms] ὡς[bo] νομίζω[viip3s] υἱός[nnms] Ἰωσήφ[tp] ὁ[dgms] Ἡλί[tp]. **v.24** ὁ[dgms] Μαθχάτ[tp] ὁ[dgms] Λευί[tp] ὁ[dgms] Μελχί[tp] ὁ[dgms] Ἰανναί[tp] ὁ[dgms] Ἰωσήφ[tp]. **v.25** ὁ[dgms] Ματταθίας[ngms] ὁ[dgms] Ἀμώς[tp] ὁ[dgms] Ναούμ[tp] ὁ[dgms] Ἑσλί[tp] ὁ[dgms] Ναγγαί[tp]. **v.26** ὁ[dgms] Μάαθ[tp] ὁ[dgms] Ματταθίας[ngms] ὁ[dgms] Σεμεΐν[tp] ὁ[dgms] Ἰωσήφ[tp] ὁ[dgms] Ἰούδας[ngms]. **v.27** ὁ[dgms] Ἰωάννα[ngms] ὁ[dgms] Ῥησά[tp] ὁ[dgms] Ζοροβαβέλ[tp] ὁ[dgms] Σαλαθιήλ[tp] ὁ[dgms] Νηρί[tp]. **v.28** ὁ[dgms] Μελχί[tp] ὁ[dgms] Ἀδδί[tp] ὁ[dgms] Κωσάμ[tp] ὁ[dgms] Ἐλμαδάμ[tp] ὁ[dgms] Ἤρ[tp]. **v.29** ὁ[dgms] Ἰωσῆς[ngms] ὁ[dgms] Ἐλιέζερ[tp] ὁ[dgms] Ἰωρίμ[tp] ὁ[dgms] Μαθχάτ[tp] ὁ[dgms] Λευί[tp]. **v.30** ὁ[dgms] Συμεών[tp] ὁ[dgms] Ἰούδας[ngms] ὁ[dgms] Ἰωσήφ[tp] ὁ[dgms] Ἰωνάμ[tp] ὁ[dgms] Ἐλιακίμ[tp]. **v.31** ὁ[dgms] Μελεά[tp] ὁ[dgms] Μεννά[tp] ὁ[dgms] Ματταθά[tp] ὁ[dgms] Ναθάμ[tp] ὁ[dgms] Δαυίδ[tp]. **v.32** ὁ[dgms] Ἰεσσαί[tp] ὁ[dgms] Ἰωβήδ[tp] ὁ[dgms] Βόες[tp] ὁ[dgms] Σαλμών[tp] ὁ[dgms] Ναασσών[tp]. **v.33** ὁ[dgms] Ἀμιναδάβ[tp] ὁ[dgms] Ἀράμ[tp] ὁ[dgms] Ἐσρώμ[tp] ὁ[dgms] Φάρες[tp] ὁ[dgms] Ἰούδας[ngms]. **v.34** ὁ[dgms] Ἰακώβ[tp] ὁ[dgms] Ἰσαάκ[tp] ὁ[dgms] Ἀβραάμ[tp] ὁ[dgms] Θάρα[tp] ὁ[dgms] Ναχώρ[tp]. **v.35** ὁ[dgms] Σερούχ[tp] ὁ[dgms] Ῥαγαύ[tp] ὁ[dgms] Φάλεκ[tp] ὁ[dgms] Ἔβερ[tp] ὁ[dgms] Σαλά[tp]. **v.36** ὁ[dgms] Καϊνάμ[tp] ὁ[dgms] Ἀρφαξάδ[tp] ὁ[dgms] Σήμ[tp] ὁ[dgms] Νῶε[tp] ὁ[dgms] Λάμεχ[tp]. **v.37** ὁ[dgms] Μαθουσαλά[tp] ὁ[dgms] Ἑνώχ[tp] ὁ[dgms] Ἰάρετ[tp] ὁ[dgms] Μαλελεήλ[tp] ὁ[dgms] Καϊνάμ[tp]. **v.38** ὁ[dgms] Ἐνώς[tp] ὁ[dgms] Σήθ[tp] ὁ[dgms] Ἀδάμ[tp] ὁ[dgms] θεός[ngms]. **4. v.1** Ἰησοῦς[nnms] δέ[c] πνεῦμα[ngns] ἅγιος[agnsn] πλήρης[anmsn] ὑποστρέφω[viaa3s] ἀπό[p] ὁ[dgms] Ἰορδάνης[ngms] καί[c] ἄγω[viip3s] ἐν[p] ὁ[ddns] πνεῦμα[ndns] εἰς[p] ὁ[dafs] ἔρημος[aafsn]. **v.2** ἡμέρα[nafp] τεσσεράκοντα[tn] πειράζω[vpppnms] ὑπό[p] ὁ[dgms] διάβολος[agmsn] καί[c] οὐ[xo] ἐσθίω[viaa3s] οὐδείς[aansn] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] ἐκεῖνος[rddfp] καί[c] συντελέω[vpapgfp] αὐτός[rpgfp] ὕστερος[bo] πεινάω[viaa3s]. **v.3** καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] διάβολος[anmsn] εἰ[qo] υἱός[nnms] εἰμί[vipx2s] ὁ[dgms] θεός[ngms] λέγω[vdaa2s] ὁ[ddms] λίθος[ndms] οὗτος[rddms] ἵνα[c] γίνομαι[vsad3s] ἄρτος[nnms].

Ἰησοῦς πρὸς αὐτόν, λέγων, Γέγραπται ὅτι Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ
ζήσεται ὁ ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι Θεοῦ. καὶ ἀναγα- 5
γὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν ἔδειξεν αὐτῷ πάσας τὰς
βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου. καὶ εἶπεν αὐτῷ ὁ 6
διάβολος, Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν
αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν.
σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πάντα. καὶ 7, 8
ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς, Ὕπαγε ὀπίσω μου, Σατανᾶ,
γέγραπται γάρ, Προσκυνήσεις Κύριον τὸν Θεόν σου, καὶ αὐτῷ
μόνῳ λατρεύσεις. καὶ ἤγαγεν αὐτὸν εἰς Ἰερουσαλήμ, καὶ ἔ- 9
στησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ, Εἰ ὁ
υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω, γέγραπται γὰρ 10
ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι
σε, καὶ ὅτι Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς 11
λίθον τὸν πόδα σου. καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι 12
Εἴρηται, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. καὶ συντελέ- 13
σας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ᾽ αὐτοῦ ἄχρι και-
ροῦ. Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος 14
εἰς τὴν Γαλιλαίαν, καὶ φήμη ἐξῆλθε καθ᾽ ὅλης τῆς περιχώρου
περὶ αὐτοῦ. καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, 15
δοξαζόμενος ὑπὸ πάντων. Καὶ ἦλθεν εἰς τὴν Ναζαρέθ, οὗ ἦν 16

---

v.4 καί$^{\text{c}}$ ἀποκρίνομαι$^{\text{viad3s}}$ Ἰησοῦς$^{\text{nnms}}$ πρός$^{\text{p}}$ αὐτός$^{\text{rpams}}$ λέγω$^{\text{vppanms}}$ γράφω$^{\text{vixp3s}}$ ὅτι$^{\text{c}}$ οὐ$^{\text{xo}}$ ἐπί$^{\text{p}}$ ἄρτος$^{\text{ndms}}$ μόνος$^{\text{admsn}}$ ζάω$^{\text{vifd3s}}$ ὁ$^{\text{dnms}}$ ἄνθρωπος$^{\text{nnms}}$ ἀλλά$^{\text{c}}$ ἐπί$^{\text{p}}$ πᾶς$^{\text{adnsn}}$ ῥῆμα$^{\text{ndns}}$ θεός$^{\text{ngms}}$. **v.5** καί$^{\text{c}}$ ἀνάγω$^{\text{vpaanms}}$ αὐτός$^{\text{rpams}}$ ὁ$^{\text{dnms}}$ διάβολος$^{\text{anmsn}}$ εἰς$^{\text{p}}$ ὄρος$^{\text{nans}}$ ὑψηλός$^{\text{aansn}}$ δείκνυμι$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpdms}}$ πᾶς$^{\text{aafpn}}$ ὁ$^{\text{dafp}}$ βασιλεία$^{\text{nafp}}$ ὁ$^{\text{dgfs}}$ οἰκουμένη$^{\text{ngfs}}$ ἐν$^{\text{p}}$ στιγμή$^{\text{ndfs}}$ χρόνος$^{\text{ngms}}$. **v.6** καί$^{\text{c}}$ λέγω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpdms}}$ ὁ$^{\text{dnms}}$ διάβολος$^{\text{anmsn}}$ σύ$^{\text{rpd-s}}$ δίδωμι$^{\text{vifa1s}}$ ὁ$^{\text{dafs}}$ ἐξουσία$^{\text{nafs}}$ οὗτος$^{\text{rdafs}}$ ἅπας$^{\text{aafsn}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dafs}}$ δόξα$^{\text{nafs}}$ αὐτός$^{\text{rpgfp}}$ ὅτι$^{\text{c}}$ ἐγώ$^{\text{rpd-s}}$ παραδίδωμι$^{\text{vixp3s}}$ καί$^{\text{c}}$ ὅς$^{\text{rrdms}}$ ἐάν$^{\text{qo}}$ θέλω$^{\text{vspa1s}}$ δίδωμι$^{\text{vipa1s}}$ αὐτός$^{\text{rpafs}}$. **v.7** σύ$^{\text{rpn-s}}$ οὖν$^{\text{c}}$ ἐάν$^{\text{qo}}$ προσκυνέω$^{\text{vsaa2s}}$ ἐνώπιον$^{\text{bo}}$ ἐγώ$^{\text{rpg-s}}$ εἰμί$^{\text{vifx3s}}$ σύ$^{\text{rpg-s}}$ πᾶς$^{\text{annpn}}$. **v.8** καί$^{\text{c}}$ ἀποκρίνομαι$^{\text{vpaonms}}$ αὐτός$^{\text{rpdms}}$ λέγω$^{\text{viaa3s}}$ ὁ$^{\text{dnms}}$ Ἰησοῦς$^{\text{nnms}}$ ὑπάγω$^{\text{vdpa2s}}$ ὀπίσω$^{\text{bo}}$ ἐγώ$^{\text{rpg-s}}$ Σατανᾶς$^{\text{nvms}}$ γράφω$^{\text{vixp3s}}$ γάρ$^{\text{c}}$ προσκυνέω$^{\text{vifa2s}}$ κύριος$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ θεός$^{\text{nams}}$ σύ$^{\text{rpg-s}}$ καί$^{\text{c}}$ αὐτός$^{\text{rpdms}}$ μόνος$^{\text{admsn}}$ λατρεύω$^{\text{vifa2s}}$. **v.9** καί$^{\text{c}}$ ἄγω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpams}}$ εἰς$^{\text{p}}$ Ἰερουσαλήμ$^{\text{tp}}$ καί$^{\text{c}}$ ἵστημι$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpams}}$ ἐπί$^{\text{p}}$ ὁ$^{\text{dans}}$ πτερύγιον$^{\text{nans}}$ ὁ$^{\text{dgns}}$ ἱερόν$^{\text{ngns}}$ καί$^{\text{c}}$ λέγω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpdms}}$ εἰ$^{\text{qo}}$ ὁ$^{\text{dnms}}$ υἱός$^{\text{nnms}}$ εἰμί$^{\text{vipx2s}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngms}}$ βάλλω$^{\text{vdaa2s}}$ σεαυτοῦ$^{\text{rxams}}$ ἐντεῦθεν$^{\text{bo}}$ κάτω$^{\text{bo}}$. **v.10** γράφω$^{\text{vixp3s}}$ γάρ$^{\text{c}}$ ὅτι$^{\text{c}}$ ὁ$^{\text{ddmp}}$ ἄγγελος$^{\text{ndmp}}$ αὐτός$^{\text{rpgms}}$ ἐντέλλομαι$^{\text{vifn3s}}$ περί$^{\text{p}}$ σύ$^{\text{rpg-s}}$ ὁ$^{\text{dgms}}$ διαφυλάσσω$^{\text{vnaa}}$ σύ$^{\text{rpa-s}}$. **v.11** καί$^{\text{c}}$ ὅτι$^{\text{c}}$ ἐπί$^{\text{p}}$ χείρ$^{\text{ngfp}}$ αἴρω$^{\text{vifa3p}}$ σύ$^{\text{rpa-s}}$ μήποτε$^{\text{bo}}$ προσκόπτω$^{\text{vsaa2s}}$ πρός$^{\text{p}}$ λίθος$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ πούς$^{\text{nams}}$ σύ$^{\text{rpg-s}}$. **v.12** καί$^{\text{c}}$ ἀποκρίνομαι$^{\text{vpaonms}}$ λέγω$^{\text{viaa3s}}$ αὐτός$^{\text{rpdms}}$ ὁ$^{\text{dnms}}$ Ἰησοῦς$^{\text{nnms}}$ ὅτι$^{\text{c}}$ λέγω$^{\text{vixp3s}}$ οὐ$^{\text{xo}}$ ἐκπειράζω$^{\text{vifa2s}}$ κύριος$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ θεός$^{\text{nams}}$ σύ$^{\text{rpg-s}}$. **v.13** καί$^{\text{c}}$ συντελέω$^{\text{vpaanms}}$ πᾶς$^{\text{aamsn}}$ πειρασμός$^{\text{nams}}$ ὁ$^{\text{dnms}}$ διάβολος$^{\text{anmsn}}$ ἀφίστημι$^{\text{viaa3s}}$ ἀπό$^{\text{p}}$ αὐτός$^{\text{rpgms}}$ ἄχρι$^{\text{p}}$ καιρός$^{\text{ngms}}$. **v.14** καί$^{\text{c}}$ ὑποστρέφω$^{\text{viaa3s}}$ ὁ$^{\text{dnms}}$ Ἰησοῦς$^{\text{nnms}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddfs}}$ δύναμις$^{\text{ndfs}}$ ὁ$^{\text{dgns}}$ πνεῦμα$^{\text{ngns}}$ εἰς$^{\text{p}}$ ὁ$^{\text{dafs}}$ Γαλιλαία$^{\text{nafs}}$ καί$^{\text{c}}$ φήμη$^{\text{nnfs}}$ ἐξέρχομαι$^{\text{viaa3s}}$ κατά$^{\text{p}}$ ὅλος$^{\text{agfsn}}$ ὁ$^{\text{dgfs}}$ περίχωρος$^{\text{agfsn}}$ περί$^{\text{p}}$ αὐτός$^{\text{rpgms}}$. **v.15** καί$^{\text{c}}$ αὐτός$^{\text{rpnms}}$ διδάσκω$^{\text{viia3s}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddfp}}$ συναγωγή$^{\text{ndfp}}$ αὐτός$^{\text{rpgmp}}$ δοξάζω$^{\text{vpppnms}}$ ὑπό$^{\text{p}}$ πᾶς$^{\text{agmpn}}$.

τεθραμμένος, καὶ εἰσῆλθε, κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέ-
ρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι.
17 καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἠσαΐου τοῦ προφήτου. καὶ ἀναπτύ-
18 ξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον, Πνεῦμα
Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με εὐαγγελίζεσθαι πτωχοῖς,
ἀπέσταλκέ με ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κη-
ρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι
19 τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν.
20 καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε, καὶ πάν-
21 των ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ. ἤρ-
ξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι Σήμερον πεπλήρωται ἡ γραφὴ
22 αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ
ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ
τοῦ στόματος αὐτοῦ, καὶ ἔλεγον, Οὐχ οὗτος ἐστιν ὁ υἱός Ἰωσήφ·
23 καὶ εἶπε πρὸς αὐτούς, Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύ-
την, Ἰατρέ, θεράπευσον σεαυτόν, ὅσα ἠκούσαμεν γενόμενα ἐν
24 τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. εἶπε δέ,
Ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι
25 αὐτοῦ. ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς
ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη
τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν,

---

v.16 καί[c] ἔρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] Ναζαρά[tp] ὅς[bo] εἰμί[viix3s] τρέφω[vpxpnms] καί[c] εἰσέρχομαι[viaa3s] κατά[p] ὁ[dans] εἴωθα[vpxaans] αὐτός[rpdms] ἐν[p] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[dgnp] σάββατον[ngnp] εἰς[p] ὁ[dafs] συναγωγή[nafs] καί[c] ἀνίστημι[viaa3s] ἀναγινώσκω[vnaa]. **v.17** καί[c] ἐπιδίδωμι[viap3s] αὐτός[rpdms] βιβλίον[nnns] Ἠσαΐας[ngms] ὁ[dgms] προφήτης[ngms] καί[c] ἀναπτύσσω[vpaanms] ὁ[dans] βιβλίον[nans] εὑρίσκω[viaa3s] ὁ[dams] τόπος[nams] ὅς[bo] εἰμί[viix3s] γράφω[vpxpnns]. **v.18** πνεῦμα[nnns] κύριος[ngms] ἐπί[p] ἐγώ[rpa-s] ὅς[rrgns] ἕνεκα[bo] χρίω[viaa3s] ἐγώ[rpa-s] εὐαγγελίζω[vnpm] πτωχός[admpn] ἀποστέλλω[vixa3s] ἐγώ[rpa-s] ἰάομαι[vnad] ὁ[damp] συντρίβω[vpxpamp] ὁ[dafs] καρδία[nafs] κηρύσσω[vnaa] αἰχμάλωτος[ndmp] ἄφεσις[nafs] καί[c] τυφλός[admpn] ἀνάβλεψις[nafs] ἀποστέλλω[vnaa] θραύω[vpxpamp] ἐν[p] ἄφεσις[ndfs]. **v.19** κηρύσσω[vnaa] ἐνιαυτός[nams] κύριος[ngms] δεκτός[aamsn]. **v.20** καί[c] πτύσσω[vpaanms] ὁ[dans] βιβλίον[nans] ἀποδίδωμι[vpaanms] ὁ[ddms] ὑπηρέτης[ndms] καθίζω[viaa3s] καί[c] πᾶς[agmpn] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] ὁ[dnmp] ὀφθαλμός[nnmp] εἰμί[viix3p] ἀτενίζω[vppanmp] αὐτός[rpdms]. **v.21** ἄρχω[viad3s] δέ[c] λέγω[vnpa] πρός[p] αὐτός[rpamp] ὅτι[c] σήμερον[bo] πληρόω[vixp3s] ὁ[dnfs] γραφή[nnfs] οὗτος[rdnfs] ἐν[p] ὁ[ddnp] οὖς[ndnp] σύ[rpg-p]. **v.22** καί[c] πᾶς[anmpn] μαρτυρέω[viia3p] αὐτός[rpdms] καί[c] θαυμάζω[viia3p] ἐπί[p] ὁ[ddmp] λόγος[ndmp] ὁ[dgfs] χάρις[ngfs] ὁ[ddmp] ἐκπορεύομαι[vppndmp] ἐκ[p] ὁ[dgns] στόμα[ngns] αὐτός[rpgms] καί[c] λέγω[viia3p] οὐ[xo] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] Ἰωσήφ[tp]. **v.23** καί[c] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] πάντως[bo] λέγω[vifa2p] ἐγώ[rpd-s] ὁ[dafs] παραβολή[nafs] οὗτος[rdafs] ἰατρός[nvms] θεραπεύω[vdaa2s] σεαυτοῦ[rxams] ὅσος[rcanp] ἀκούω[viaa1p] γίνομαι[vpadanp] ἐν[p] ὁ[ddfs] Καπερναούμ[tp] ποιέω[vdaa2s] καί[c] ὧδε[bo] ἐν[p] ὁ[ddfs] πατρίς[ndfs] σύ[rpg-s]. **v.24** λέγω[viaa3s] δέ[c] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] οὐδείς[anfsn] προφήτης[nnms] δεκτός[anmsn] εἰμί[vipx3s] ἐν[p] ὁ[ddfs] πατρίς[ndfs] αὐτός[rpgms]. **v.25** ἐπί[p] ἀλήθεια[ngfs] δέ[c] λέγω[vipa1s] σύ[rpd-p] πολύς[anfpn] χήρα[nnfp] εἰμί[viix3p] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] Ἠλίας[ngms] ἐν[p] ὁ[ddms] Ἰσραήλ[tp] ὅτε[bo] κλείω[viap3s] ὁ[dnms] οὐρανός[nnms] ἐπί[p] ἔτος[nanp] τρεῖς[nanp] καί[c] μήν[namp] ἕξ[tn] ὡς[bo] γίνομαι[viad3s] λιμός[nnms] μέγας[anmsn] ἐπί[p] πᾶς[aafsn] ὁ[dafs] γῆ[nafs].

καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ μὴ εἰς Σάρεπτα 26
τῆς Σιδῶνος πρὸς γυναῖκα χήραν. καὶ πολλοὶ λεπροὶ ἦσαν 27
ἐπὶ Ἐλισσαίου τοῦ προφήτου ἐν τῷ Ἰσραήλ, καὶ οὐδεὶς αὐτῶν
ἐκαθαρίσθη, εἰ μὴ Νεεμὰν ὁ Σύρος. καὶ ἐπλήσθησαν πάντες 28
θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες ταῦτα, καὶ ἀναστάντες ἐξέ- 29
βαλον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἤγαγον αὐτὸν ἕως τὴς ὀφρύος
τοῦ ὄρους, ἐφ᾽ οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρη-
μνίσαι αὐτόν. αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο. 30
Καὶ κατῆλθεν εἰς Καπερναοὺμ πόλιν τῆς Γαλιλαίας, καὶ ἦν 31
διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι. καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ 32
διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. καὶ ἐν τῇ 33
συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου,
καὶ ἀνέκραξε φωνῇ μεγάλῃ, λέγων, Ἔα, τί ἡμῖν καὶ σοί, Ἰη- 34
σοῦ Ναζαρηνέ· ἦλθες ἀπολέσαι ἡμᾶς· οἶδά σε τίς εἶ, ὁ ἅγιος
τοῦ Θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων, Φιμώθητι, 35
καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον
ἐξῆλθεν ἀπ᾽ αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. καὶ ἐγένετο θάμβος 36
ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγοντες, Τίς ὁ
λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκα-
θάρτοις πνεύμασι, καὶ ἐξέρχονται· καὶ ἐξεπορεύετο ἦχος περὶ 37
αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου. Ἀναστὰς δὲ ἐκ τῆς 38

---

v.26 καί[c] πρός[p] οὐδείς[aafsn] αὐτός[rpgfp] πέμπω[viap3s] Ἠλίας[nnms] εἰ[qo] μή[xo] εἰς[p] Σάρεπτα[nnnp] ὁ[dgfs] Σιδών[ngfs] πρός[p] γυνή[nafs] χήρα[nafs]. **v.27** καί[c] πολύς[anmpn] λεπρός[anmpn] εἰμί[viix3p] ἐπί[p] Ἐλισαῖος[ngms] ὁ[dgms] προφήτης[ngms] ἐν[p] ὁ[ddms] Ἰσραήλ[tp] καί[c] οὐδείς[anfsn] αὐτός[rpgmp] καθαρίζω[viap3s] εἰ[qo] μή[xo] Ναιμάν[tp] ὁ[dnms] Σύρος[nnms]. **v.28** καί[c] πίμπλημι[viap3p] πᾶς[anmpn] θυμός[ngms] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] ἀκούω[vppanmp] οὗτος[rdanp]. **v.29** καί[c] ἀνίστημι[vpaanmp] ἐκβάλλω[viaa3p] αὐτός[rpams] ἔξω[bo] ὁ[dgfs] πόλις[ngfs] καί[c] ἄγω[viaa3p] αὐτός[rpams] ἕως[c] ὁ[dgfs] ὀφρύς[ngfs] ὁ[dgns] ὄρος[ngns] ἐπί[p] ὅς[rrgns] ὁ[dnfs] πόλις[nnfs] αὐτός[rpgmp] οἰκοδομέω[viyp3s] εἰς[p] ὁ[dans] κατακρημνίζω[vnaa] αὐτός[rpams]. **v.30** αὐτός[rpnms] δέ[c] διέρχομαι[vpaanms] διά[p] μέσος[agnsn] αὐτός[rpgmp] πορεύομαι[viin3s]. **v.31** καί[c] κατέρχομαι[viaa3s] εἰς[p] Καπερναούμ[tp] πόλις[nafs] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] εἰμί[viix3s] διδάσκω[vppanms] αὐτός[rpamp] ἐν[p] ὁ[ddnp] σάββατον[ndnp]. **v.32** καί[c] ἐκπλήσσω[viip3p] ἐπί[p] ὁ[ddfs] διδαχή[ndfs] αὐτός[rpgms] ὅτι[c] ἐν[p] ἐξουσία[ndfs] εἰμί[viix3s] ὁ[dnms] λόγος[nnms] αὐτός[rpgms]. **v.33** καί[c] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] εἰμί[viix3s] ἄνθρωπος[nnms] ἔχω[vppanms] πνεῦμα[nans] δαιμόνιον[ngns] ἀκάθαρτος[agnsn] καί[c] ἀνακράζω[viaa3s] φωνή[ndfs] μέγας[adfsn]. **v.34** λέγω[vppanms] ἔα[i] τίς[rqnns] ἐγώ[rpd-p] καί[c] σύ[rpd-s] Ἰησοῦς[nvms] Ναζαρηνός[nvms] ἔρχομαι[viaa2s] ἀπόλλυμι[vnaa] ἐγώ[rpa-p] οἶδα[vixa1s] σύ[rpa-s] τίς[rqnms] εἰμί[vipx2s] ὁ[dnms] ἅγιος[anmsn] ὁ[dgms] θεός[ngms]. **v.35** καί[c] ἐπιτιμάω[viaa3s] αὐτός[rpdns] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vppanms] φιμόω[vdap2s] καί[c] ἐξέρχομαι[vdaa2s] ἐκ[p] αὐτός[rpgms] καί[c] ῥίπτω[vpaanns] αὐτός[rpams] ὁ[dnns] δαιμόνιον[nnns] εἰς[p] ὁ[dans] μέσος[aansn] ἐξέρχομαι[viaa3s] ἀπό[p] αὐτός[rpgms] μηδείς[aansn] βλάπτω[vpaanns] αὐτός[rpams]. **v.36** καί[c] γίνομαι[viad3s] θάμβος[nnns] ἐπί[p] πᾶς[aampn] καί[c] συλλαλέω[viia3p] πρός[p] ἀλλήλων[reamp] λέγω[vppanmp] τίς[rqnms] ὁ[dnms] λόγος[nnms] οὗτος[rdnms] ὅτι[c] ἐν[p] ἐξουσία[ndfs] καί[c] δύναμις[ndfs] ἐπιτάσσω[vipa3s] ὁ[ddnp] ἀκάθαρτος[adnpn] πνεῦμα[ndnp] καί[c] ἐξέρχομαι[vipn3p]. **v.37** καί[c] ἐκπορεύομαι[viin3s] ἦχος[nnms] περί[p] αὐτός[rpgms] εἰς[p] πᾶς[aamsn] τόπος[nams] ὁ[dgfs] περίχωρος[agfsn].

συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος, ἡ πενθερὰ δὲ τοῦ
Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν
39 περὶ αὐτῆς. καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, ἐπετίμησε τῷ πυρετῷ,
καὶ ἀφῆκεν αὐτήν, παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς.
40 Δύνοντος δὲ τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις
ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν, ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν
41 τὰς χεῖρας ἐπιθεὶς ἐθεράπευσεν αὐτούς. Ἐξήρχετο δὲ καὶ δαι-
μόνια ἀπὸ πολλῶν, κράζοντα καὶ λέγοντα ὅτι Σὺ εἶ ὁ Χριστὸς ὁ
υἱὸς τοῦ Θεοῦ. καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν
42 τὸν Χριστὸν αὐτὸν εἶναι. Γενομένης δὲ ἡμέρας, ἐξελθὼν ἐπο-
ρεύθη εἰς ἔρημον τόπον, καὶ οἱ ὄχλοι ἐζήτουν αὐτόν, καὶ ἦλθον
ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾿ αὐτῶν.
43 ὁ δὲ εἶπε πρὸς αὐτοὺς ὅτι Καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσα-
σθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι εἰς τοῦτο ἀπεστάλμαι.
44 Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς Γαλιλαίας.
5 Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν
λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησα-
2 ρέτ, καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην, οἱ δὲ ἁλιεῖς
3 ἀποβάντες ἀπ᾿ αὐτῶν ἀπέπλυναν τὰ δίκτυα. ἐμβὰς δὲ εἰς ἓν
τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐ-
παναγαγεῖν ὀλίγον. καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς

---

v.38 ἀνίστημι[vpaanms] δέ[c] ἐκ[p] ὁ[dgfs] συναγωγή[ngfs] εἰσέρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] οἰκία[nafs] Σίμων[ngms] ὁ[dnfs] πενθερά[nnfs] δέ[c] ὁ[dgms] Σίμων[ngms] εἰμί[viix3s] συνέχω[vpppnfs] πυρετός[ndms] μέγας[admsn] καί[c] ἐρωτάω[viaa3p] αὐτός[rpams] περί[p] αὐτός[rpgfs]. **v.39** καί[c] ἐφίστημι[vpaanms] ἐπάνω[bo] αὐτός[rpgfs] ἐπιτιμάω[viaa3s] ὁ[ddms] πυρετός[ndms] καί[c] ἀφίημι[viaa3s] αὐτός[rpafs] παραχρῆμα[bo] δέ[c] ἀνίστημι[vpaanfs] διακονέω[viia3s] αὐτός[rpdmp]. **v.40** δύνω[vppagms] δέ[c] ὁ[dgms] ἥλιος[ngms] πᾶς[anmpn] ὅσος[rcnmp] ἔχω[viia3p] ἀσθενέω[vppaamp] νόσος[ndfp] ποικίλος[adfpn] ἄγω[viaa3p] αὐτός[rpamp] πρός[p] αὐτός[rpams] ὁ[dnms] δέ[c] εἷς[ndms] ἕκαστος[admsn] αὐτός[rpgmp] ὁ[dafp] χείρ[nafp] ἐπιτίθημι[vpaanms] θεραπεύω[viaa3s] αὐτός[rpamp]. **v.41** ἐξέρχομαι[viin3s] δέ[c] καί[c] δαιμόνιον[nnnp] ἀπό[p] πολύς[agmpn] κράζω[vppannp] καί[c] λέγω[vppannp] ὅτι[c] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] Χριστός[nnms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms] καί[c] ἐπιτιμάω[vppanms] οὐ[xo] ἐάω[viia3s] αὐτός[rpanp] λαλέω[vnpa] ὅτι[c] οἶδα[viya3p] ὁ[dams] Χριστός[nams] αὐτός[rpams] εἰμί[vnpx]. **v.42** γίνομαι[vpadgfs] δέ[c] ἡμέρα[ngfs] ἐξέρχομαι[vpaanms] πορεύομαι[viao3s] εἰς[p] ἔρημος[aamsn] τόπος[nams] καί[c] ὁ[dnmp] ὄχλος[nnmp] ζητέω[viia3p] αὐτός[rpams] καί[c] ἔρχομαι[viaa3p] ἕως[c] αὐτός[rpgms] καί[c] κατέχω[viia3p] αὐτός[rpams] ὁ[dgms] μή[xo] πορεύομαι[vnpn] ἀπό[p] αὐτός[rpgmp]. **v.43** ὁ[dnms] δέ[c] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] ὅτι[c] καί[c] ὁ[ddfp] ἕτερος[adfpn] πόλις[ndfp] εὐαγγελίζω[vnam] ἐγώ[rpa-s] δεῖ[vipq3s] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms] ὅτι[c] εἰς[p] οὗτος[rdans] ἀποστέλλω[vixp1s]. **v.44** καί[c] εἰμί[viix3s] κηρύσσω[vppanms] ἐν[p] ὁ[ddfp] συναγωγή[ndfp] ὁ[dgfs] Γαλιλαία[ngfs]. **5. v.1** γίνομαι[viad3s] δέ[c] ἐν[p] ὁ[ddms] ὁ[dams] ὄχλος[nams] ἐπίκειμαι[vnpn] αὐτός[rpdms] ὁ[dgms] ἀκούω[vnpa] ὁ[dams] λόγος[nams] ὁ[dgms] θεός[ngms] καί[c] αὐτός[rpnms] εἰμί[viix3s] ἵστημι[vpxanms] παρά[p] ὁ[dafs] λίμνη[nafs] Γεννησαρέτ[tp]. **v.2** καί[c] ὁράω[viaa3s] δύο[tn] πλοῖον[nanp] ἵστημι[vpxaanp] παρά[p] ὁ[dafs] λίμνη[nafs] ὁ[dnmp] δέ[c] ἁλιεύς[nnmp] ἀποβαίνω[vpaanmp] ἀπό[p] αὐτός[rpgnp] ἀποπλύνω[viaa3p] ὁ[danp] δίκτυον[nanp].

ὄχλους. ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα, Ἐπα- 4
νάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.
καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ, Ἐπιστάτα, δι᾽ ὅλης τῆς 5
νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ ῥήματί σου χα-
λάσω τὸ δίκτυον. καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν ἰχθύων 6
πλῆθος πολύ. διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν, καὶ κατένευ- 7
σαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλ-
λαβέσθαι αὐτοῖς, καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα,
ὥστε βυθίζεσθαι αὐτά. ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσε τοῖς 8
γόνασι τοῦ Ἰησοῦ, λέγων, Ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτω-
λός εἰμι, Κύριε. θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς 9
σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον, ὁμοίως δὲ καὶ 10
Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ
Σίμωνι. καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς, Μὴ φοβοῦ, ἀπὸ
τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. καὶ καταγαγόντες τὰ πλοῖα ἐ- 11
πὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ. Καὶ ἐγένετο, 12
ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδού, ἀνὴρ πλήρης
λέπρας, καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη
αὐτοῦ, λέγων, Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ 13
ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, εἰπὼν, Θέλω, καθαρίσθητι.

---

v.3 ἐμβαίνω[vpaanms] δέ[c] εἰς[p] εἷς[nans] ὁ[dgnp] πλοῖον[ngnp] ὅς[rrnns] εἰμί[viix3s] ὁ[dgms] Σίμων[ngms] ἐρωτάω[viaa3s] αὐτός[rpams] ἀπό[p] ὁ[dgfs] γῆ[ngfs] ἐπανάγω[vnaa] ὀλίγος[aamsn] καί[c] καθίζω[vpaanms] διδάσκω[viia3s] ἐκ[p] ὁ[dgns] πλοῖον[ngns] ὁ[damp] ὄχλος[namp]. **v.4** ὡς[bo] δέ[c] παύω[viam3s] λαλέω[vppanms] λέγω[viaa3s] πρός[p] ὁ[dams] Σίμων[nams] ἐπανάγω[vdaa2s] εἰς[p] ὁ[dans] βάθος[nans] καί[c] χαλάω[vdaa2p] ὁ[danp] δίκτυον[nanp] σύ[rpg-p] εἰς[p] ἄγρα[nafs]. **v.5** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Σίμων[nnms] λέγω[viaa3s] αὐτός[rpdms] ἐπιστάτης[nvms] διά[p] ὅλος[agfsn] ὁ[dgfs] νύξ[ngfs] κοπιάω[vpaanmp] οὐδείς[aansn] λαμβάνω[viaa1p] ἐπί[p] δέ[c] ὁ[ddns] ῥῆμα[ndns] σύ[rpg-s] χαλάω[vifa1s] ὁ[dans] δίκτυον[nans]. **v.6** καί[c] οὗτος[rdans] ποιέω[vpaanmp] συγκλείω[viaa3p] ἰχθύς[ngmp] πλῆθος[nans] πολύς[aansn] διαρρήγνυμι[viip3s] δέ[c] ὁ[dnns] δίκτυον[nnns] αὐτός[rpgmp]. **v.7** καί[c] κατανεύω[viaa3p] ὁ[ddmp] μέτοχος[admpn] ὁ[ddmp] ἐν[p] ὁ[ddns] ἕτερος[adnsn] πλοῖον[ndns] ὁ[dgms] ἔρχομαι[vpaaamp] συλλαμβάνω[vnam] αὐτός[rpdmp] καί[c] ἔρχομαι[viaa3p] καί[c] πίμπλημι[viaa3p] ἀμφότεροι[aanpn] ὁ[danp] πλοῖον[nanp] ὥστε[c] βυθίζω[vnpp] αὐτός[rpnnp]. **v.8** ὁράω[vpaanms] δέ[c] Σίμων[nnms] Πέτρος[nnms] προσπίπτω[viaa3s] ὁ[ddnp] γόνυ[ndnp] ὁ[dgms] Ἰησοῦς[ngms] λέγω[vppanms] ἐξέρχομαι[vdaa2s] ἀπό[p] ἐγώ[rpg-s] ὅτι[c] ἀνήρ[nnms] ἁμαρτωλός[anmsn] εἰμί[vipx1s] κύριος[nvms]. **v.9** θάμβος[nnns] γάρ[c] περιέχω[viaa3s] αὐτός[rpams] καί[c] πᾶς[aampn] ὁ[damp] σύν[p] αὐτός[rpdms] ἐπί[p] ὁ[ddfs] ἄγρα[ndfs] ὁ[dgmp] ἰχθύς[ngmp] ὅς[rrdfs] συλλαμβάνω[viaa3p]. **v.10** ὁμοίως[bo] δέ[c] καί[c] Ἰάκωβος[nams] καί[c] Ἰωάννης[nams] υἱός[namp] Ζεβεδαῖος[ngms] ὅς[rrnmp] εἰμί[viix3p] κοινωνός[anmpn] ὁ[ddms] Σίμων[ndms] καί[c] λέγω[viaa3s] πρός[p] ὁ[dams] Σίμων[nams] ὁ[dnms] Ἰησοῦς[nnms] μή[xo] φοβέομαι[vdpm2s] ἀπό[p] ὁ[dgms] νῦν[bo] ἄνθρωπος[namp] εἰμί[vifx2s] ζωγρέω[vppanms]. **v.11** καί[c] κατάγω[vpaanmp] ὁ[danp] πλοῖον[nanp] ἐπί[p] ὁ[dafs] γῆ[nafs] ἀφίημι[vpaanmp] ἅπας[aanpn] ἀκολουθέω[viaa3p] αὐτός[rpdms]. **v.12** καί[c] γίνομαι[viad3s] ἐν[p] ὁ[ddms] εἰμί[vnpx] αὐτός[rpams] ἐν[p] εἷς[ndfs] ὁ[dgfp] πόλις[ngfp] καί[c] ἰδού[vdaa2s] ἀνήρ[nnms] πλήρης[anmsn] λέπρα[ngfs] καί[c] ὁράω[vpaanms] ὁ[dams] Ἰησοῦς[nams] πίπτω[vpaanms] ἐπί[p] πρόσωπον[nans] δέομαι[viap3s] αὐτός[rpgms] λέγω[vppanms] κύριος[nvms] ἐάν[qo] θέλω[vspa2s] δύναμαι[vipn2s] ἐγώ[rpa-s] καθαρίζω[vnaa].

14 καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ᾽ αὐτοῦ. καὶ αὐτὸς παρήγγει-
λεν αὐτῷ μηδενὶ εἰπεῖν, ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ,
καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε
15 Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. διήρχετο δὲ μᾶλλον ὁ λόγος
περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θερα-
16 πεύεσθαι ὑπ᾽ αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν. αὐτὸς δὲ ἦν
17 ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος. Καὶ ἐγένετο
ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθή-
μενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ
πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ
18 δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. καὶ ἰδού, ἄνδρες φέ-
ροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν
19 αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ, καὶ μὴ εὑρόντες
διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ
δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ
20 μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν
21 αὐτῷ, Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. καὶ ἤρξαντο
διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, λέγοντες, Τίς ἐ-
στιν οὗτος ὃς λαλεῖ βλασφημίας· τίς δύναται ἀφιέναι ἁμαρτίας,
22 εἰ μὴ μόνος ὁ Θεός· ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς
αὐτῶν ἀποκριθεὶς εἶπε πρὸς αὐτούς, Τί διαλογίζεσθε ἐν ταῖς

---

v.13 καί[c] ἐκτείνω[vpaanfs] ὁ[dafs] χείρ[nafs] ἅπτω[viad3s] αὐτός[rpgms] λέγω[vpaanms] θέλω[vipa1s] καθαρίζω[vdap2s] καί[c] εὐθέως[bo] ὁ[dnfs] λέπρα[nnfs] ἀπέρχομαι[viaa3s] ἀπό[p] αὐτός[rpgms]. **v.14** καί[c] αὐτός[rpnms] παραγγέλλω[viaa3s] αὐτός[rpdms] μηδείς[admsn] λέγω[vnaa] ἀλλά[c] ἀπέρχομαι[vpaanms] δείκνυμι[vdaa2s] σεαυτοῦ[rxams] ὁ[ddms] ἱερεύς[ndms] καί[c] προσφέρω[vdaa2s] περί[p] ὁ[dgms] καθαρισμός[ngms] σύ[rpg-s] καθώς[bo] προστάσσω[viaa3s] Μωϋσῆς[nnms] εἰς[p] μαρτύριον[nans] αὐτός[rpdmp]. **v.15** διέρχομαι[viin3s] δέ[c] μᾶλλον[bo] ὁ[dnms] λόγος[nnms] περί[p] αὐτός[rpgms] καί[c] συνέρχομαι[viin3p] ὄχλος[nnmp] πολύς[anmpn] ἀκούω[vnpa] καί[c] θεραπεύω[vnpp] ὑπό[p] αὐτός[rpgms] ἀπό[p] ὁ[dgfp] ἀσθένεια[ngfp] αὐτός[rpgmp]. **v.16** αὐτός[rpnms] δέ[c] εἰμί[viix3s] ὑποχωρέω[vppanms] ἐν[p] ὁ[ddfp] ἔρημος[adfpn] καί[c] προσεύχομαι[vppnnms]. **v.17** καί[c] γίνομαι[viad3s] ἐν[p] εἷς[ndfs] ὁ[dgfp] ἡμέρα[ngfp] καί[c] αὐτός[rpnms] εἰμί[viix3s] διδάσκω[vppanms] καί[c] εἰμί[viix3p] κάθημαι[vppnnmp] Φαρισαῖος[nnmp] καί[c] νομοδιδάσκαλος[nnmp] ὅς[rrnmp] εἰμί[viix3p] ἔρχομαι[vpxanmp] ἐκ[p] πᾶς[agfsn] κώμη[ngfs] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] Ἰουδαία[ngfs] καί[c] Ἰερουσαλήμ[tp] καί[c] δύναμις[nnfs] κύριος[ngms] εἰμί[viix3s] εἰς[p] ὁ[dans] ἰάομαι[vnpn] αὐτός[rpamp]. **v.18** καί[c] ἰδού[vdaa2s] ἀνήρ[nnmp] φέρω[vppanmp] ἐπί[p] κλίνη[ngfs] ἄνθρωπος[nams] ὅς[rrnms] εἰμί[viix3s] παραλύω[vpxpnms] καί[c] ζητέω[viia3p] αὐτός[rpams] εἰσφέρω[vnaa] καί[c] τίθημι[vnaa] ἐνώπιον[bo] αὐτός[rpgms]. **v.19** καί[c] μή[xo] εὑρίσκω[vpaanmp] διά[p] ποῖος[rqgfs] εἰσφέρω[vsaa3p] αὐτός[rpams] διά[p] ὁ[dams] ὄχλος[nams] ἀναβαίνω[vpaanmp] ἐπί[p] ὁ[dans] δῶμα[nans] διά[p] ὁ[dgmp] κέραμος[ngmp] καθίημι[viaa3p] αὐτός[rpams] σύν[p] ὁ[ddns] κλινίδιον[ndns] εἰς[p] ὁ[dans] μέσος[aansn] ἔμπροσθεν[p] ὁ[dgms] Ἰησοῦς[ngms]. **v.20** καί[c] ὁράω[vpaanms] ὁ[dafs] πίστις[nafs] αὐτός[rpgmp] λέγω[viaa3s] αὐτός[rpdms] ἄνθρωπος[nvms] ἀφίημι[vixp3p] σύ[rpd-s] ὁ[dnfp] ἁμαρτία[nnfp] σύ[rpg-s]. **v.21** καί[c] ἄρχω[viad3p] διαλογίζομαι[vnpn] ὁ[dnmp] γραμματεύς[nnmp] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] λέγω[vppanmp] τίς[rqnms] εἰμί[vipx3s] οὗτος[rdnms] ὅς[rrnms] λαλέω[vipa3s] βλασφημία[nafp] τίς[rqnms] δύναμαι[vipn3s] ἀφίημι[vnpa] ἁμαρτία[nafp] εἰ[qo] μή[xo] μόνος[anmsn] ὁ[dnms] θεός[nnms].

καρδίαις ὑμῶν· τί ἐστιν εὐκοπώτερον, εἰπεῖν, Ἀφέωνταί σοι αἱ 23
ἁμαρτίαι σου, ἢ εἰπεῖν, Ἔγειραι καὶ περιπάτει· ἵνα δὲ εἰδῆτε 24
ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁ-
μαρτίας εἶπε τῷ παραλελυμένῳ, Σοὶ λέγω, ἔγειραι, καὶ ἄρας τὸ
κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου. καὶ παραχρῆμα 25
ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ᾧ κατέκειτο, ἀπῆλθεν εἰς τὸν
οἶκον αὐτοῦ, δοξάζων τὸν Θεόν. καὶ ἔκστασις ἔλαβεν ἅπαντας, 26
καὶ ἐδόξαζον τὸν Θεόν, καὶ ἐπλήσθησαν φόβου, λέγοντες, ὅτι
Εἴδομεν παράδοξα σήμερον. Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθε- 27
άσατο τελώνην, ὀνόματι Λευῒν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ
εἶπεν αὐτῷ, Ἀκολούθει μοι. καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς 28
ἠκολούθησεν αὐτῷ. καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευῒς αὐτῷ 29
ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ ἦν ὄχλος τελωνῶν πολύς, καὶ ἄλλων οἳ
ἦσαν μετ' αὐτῶν κατακείμενοι. καὶ ἐγόγγυζον οἱ γραμματεῖς 30
αὐτῶν καὶ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες,
Διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε· καὶ ἀ- 31
ποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτούς, Οὐ χρείαν ἔχουσιν οἱ
ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. οὐκ ἐλήλυθα κα- 32
λέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. οἱ δὲ εἶπον 33
πρὸς αὐτόν, Διατί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσιν πυκνά, καὶ
δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐ-

---

v.22 ἐπιγινώσκω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[damp] διαλογισμός[namp] αὐτός[rpgmp] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] τίς[rqans] διαλογίζομαι[vipn2p] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] σύ[rpg-p]. **v.23** τίς[rqnns] εἰμί[vipx3s] εὔκοπος[annsc] λέγω[vnaa] ἀφίημι[vixp3p] σύ[rpd-s] ὁ[dnfp] ἁμαρτία[nnfp] σύ[rpg-s] ἤ[xo] λέγω[vnaa] ἐγείρω[vdam2s] καί[c] περιπατέω[vdpa2s]. **v.24** ἵνα[c] δέ[c] οἶδα[vsxa2p] ὅτι[c] ἐξουσία[nafs] ἔχω[vipa3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ἀφίημι[vnpa] ἁμαρτία[nafp] λέγω[viaa3s] ὁ[ddms] παραλύω[vpxpdms] σύ[rpd-s] λέγω[vipa1s] ἐγείρω[vdam2s] καί[c] αἴρω[vpaanms] ὁ[dans] κλινίδιον[nans] σύ[rpg-s] πορεύομαι[vdpn2s] εἰς[p] ὁ[dams] οἶκος[nams] σύ[rpg-s]. **v.25** καί[c] παραχρῆμα[bo] ἀνίστημι[vpaanms] ἐνώπιον[bo] αὐτός[rpgmp] αἴρω[vpaanms] ἐπί[p] ὅς[rrdns] κατάκειμαι[viin3s] ἀπέρχομαι[viaa3s] εἰς[p] ὁ[dams] οἶκος[nams] αὐτός[rpgms] δοξάζω[vppanms] ὁ[dams] θεός[nams]. **v.26** καί[c] ἔκστασις[nnfs] λαμβάνω[viaa3s] ἅπας[aampn] καί[c] δοξάζω[viia3p] ὁ[dams] θεός[nams] καί[c] πίμπλημι[viap3p] φόβος[ngms] λέγω[vppanmp] ὅτι[c] ὁράω[viaa1p] παράδοξος[aanpn] σήμερον[bo]. **v.27** καί[c] μετά[p] οὗτος[rdanp] ἐξέρχομαι[viaa3s] καί[c] θεάομαι[viad3s] τελώνης[nams] ὄνομα[ndns] Λευί[nams] κάθημαι[vppnams] ἐπί[p] ὁ[dans] τελώνιον[nans] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s]. **v.28** καί[c] καταλείπω[vpaanms] ἅπας[aanpn] ἀνίστημι[vpaanms] ἀκολουθέω[viaa3s] αὐτός[rpdms]. **v.29** καί[c] ποιέω[viaa3s] δοχή[nafs] μέγας[aafsn] ὁ[dnms] Λευί[nnms] αὐτός[rpdms] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] αὐτός[rpgms] καί[c] εἰμί[viix3s] ὄχλος[nnms] τελώνης[ngmp] πολύς[anmsn] καί[c] ἄλλος[agmpn] ὅς[rrnmp] εἰμί[viix3p] μετά[p] αὐτός[rpgmp] κατάκειμαι[vppnnmp]. **v.30** καί[c] γογγύζω[viia3p] ὁ[dnmp] γραμματεύς[nnmp] αὐτός[rpgmp] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] πρός[p] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] λέγω[vppanmp] διά&τίς[xo] μετά[p] τελώνης[ngmp] καί[c] ἁμαρτωλός[agmpn] ἐσθίω[vipa2p] καί[c] πίνω[vipa2p]. **v.31** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] οὐ[xo] χρεία[nafs] ἔχω[vipa3p] ὁ[dnmp] ὑγιαίνω[vppanmp] ἰατρός[ngms] ἀλλά[c] ὁ[dnmp] κακῶς[bo] ἔχω[vppanmp]. **v.32** οὐ[xo] ἔρχομαι[vixa1s] καλέω[vnaa] δίκαιος[aampn] ἀλλά[c] ἁμαρτωλός[aampn] εἰς[p] μετάνοια[nafs].

34 σθίουσι καὶ πίνουσιν· ὁ δὲ εἶπε πρὸς αὐτούς, Μὴ δύνασθε
τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, ποι-
35 ῆσαι νηστεύειν. ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ᾽
αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.
36 ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι Οὐδεὶς ἐπίβλημα ἱ-
ματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν, εἰ δὲ μήγε, καὶ
τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνει ἐπίβλημα τὸ ἀπὸ
37 τοῦ καινοῦ. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαι-
ούς, εἰ δὲ μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκούς, καὶ αὐτὸς
38 ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. ἀλλὰ οἶνον νέον εἰς
39 ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται. καὶ
οὐδεὶς πιὼν παλαιὸν εὐθέως θέλει νέον, λέγει γάρ, Ὁ παλαιὸς
χρηστότερός ἐστιν.

6 Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν
διὰ τῶν σπορίμων, καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας,
2 καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί. τινὲς δὲ τῶν Φαρισαίων εἶπον
3 αὐτοῖς, Τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι· καὶ ἀπο-
κριθεὶς πρὸς αὐτοὺς, εἶπεν ὁ Ἰησοῦς, Οὐδὲ τοῦτο ἀνέγνωτε, ὃ
ἐποίησε Δαβίδ, ὁπότε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες·
4 ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέ-
σεως ἔλαβε, καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ᾽ αὐτοῦ, οὓς οὐκ

---

18 χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Θεὸν οὐδεὶς
ἑώρακε πώποτε, ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ
19 πατρός ἐκεῖνος ἐξηγήσατο. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰ-
ωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ
20 Λευΐτας ἵνα ἐρωτήσωσιν αὐτόν, Σὺ τίς εἶ· καὶ ὡμολόγησε, καὶ
οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.
21 καὶ ἠρώτησαν αὐτόν, Τί οὖν· Ἠλίας εἶ σύ· καὶ λέγει, Οὐκ εἰμί.
22 Ὁ προφήτης εἶ σύ· καὶ ἀπεκρίθη, Οὔ. εἶπον οὖν αὐτῷ, Τίς εἶ·
ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς τί λέγεις περὶ σεαυ-
23 τοῦ· ἔφη, Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Εὐθύνατε τὴν ὁδὸν
24 Κυρίου, καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης. καὶ οἱ ἀπεσταλμέ-
25 νοι ἦσαν ἐκ τῶν Φαρισαίων. καὶ ἠρώτησαν αὐτόν, καὶ εἶπον
αὐτῷ, Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε
26 ὁ προφήτης· ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων, Ἐγὼ βαπτίζω
27 ἐν ὕδατι, μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. αὐτός
ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ
ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήμα-

---

v.15 Ἰωάννης[nnms] μαρτυρέω[vipa3s] περί[p] αὐτός[rpgms] καί[c] κράζω[vixa3s] λέγω[vppanms] οὗτος[rdnms] εἰμί[viix3s] ὅς[rrams] λέγω[viaa1s] ὁ[dnms] ὀπίσω[bo] ἐγώ[rpg-s] ἔρχομαι[vppnnms] ἔμπροσθεν[p] ἐγώ[rpg-s] γίνομαι[vixa3s] ὅτι[c] πρῶτος[anmsn] ἐγώ[rpg-s] εἰμί[viix3s]. **v.16** καί[c] ἐκ[p] ὁ[dgns] πλήρωμα[ngns] αὐτός[rpgms] ἐγώ[rpn-p] πᾶς[anmpn] λαμβάνω[viaa1p] καί[c] χάρις[nafs] ἀντί[p] χάρις[ngfs]. **v.17** ὅτι[c] ὁ[dnms] νόμος[nnms] διά[p] Μωϋσῆς[ngms] δίδωμι[viap3s] ὁ[dnfs] χάρις[nnfs] καί[c] ὁ[dnfs] ἀλήθεια[nnfs] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms] γίνομαι[viad3s]. **v.18** θεός[nams] οὐδείς[anfsn] ὁράω[vixa3s] πώποτε[bo] ὁ[dnms] μονογενής[anmsn] υἱός[nnms] ὁ[dnms] εἰμί[vppxnms] εἰς[p] ὁ[dams] κόλπος[nams] ὁ[dgms] πατήρ[ngms] ἐκεῖνος[rdnms] ἐξηγέομαι[viad3s]. **v.19** καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] μαρτυρία[nnfs] ὁ[dgms] Ἰωάννης[ngms] ὅτε[bo] ἀποστέλλω[viaa3p] ὁ[dnmp] Ἰουδαῖος[anmpn] ἐκ[p] Ἱεροσόλυμα[ngnp] ἱερεύς[namp] καί[c] Λευίτης[namp] ἵνα[c] ἐρωτάω[vsaa3p] αὐτός[rpams] σύ[rpn-s] τίς[rqnms] εἰμί[vipx2s]. **v.20** καί[c] ὁμολογέω[viaa3s] καί[c] οὐ[xo] ἀρνέομαι[viad3s] καί[c] ὁμολογέω[viaa3s] ὅτι[c] οὐ[xo] εἰμί[vipx1s] ἐγώ[rpn-s] ὁ[dnms] Χριστός[nnms]. **v.21** καί[c] ἐρωτάω[viaa3p] αὐτός[rpams] τίς[rqnns] οὖν[c] Ἠλίας[nnms] εἰμί[vipx2s] σύ[rpn-s] καί[c] λέγω[vipa3s] οὐ[xo] εἰμί[vipx1s] ὁ[dnms] προφήτης[nnms] εἰμί[vipx2s] σύ[rpn-s] καί[c] ἀποκρίνομαι[viad3s] οὐ[xo]. **v.22** λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] τίς[rqnms] εἰμί[vipx2s] ἵνα[c] ἀπόκρισις[nafs] δίδωμι[vsaa1p] ὁ[ddmp] πέμπω[vpaadmp] ἐγώ[rpa-p] τίς[rqnns] λέγω[vipa2s] περί[p] σεαυτοῦ[rxgms]. **v.23** φημί[viix3s] ἐγώ[rpn-s] φωνή[nnfs] βοάω[vppagms] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] εὐθύνω[vdaa2p] ὁ[dafs] ὁδός[nafs] κύριος[ngms] καθώς[bo] λέγω[viaa3s] Ἠσαΐας[nnms] ὁ[dnms] προφήτης[nnms]. **v.24** καί[c] ὁ[dnmp] ἀποστέλλω[vpxpnmp] εἰμί[viix3p] ἐκ[p] ὁ[dgmp] Φαρισαῖος[ngmp]. **v.25** καί[c] ἐρωτάω[viaa3p] αὐτός[rpams] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] τίς[rqnns] οὖν[c] βαπτίζω[vipa2s] εἰ[qo] σύ[rpn-s] οὐ[xo] εἰμί[vipx2s] ὁ[dnms] Χριστός[nnms] οὔτε[c] Ἠλίας[nnms] οὔτε[c] ὁ[dnms] προφήτης[nnms]. **v.26** ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰωάννης[nnms] λέγω[vppanms] ἐγώ[rpn-s] βαπτίζω[vipa1s] ἐν[p] ὕδωρ[ndns] μέσος[anmsn] δέ[c] σύ[rpg-p] ἵστημι[vixa3s] ὅς[rrams] σύ[rpn-p] οὐ[xo] οἶδα[vixa2p].

τος. ταῦτα ἐν Βηθαβαρᾶ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου 28
ἦν Ἰωάννης βαπτίζων. Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰη- 29
σοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ,
ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστι περὶ οὗ ἐγὼ 30
εἶπον, Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν,
ὅτι πρῶτός μου ἦν. κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾽ ἵνα φανερω- 31
θῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. καὶ 32
ἐμαρτύρησεν Ἰωάννης, λέγων ὅτι Τεθέαμαι τὸ Πνεῦμα καταβαῖ-
νον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ᾽ αὐτόν. κἀγὼ 33
οὐκ ᾔδειν αὐτόν, ἀλλ᾽ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός
μοι εἶπεν, Ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ᾽
αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ. κἀγὼ ἑώ- 34
ρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. Τῇ 35
ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ
δύο, καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει, Ἴδε ὁ ἀμνὸς 36
τοῦ Θεοῦ. καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ 37
ἠκολούθησαν τῷ Ἰησοῦ. στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασά- 38
μενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς, Τί ζητεῖτε· οἱ δὲ
εἶπον αὐτῷ, Ῥαββί ὃ λέγεται ἑρμηνευόμενον, Διδάσκαλε, ποῦ
μένεις· λέγει αὐτοῖς, Ἔρχεσθε καὶ ἴδετε. ἦλθον καὶ εἶδον ποῦ 39

---

v.27 αὐτός[rpnms] εἰμί[vipx3s] ὁ[dnms] ὀπίσω[bo] ἐγώ[rpg-s] ἔρχομαι[vppnnms] ὅς[rrnms] ἔμπροσθεν[p] ἐγώ[rpg-s] γίνομαι[vixa3s] ὅς[rrgms] ἐγώ[rpn-s] οὐ[xo] εἰμί[vipx1s] ἄξιος[anmsn] ἵνα[c] λύω[vsaa1s] αὐτός[rpgms] ὁ[dams] ἱμάς[nams] ὁ[dgns] ὑπόδημα[ngns]. **v.28** οὗτος[rdnnp] ἐν[p] Βηθαβαρά[ndfs] γίνομαι[viad3s] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms] ὅπου[bo] εἰμί[viix3s] Ἰωάννης[nnms] βαπτίζω[vppanms]. **v.29** ὁ[ddfs] ἐπαύριον[bo] βλέπω[vipa3s] ὁ[dnms] Ἰωάννης[nnms] ὁ[dams] Ἰησοῦς[nams] ἔρχομαι[vppnams] πρός[p] αὐτός[rpams] καί[c] λέγω[vipa3s] ἴδε[i] ὁ[dnms] ἀμνός[nnms] ὁ[dgms] θεός[ngms] ὁ[dnms] αἴρω[vppanms] ὁ[dafs] ἁμαρτία[nafs] ὁ[dgms] κόσμος[ngms]. **v.30** οὗτος[rdnms] εἰμί[vipx3s] περί[p] ὅς[rrgms] ἐγώ[rpn-s] λέγω[viaa1s] ὀπίσω[bo] ἐγώ[rpg-s] ἔρχομαι[vipn3s] ἀνήρ[nnms] ὅς[rrnms] ἔμπροσθεν[p] ἐγώ[rpg-s] γίνομαι[vixa3s] ὅτι[c] πρῶτος[anmsn] ἐγώ[rpg-s] εἰμί[viix3s]. **v.31** κἀγώ[rpn-s] οὐ[xo] οἶδα[viya1s] αὐτός[rpams] ἀλλά[c] ἵνα[c] φανερόω[vsap3s] ὁ[ddms] Ἰσραήλ[tp] διά[p] οὗτος[rdans] ἔρχομαι[viaa1s] ἐγώ[rpn-s] ἐν[p] ὁ[ddns] ὕδωρ[ndns] βαπτίζω[vppanms]. **v.32** καί[c] μαρτυρέω[viaa3s] Ἰωάννης[nnms] λέγω[vppanms] ὅτι[c] θεάομαι[vixn1s] ὁ[dans] πνεῦμα[nans] καταβαίνω[vppaans] ὡσεί[bo] περιστερά[nafs] ἐκ[p] οὐρανός[ngms] καί[c] μένω[viaa3s] ἐπί[p] αὐτός[rpams]. **v.33** κἀγώ[rpn-s] οὐ[xo] οἶδα[viya1s] αὐτός[rpams] ἀλλά[c] ὁ[dnms] πέμπω[vpaanms] ἐγώ[rpa-s] βαπτίζω[vnpa] ἐν[p] ὕδωρ[ndns] ἐκεῖνος[rdnms] ἐγώ[rpd-s] λέγω[viaa3s] ἐπί[p] ὅς[rrams] ἄν[xo] ὁράω[vsaa2s] ὁ[dans] πνεῦμα[nans] καταβαίνω[vppaans] καί[c] μένω[vppaans] ἐπί[p] αὐτός[rpams] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] βαπτίζω[vppanms] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn]. **v.34** κἀγώ[rpn-s] ὁράω[vixa1s] καί[c] μαρτυρέω[vixa1s] ὅτι[c] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms]. **v.35** ὁ[ddfs] ἐπαύριον[bo] πάλιν[bo] ἵστημι[viya3s] ὁ[dnms] Ἰωάννης[nnms] καί[c] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] δύο[tn]. **v.36** καί[c] ἐμβλέπω[vpaanms] ὁ[ddms] Ἰησοῦς[ndms] περιπατέω[vppadms] λέγω[vipa3s] ἴδε[i] ὁ[dnms] ἀμνός[nnms] ὁ[dgms] θεός[ngms]. **v.37** καί[c] ἀκούω[viaa3p] αὐτός[rpgms] ὁ[dnmp] δύο[tn] μαθητής[nnmp] λαλέω[vppagms] καί[c] ἀκολουθέω[viaa3p] ὁ[ddms] Ἰησοῦς[ndms]. **v.38** στρέφω[vpapnms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] θεάομαι[vpadnms] αὐτός[rpamp] ἀκολουθέω[vppaamp] λέγω[vipa3s] αὐτός[rpdmp] τίς[rqans] ζητέω[vipa2p] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] αὐτός[rpdms] ῥαββί[th] ὅς[rrnns] λέγω[vipp3s] ἑρμηνεύω[vpppnns] διδάσκαλος[nvms] ποῦ[xo] μένω[vipa2s].

μένει, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην, ὥρα δὲ ἦν
40 ὡς δεκάτη. ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν
δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐ-
41 τῷ. εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ
λέγει αὐτῷ, Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμε-
42 νον, ὁ Χριστός. καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. ἐμβλέψας
δὲ αὐτῷ ὁ Ἰησοῦς εἶπε, Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθή-
43 σῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Τῇ ἐπαύριον ἠθέλησεν ὁ
Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ
44 λέγει αὐτῷ, Ἀκολούθει μοι. ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά,
45 ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. εὑρίσκει Φίλιππος τὸν
Ναθαναήλ, καὶ λέγει αὐτῷ, Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ
οἱ προφῆται εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ
46 Ναζαρέθ. καὶ εἶπεν αὐτῷ Ναθαναήλ, Ἐκ Ναζαρὲθ δύναταί τι
47 ἀγαθὸν εἶναι· λέγει αὐτῷ Φίλιππος, Ἔρχου καὶ ἴδε. εἶδεν ὁ
Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ
48 αὐτοῦ, Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. λέγει
αὐτῷ Ναθαναήλ, Πόθεν με γινώσκεις· ἀπεκρίθη ὁ Ἰησοῦς καὶ
εἶπεν αὐτῷ, Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συ-
49 κῆν, εἶδόν σε. ἀπεκρίθη Ναθαναὴλ καὶ λέγει αὐτῷ, Ῥαββί, σὺ

---

v.39 λέγω[vipa3s] αὐτός[rpdmp] ἔρχομαι[vdpn2p] καί[c] ὁράω[vdaa2p] ἔρχομαι[viaa3p] καί[c] ὁράω[viaa3p] ποῦ[xo] μένω[vipa3s] καί[c] παρά[p] αὐτός[rpdms] μένω[viaa3p] ὁ[dafs] ἡμέρα[nafs] ἐκεῖνος[rdafs] ὥρα[nnfs] δέ[c] εἰμί[viix3s] ὡς[bo] δέκατος[nnfs]. **v.40** εἰμί[viix3s] Ἀνδρέας[nnms] ὁ[dnms] ἀδελφός[nnms] Σίμων[ngms] Πέτρος[ngms] εἷς[nnms] ἐκ[p] ὁ[dgmp] δύο[tn] ὁ[dgmp] ἀκούω[vpaagmp] παρά[p] Ἰωάννης[ngms] καί[c] ἀκολουθέω[vpaagmp] αὐτός[rpdms]. **v.41** εὑρίσκω[vipa3s] οὗτος[rdnms] πρῶτος[anmsn] ὁ[dams] ἀδελφός[nams] ὁ[dams] ἴδιος[aamsn] Σίμων[nams] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] εὑρίσκω[vixa1p] ὁ[dams] Μεσσίας[nams] ὅς[rrnns] εἰμί[vipx3s] μεθερμηνεύω[vpppnns] ὁ[dnms] Χριστός[nnms]. **v.42** καί[c] ἄγω[viaa3s] αὐτός[rpams] πρός[p] ὁ[dams] Ἰησοῦς[nams] ἐμβλέπω[vpaanms] δέ[c] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa3s] σύ[rpn-s] εἰμί[vipx2s] Σίμων[nnms] ὁ[dnms] υἱός[nnms] Ἰωνᾶς[ngms] σύ[rpn-s] καλέω[vifp2s] Κηφᾶς[nnms] ὅς[rrnns] ἑρμηνεύω[vipp3s] Πέτρος[nnms]. **v.43** ὁ[ddfs] ἐπαύριον[bo] θέλω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἐξέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] καί[c] εὑρίσκω[vipa3s] Φίλιππος[nams] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s]. **v.44** εἰμί[viix3s] δέ[c] ὁ[dnms] Φίλιππος[nnms] ἀπό[p] Βηθσαϊδά[tp] ἐκ[p] ὁ[dgfs] πόλις[ngfs] Ἀνδρέας[ngms] καί[c] Πέτρος[ngms]. **v.45** εὑρίσκω[vipa3s] Φίλιππος[nnms] ὁ[dams] Ναθαναήλ[tp] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὅς[rrams] γράφω[viaa3s] Μωϋσῆς[nnms] ἐν[p] ὁ[ddms] νόμος[ndms] καί[c] ὁ[dnmp] προφήτης[nnmp] εὑρίσκω[vixa1p] Ἰησοῦς[nams] ὁ[dams] υἱός[nams] ὁ[dgms] Ἰωσήφ[tp] ὁ[dams] ἀπό[p] Ναζαρά[tp]. **v.46** καί[c] λέγω[viaa3s] αὐτός[rpdms] Ναθαναήλ[tp] ἐκ[p] Ναζαρά[tp] δύναμαι[vipn3s] τι-σρχννσ ἀγαθός[annsn] εἰμί[vnpx] λέγω[vipa3s] αὐτός[rpdms] Φίλιππος[nnms] ἔρχομαι[vipn2s] καί[c] ὁράω[vdaa2s]. **v.47** ὁράω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dams] Ναθαναήλ[tp] ἔρχομαι[vppnams] πρός[p] αὐτός[rpams] καί[c] λέγω[vipa3s] περί[p] αὐτός[rpgms] ἴδε[i] ἀληθῶς[bo] Ἰσραηλίτης[nnms] ἐν[p] ὅς[rrdms] δόλος[nnms] οὐ[xo] εἰμί[vipx3s]. **v.48** λέγω[vipa3s] αὐτός[rpdms] Ναθαναήλ[tp] πόθεν[bo] ἐγώ[rpa-s] γινώσκω[vipa2s] ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] πρό[p] ὁ[dgms] σύ[rpa-s] Φίλιππος[nams] φωνέω[vnaa] εἰμί[vppxams] ὑπό[p] ὁ[dafs] συκῆ[nafs] ὁράω[viaa1s] σύ[rpa-s].

εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. ἀπεκρίθη 50
Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς
συκῆς, πιστεύεις· μείζω τούτων ὄψει. καὶ λέγει αὐτῷ, Ἀμὴν 51
ἀμὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ
τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ
τὸν υἱὸν τοῦ ἀνθρώπου.

Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, **2**
καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ, ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ 2
οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. καὶ ὑστερήσαντος οἴνου, 3
λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν, Οἶνον οὐκ ἔχουσι. λέ- 4
γει αὐτῇ ὁ Ἰησοῦς, Τί ἐμοὶ καὶ σοί, γύναι· οὔπω ἥκει ἡ ὥρα
μου. λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις, Ὅ τι ἂν λέγῃ ὑ- 5
μῖν, ποιήσατε. ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι κατὰ 6
τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ
τρεῖς. λέγει αὐτοῖς ὁ Ἰησοῦς, Γεμίσατε τὰς ὑδρίας ὕδατος. καὶ 7
ἐγέμισαν αὐτὰς ἕως ἄνω. καὶ λέγει αὐτοῖς, Ἀντλήσατε νῦν, καὶ 8
φέρετε τῷ ἀρχιτρικλίνῳ. καὶ ἤνεγκαν. ὡς δὲ ἐγεύσατο ὁ ἀρχι- 9
τρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν
οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, φωνεῖ τὸν νυμ-
φίον ὁ ἀρχιτρίκλινος, καὶ λέγει αὐτῷ, Πᾶς ἄνθρωπος πρῶτον 10
τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω,

---

v.49 ἀποκρίνομαι[viad3s] Ναθαναήλ[tp] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ῥαββί[th] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgms] Ἰσραήλ[tp]. **v.50** ἀποκρίνομαι[viad3s] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ὅτι[c] λέγω[viaa1s] σύ[rpd-s] ὁράω[viaa1s] σύ[rpa-s] ὑποκάτω[bo] ὁ[dgfs] συκῆ[ngfs] πιστεύω[vipa2s] μέγας[aanpc] οὗτος[rdgnp] ὀπτάνομαι[vifd2s]. **v.51** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ἀπό[p] ἄρτι[bo] ὁράω[vifd2p] ὁ[dams] οὐρανός[nams] ἀνοίγω[vpxpams] καί[c] ὁ[damp] ἄγγελος[namp] ὁ[dgms] θεός[ngms] ἀναβαίνω[vppaamp] καί[c] καταβαίνω[vppaamp] ἐπί[p] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms]. **2. v.1** καί[c] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[ddfs] τρίτος[adfsn] γάμος[nnms] γίνομαι[viad3s] ἐν[p] Κανά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] εἰμί[viix3s] ὁ[dnfs] μήτηρ[nnfs] ὁ[dgms] Ἰησοῦς[ngms] ἐκεῖ[bo]. **v.2** καλέω[viap3s] δέ[c] καί[c] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] εἰς[p] ὁ[dams] γάμος[nams]. **v.3** καί[c] ὑστερέω[vpaagms] οἶνος[ngms] λέγω[vipa3s] ὁ[dnfs] μήτηρ[nnfs] ὁ[dgms] Ἰησοῦς[ngms] πρός[p] αὐτός[rpams] οἶνος[nams] οὐ[xo] ἔχω[vipa3p]. **v.4** λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] τίς[rqnns] ἐγώ[rpd-s] καί[c] σύ[rpd-s] γυνή[nvfs] οὔπω[bo] ἥκω[vipa3s] ὁ[dnfs] ὥρα[nnfs] ἐγώ[rpg-s]. **v.5** λέγω[vipa3s] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms] ὁ[ddmp] διάκονος[ndmp] ὅς[rrans] τι-σριανσ ἄν[xo] λέγω[vspa3s] σύ[rpd-p] ποιέω[vdaa2p]. **v.6** εἰμί[viix3p] δέ[c] ἐκεῖ[bo] ὑδρία[nnfp] λίθινος[anfpn] ἕξ[tn] κεῖμαι[vppnnfp] κατά[p] ὁ[dams] καθαρισμός[nams] ὁ[dgmp] Ἰουδαῖος[agmpn] χωρέω[vppanfp] ἀνά[p] μετρητής[namp] δύο[tn] ἤ[xo] τρεῖς[namp]. **v.7** λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] γεμίζω[vdaa2p] ὁ[dafp] ὑδρία[nafp] ὕδωρ[ngns] καί[c] γεμίζω[viaa3p] αὐτός[rpafp] ἕως[c] ἄνω[bo]. **v.8** καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἀντλέω[vdaa2p] νῦν[bo] καί[c] φέρω[vdpa2p] ὁ[ddms] ἀρχιτρίκλινος[ndms] καί[c] φέρω[viaa3p]. **v.9** ὡς[bo] δέ[c] γεύομαι[viad3s] ὁ[dnms] ἀρχιτρίκλινος[nnms] ὁ[dans] ὕδωρ[nans] οἶνος[nams] γίνομαι[vpxpans] καί[c] οὐ[xo] οἶδα[viya3s] πόθεν[bo] εἰμί[vipx3s] ὁ[dnmp] δέ[c] διάκονος[nnmp] οἶδα[viya3p] ὁ[dnmp] ἀντλέω[vpxanmp] ὁ[dans] ὕδωρ[nans] φωνέω[vipa3s] ὁ[dams] νυμφίος[nams] ὁ[dnms] ἀρχιτρίκλινος[nnms].

11 σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. ταύτην ἐποίησε τὴν
ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐφα-
νέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ
12 αὐτοῦ. Μετὰ τοῦτο κατέβη εἰς Καπερναούμ, αὐτὸς καὶ ἡ μή-
τηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ
13 ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν
14 Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς. καὶ εὗρεν ἐν
τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστεράς, καὶ
15 τοὺς κερματιστὰς καθημένους. καὶ ποιήσας φραγέλλιον ἐκ
σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς
βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας
16 ἀνέστρεψεν, καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν, Ἄρατε
ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον
17 ἐμπορίου. ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμέ-
18 νον ἐστίν, Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. ἀπεκρίθησαν
οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι
19 ταῦτα ποιεῖς· ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Λύσατε τὸν
20 ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἶπον οὖν οἱ
Ἰουδαῖοι, Τεσσαράκοντα καὶ ἕξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗ-
21 τος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν· ἐκεῖνος δὲ ἔλεγε

---

v.10 καί[c] λέγω[vipa3s] αὐτός[rpdms] πᾶς[anmsn] ἄνθρωπος[nnms] πρῶτος[bo] ὁ[dams] καλός[aamsn] οἶνος[nams] τίθημι[vipa3s] καί[c] ὅταν[c] μεθύσκω[vsap3p] τότε[bo] ὁ[dams] ἐλάσσων[aamsc] σύ[rpn-s] τηρέω[vixa2s] ὁ[dams] καλός[aamsn] οἶνος[nams] ἕως[c] ἄρτι[bo]. **v.11** οὗτος[rdafs] ποιέω[viaa3s] ὁ[dafs] ἀρχή[nafs] ὁ[dgnp] σημεῖον[ngnp] ὁ[dnms] Ἰησοῦς[nnms] ἐν[p] Κανά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] καί[c] φανερόω[viaa3s] ὁ[dafs] δόξα[nafs] αὐτός[rpgms] καί[c] πιστεύω[viaa3p] εἰς[p] αὐτός[rpams] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms]. **v.12** μετά[p] οὗτος[rdans] καταβαίνω[viaa3s] εἰς[p] Καπερναούμ[tp] αὐτός[rpnms] καί[c] ὁ[dnfs] μήτηρ[nnfs] αὐτός[rpgms] καί[c] ὁ[dnmp] ἀδελφός[nnmp] αὐτός[rpgms] καί[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] καί[c] ἐκεῖ[bo] μένω[viaa3p] οὐ[xo] πολύς[aafpn] ἡμέρα[nafp]. **v.13** καί[c] ἐγγύς[bo] εἰμί[viix3s] ὁ[dnns] πάσχα[ta] ὁ[dgmp] Ἰουδαῖος[agmpn] καί[c] ἀναβαίνω[viaa3s] εἰς[p] Ἱεροσόλυμα[nafs] ὁ[dnms] Ἰησοῦς[nnms]. **v.14** καί[c] εὑρίσκω[viaa3s] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] ὁ[damp] πωλέω[vppaamp] βοῦς[namp] καί[c] πρόβατον[nanp] καί[c] περιστερά[nafp] καί[c] ὁ[damp] κερματιστής[namp] κάθημαι[vppnamp]. **v.15** καί[c] ποιέω[vpaanms] φραγέλλιον[nans] ἐκ[p] σχοινίον[ngnp] πᾶς[aampn] ἐκβάλλω[viaa3s] ἐκ[p] ὁ[dgns] ἱερόν[ngns] ὁ[danp] τέ[xo] πρόβατον[nanp] καί[c] ὁ[damp] βοῦς[namp] καί[c] ὁ[dgmp] κολλυβιστής[ngmp] ἐκχέω[viaa3s] ὁ[dnns] κέρμα[nnns] καί[c] ὁ[dafp] τράπεζα[nafp] ἀναστρέφω[viaa3s]. **v.16** καί[c] ὁ[ddmp] ὁ[dafp] περιστερά[nafp] πωλέω[vppadmp] λέγω[viaa3s] αἴρω[vdaa2p] οὗτος[rdanp] ἐντεῦθεν[bo] μή[xo] ποιέω[vdpa2p] ὁ[dams] οἶκος[nams] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] οἶκος[nams] ἐμπόριον[ngns]. **v.17** μιμνῄσκομαι[viap3p] δέ[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ὅτι[c] γράφω[vpxpnns] εἰμί[vipx3s] ὁ[dnms] ζῆλος[nnms] ὁ[dgms] οἶκος[ngms] σύ[rpg-s] κατεσθίω[viaa3s] ἐγώ[rpa-s]. **v.18** ἀποκρίνομαι[viad3p] οὖν[c] ὁ[dnmp] Ἰουδαῖος[anmpn] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] τίς[rqans] σημεῖον[nans] δείκνυμι[vipa2s] ἐγώ[rpd-p] ὅτι[c] οὗτος[rdanp] ποιέω[vipa2s]. **v.19** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] λύω[vdaa2p] ὁ[dams] ναός[nams] οὗτος[rdams] καί[c] ἐν[p] τρεῖς[ndfp] ἡμέρα[ndfp] ἐγείρω[vifa1s] αὐτός[rpams]. **v.20** λέγω[viaa3p] οὖν[c] ὁ[dnmp] Ἰουδαῖος[anmpn] τεσσεράκοντα[tn] καί[c] ἕξ[tn] ἔτος[ndnp] οἰκοδομέω[viap3s] ὁ[dnms] ναός[nnms] οὗτος[rdnms] καί[c] σύ[rpn-s] ἐν[p] τρεῖς[ndfp] ἡμέρα[ndfp] ἐγείρω[vifa2s] αὐτός[rpams].

περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, 22
ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν αὐτοῖς, καὶ ἐ-
πίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. Ὡς δὲ 23
ἦν ἐν Ἱεροσολύμοις ἐν τῷ πάσχα, ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευ-
σαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει.
αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν 24
γινώσκειν πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ 25
περὶ τοῦ ἀνθρώπου, αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.
Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐ- **3**
τῷ, ἄρχων τῶν Ἰουδαίων, οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτός, 2
καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας δι-
δάσκαλος, οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ
ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ 3
εἶπεν αὐτῷ, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν,
οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. λέγει πρὸς αὐτὸν ὁ 4
Νικόδημος, Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν· μὴ
δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν
καὶ γεννηθῆναι· ἀπεκρίθη ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν 5
μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν
εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς 6

---

v.21 ἐκεῖνος[rdnms] δέ[c] λέγω[viia3s] περί[p] ὁ[dgms] ναός[ngms] ὁ[dgns] σῶμα[ngns] αὐτός[rpgms]. **v.22** ὅτε[bo] οὖν[c] ἐγείρω[viap3s] ἐκ[p] νεκρός[agmpn] μιμνῄσκομαι[viap3p] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ὅτι[c] οὗτος[rdans] λέγω[viia3s] αὐτός[rpdmp] καί[c] πιστεύω[viaa3p] ὁ[ddfs] γραφή[ndfs] καί[c] ὁ[ddms] λόγος[ndms] ὅς[rrdms] λέγω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms]. **v.23** ὡς[bo] δέ[c] εἰμί[viix3s] ἐν[p] Ἱεροσόλυμα[ndnp] ἐν[p] ὁ[ddms] πάσχα[ta] ἐν[p] ὁ[ddfs] ἑορτή[ndfs] πολύς[anmpn] πιστεύω[viaa3p] εἰς[p] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] θεωρέω[vppanmp] αὐτός[rpgms] ὁ[danp] σημεῖον[nanp] ὅς[rranp] ποιέω[viia3s]. **v.24** αὐτός[rpnms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] οὐ[xo] πιστεύω[viia3s] ἑαυτοῦ[rxams] αὐτός[rpdmp] διά[p] ὁ[dans] αὐτός[rpams] γινώσκω[vnpa] πᾶς[aampn]. **v.25** καί[c] ὅτι[c] οὐ[xo] χρεία[nafs] ἔχω[viia3s] ἵνα[c] τι-σρινμσ μαρτυρέω[vsaa3s] περί[p] ὁ[dgms] ἄνθρωπος[ngms] αὐτός[rpnms] γάρ[c] γινώσκω[viia3s] τίς[rqnns] εἰμί[viix3s] ἐν[p] ὁ[ddms] ἄνθρωπος[ndms]. **3. v.1** εἰμί[viix3s] δέ[c] ἄνθρωπος[nnms] ἐκ[p] ὁ[dgmp] Φαρισαῖος[ngmp] Νικόδημος[nnms] ὄνομα[nnns] αὐτός[rpdms] ἄρχων[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.2** οὗτος[rdnms] ἔρχομαι[viaa3s] πρός[p] ὁ[dams] Ἰησοῦς[nams] νύξ[ngfs] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ῥαββί[th] οἶδα[vixa1p] ὅτι[c] ἀπό[p] θεός[ngms] ἔρχομαι[vixa2s] διδάσκαλος[nnms] οὐδείς[anfsn] γάρ[c] οὗτος[rdanp] ὁ[danp] σημεῖον[nanp] δύναμαι[vipn3s] ποιέω[vnpa] ὅς[rranp] σύ[rpn-s] ποιέω[vipa2s] ἐάν[qo] μή[xo] εἰμί[vspx3s] ὁ[dnms] θεός[nnms] μετά[p] αὐτός[rpgms]. **v.3** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] ἐάν[qo] μή[xo] τι-σρινμσ γεννάω[vsap3s] ἄνωθεν[bo] οὐ[xo] δύναμαι[vipn3s] ὁράω[vnaa] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms]. **v.4** λέγω[vipa3s] πρός[p] αὐτός[rpams] ὁ[dnms] Νικόδημος[nnms] πῶς[bo] δύναμαι[vipn3s] ἄνθρωπος[nnms] γεννάω[vnap] γέρων[nnms] εἰμί[vppxnms] μή[xo] δύναμαι[vipn3s] εἰς[p] ὁ[dafs] κοιλία[nafs] ὁ[dgfs] μήτηρ[ngfs] αὐτός[rpgms] δεύτερος[bo] εἰσέρχομαι[vnaa] καί[c] γεννάω[vnap]. **v.5** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] ἐάν[qo] μή[xo] τι-σρινμσ γεννάω[vsap3s] ἐκ[p] ὕδωρ[ngns] καί[c] πνεῦμα[ngns] οὐ[xo] δύναμαι[vipn3s] εἰσέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms].

σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστι.
7, 8 μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ
πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽
οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει, οὕτως ἐστὶ πᾶς ὁ
9 γεγεννημένος ἐκ τοῦ πνεύματος. ἀπεκρίθη Νικόδημος καὶ
10 εἶπεν αὐτῷ, Πῶς δύναται ταῦτα γενέσθαι· ἀπεκρίθη ὁ Ἰησοῦς
καὶ εἶπεν αὐτῷ, Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραήλ, καὶ ταῦτα οὐ
11 γινώσκεις· ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν, καὶ
ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμ-
12 βάνετε. εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς, ἐὰν
13 εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε· καὶ οὐδεὶς ἀναβέβηκεν
εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ
14 ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. καὶ καθὼς Μωσῆς ὕψωσε τὸν
ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου,
15 ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώ-
16 νιον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν
αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ
17 ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς
τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα
18 σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ. ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται, ὁ
δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα

---

v.6 ὁ[dnns] γεννάω[vpxpnns] ἐκ[p] ὁ[dgfs] σάρξ[ngfs] σάρξ[nnfs] εἰμί[vipx3s] καί[c] ὁ[dnns] γεννάω[vpxpnns] ἐκ[p] ὁ[dgns] πνεῦμα[ngns] πνεῦμα[nnns] εἰμί[vipx3s]. **v.7** μή[xo] θαυμάζω[vsaa2s] ὅτι[c] λέγω[viaa1s] σύ[rpd-s] δεῖ[vipq3s] σύ[rpa-p] γεννάω[vnap] ἄνωθεν[bo]. **v.8** ὁ[dnns] πνεῦμα[nnns] ὅπου[bo] θέλω[vipa3s] πνέω[vipa3s] καί[c] ὁ[dafs] φωνή[nafs] αὐτός[rpgns] ἀκούω[vipa2s] ἀλλά[c] οὐ[xo] οἶδα[vixa2s] πόθεν[bo] ἔρχομαι[vipn3s] καί[c] ποῦ[xo] ὑπάγω[vipa3s] οὕτω[bo] εἰμί[vipx3s] πᾶς[anmsn] ὁ[dnms] γεννάω[vpxpnms] ἐκ[p] ὁ[dgns] πνεῦμα[ngns]. **v.9** ἀποκρίνομαι[viad3s] Νικόδημος[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] πῶς[bo] δύναμαι[vipn3s] οὗτος[rdnnp] γίνομαι[vnad]. **v.10** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] διδάσκαλος[nnms] ὁ[dgms] Ἰσραήλ[tp] καί[c] οὗτος[rdanp] οὐ[xo] γινώσκω[vipa2s]. **v.11** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-s] ὅτι[c] ὅς[rrans] οἶδα[vixa1p] λαλέω[vipa1p] καί[c] ὅς[rrans] ὁράω[vixa1p] μαρτυρέω[vipa1p] καί[c] ὁ[dafs] μαρτυρία[nafs] ἐγώ[rpg-p] οὐ[xo] λαμβάνω[vipa2p]. **v.12** εἰ[qo] ὁ[danp] ἐπίγειος[aanpn] λέγω[viaa1s] σύ[rpd-p] καί[c] οὐ[xo] πιστεύω[vipa2p] πῶς[bo] ἐάν[qo] λέγω[vsaa1s] σύ[rpd-p] ὁ[danp] ἐπουράνιος[aanpn] πιστεύω[vifa2p]. **v.13** καί[c] οὐδείς[anfsn] ἀναβαίνω[vixa3s] εἰς[p] ὁ[dams] οὐρανός[nams] εἰ[qo] μή[xo] ὁ[dnms] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] καταβαίνω[vpaanms] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] ὁ[dnms] εἰμί[vppxnms] ἐν[p] ὁ[ddms] οὐρανός[ndms]. **v.14** καί[c] καθώς[bo] Μωϋσῆς[nnms] ὑψόω[viaa3s] ὁ[dams] ὄφις[nams] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn] οὕτω[bo] ὑψόω[vnap] δεῖ[vipq3s] ὁ[dams] υἱός[nams] ὁ[dgms] ἄνθρωπος[ngms]. **v.15** ἵνα[c] πᾶς[anmsn] ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] αὐτός[rpams] μή[xo] ἀπόλλυμι[vsam3s] ἀλλά[c] ἔχω[vspa3s] ζωή[nafs] αἰώνιος[aafsn]. **v.16** οὕτω[bo] γάρ[c] ἀγαπάω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] κόσμος[nams] ὥστε[c] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] ὁ[dams] μονογενής[aamsn] δίδωμι[viaa3s] ἵνα[c] πᾶς[anmsn] ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] αὐτός[rpams] μή[xo] ἀπόλλυμι[vsam3s] ἀλλά[c] ἔχω[vspa3s] ζωή[nafs] αἰώνιος[aafsn]. **v.17** οὐ[xo] γάρ[c] ἀποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] εἰς[p] ὁ[dams] κόσμος[nams] ἵνα[c] κρίνω[vspa3s] ὁ[dams] κόσμος[nams] ἀλλά[c] ἵνα[c] σῴζω[vsap3s] ὁ[dnms] κόσμος[nnms] διά[p] αὐτός[rpgms].

τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι 19
τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι
μᾶλλον τὸ σκότος ἢ τὸ φῶς, ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα.
πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς 20
τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. ὁ δὲ ποιῶν τὴν ἀλή- 21
θειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι
ἐν Θεῷ ἐστιν εἰργασμένα. Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ 22
οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβε μετ᾽
αὐτῶν καὶ ἐβάπτιζεν. ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν 23
ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ, καὶ παρεγίνοντο
καὶ ἐβαπτίζοντο. οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ 24
Ἰωάννης. ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ 25
Ἰουδαίων περὶ καθαρισμοῦ. καὶ ἦλθον πρὸς τὸν Ἰωάννην καὶ 26
εἶπον αὐτῷ, Ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ
μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς
αὐτόν. ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος 27
λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.
αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, 28
ἀλλ᾽ ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. ὁ ἔχων τὴν 29
νύμφην, νυμφίος ἐστίν, ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ
ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου, αὕτη

---

v.18 ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] αὐτός[rpams] οὐ[xo] κρίνω[vipp3s] ὁ[dnms] δέ[c] μή[xo] πιστεύω[vppanms] ἤδη[bo] κρίνω[vixp3s] ὅτι[c] μή[xo] πιστεύω[vixa3s] εἰς[p] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] μονογενής[agmsn] υἱός[ngms] ὁ[dgms] θεός[ngms]. **v.19** οὗτος[rdnfs] δέ[c] εἰμί[vipx3s] ὁ[dnfs] κρίσις[nnfs] ὅτι[c] ὁ[dnns] φῶς[nnns] ἔρχομαι[vixa3s] εἰς[p] ὁ[dams] κόσμος[nams] καί[c] ἀγαπάω[viaa3p] ὁ[dnmp] ἄνθρωπος[nnmp] μᾶλλον[bo] ὁ[dans] σκότος[nans] ἤ[xo] ὁ[dans] φῶς[nans] εἰμί[viix3s] γάρ[c] πονηρός[annpn] αὐτός[rpgmp] ὁ[dnnp] ἔργον[nnnp]. **v.20** πᾶς[anmsn] γάρ[c] ὁ[dnms] φαῦλος[aanpn] πράσσω[vppanms] μισέω[vipa3s] ὁ[dans] φῶς[nans] καί[c] οὐ[xo] ἔρχομαι[vipn3s] πρός[p] ὁ[dans] φῶς[nans] ἵνα[c] μή[xo] ἐλέγχω[vsap3s] ὁ[dnnp] ἔργον[nnnp] αὐτός[rpgms]. **v.21** ὁ[dnms] δέ[c] ποιέω[vppanms] ὁ[dafs] ἀλήθεια[nafs] ἔρχομαι[vipn3s] πρός[p] ὁ[dans] φῶς[nans] ἵνα[c] φανερόω[vsap3s] αὐτός[rpgms] ὁ[dnnp] ἔργον[nnnp] ὅτι[c] ἐν[p] θεός[ndms] εἰμί[vipx3s] ἐργάζομαι[vpxpnnp]. **v.22** μετά[p] οὗτος[rdanp] ἔρχομαι[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] εἰς[p] ὁ[dafs] Ἰουδαῖος[aafsn] γῆ[nafs] καί[c] ἐκεῖ[bo] διατρίβω[viia3s] μετά[p] αὐτός[rpgmp] καί[c] βαπτίζω[viia3s]. **v.23** εἰμί[viix3s] δέ[c] καί[c] Ἰωάννης[nnms] βαπτίζω[vppanms] ἐν[p] Αἰνών[tp] ἐγγύς[bo] ὁ[dgms] Σαλείμ[tp] ὅτι[c] ὕδωρ[nnnp] πολύς[annpn] εἰμί[viix3s] ἐκεῖ[bo] καί[c] παραγίνομαι[viid3p] καί[c] βαπτίζω[viip3p]. **v.24** οὔπω[bo] γάρ[c] εἰμί[viix3s] βάλλω[vpxpnms] εἰς[p] ὁ[dafs] φυλακή[nafs] ὁ[dnms] Ἰωάννης[nnms]. **v.25** γίνομαι[viad3s] οὖν[c] ζήτησις[nnfs] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] Ἰωάννης[ngms] μετά[p] Ἰουδαῖος[agmpn] περί[p] καθαρισμός[ngms]. **v.26** καί[c] ἔρχομαι[viaa3p] πρός[p] ὁ[dams] Ἰωάννης[nams] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] ῥαββί[th] ὅς[rrnms] εἰμί[viix3s] μετά[p] σύ[rpg-s] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms] ὅς[rrdms] σύ[rpn-s] μαρτυρέω[vixa2s] ἴδε[i] οὗτος[rdnms] βαπτίζω[vipa3s] καί[c] πᾶς[anmpn] ἔρχομαι[vipn3p] πρός[p] αὐτός[rpams]. **v.27** ἀποκρίνομαι[viad3s] Ἰωάννης[nnms] καί[c] λέγω[viaa3s] οὐ[xo] δύναμαι[vipn3s] ἄνθρωπος[nnms] λαμβάνω[vnpa] οὐδείς[aansn] ἐάν[qo] μή[xo] εἰμί[vspx3s] δίδωμι[vpxpnns] αὐτός[rpdms] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms]. **v.28** αὐτός[rpnmp] σύ[rpn-p] ἐγώ[rpd-s] μαρτυρέω[vipa2p] ὅτι[c] λέγω[viaa1s] οὐ[xo] εἰμί[vipx1s] ἐγώ[rpn-s] ὁ[dnms] Χριστός[nnms] ἀλλά[c] ὅτι[c] ἀποστέλλω[vpxpnms] εἰμί[vipx1s] ἔμπροσθεν[p] ἐκεῖνος[rdgms].

30 οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ
31 ἐλαττοῦσθαι. Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν. ὁ ὢν
ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ, ὁ ἐκ τοῦ οὐρα-
32 νοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστί. καὶ ὃ ἑώρακε καὶ ἤκουσε,
33 τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. ὁ
λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐ-
34 στιν. ὃν γὰρ ἀπέστειλεν ὁ Θεός, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ,
35 οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα. ὁ πατὴρ ἀγαπᾷ
36 τὸν υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. ὁ πιστεύων εἰς
τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται
ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν.

4 Ὡς οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς
2 πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης. καίτοιγε Ἰ-
3 ησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ, ἀφῆκε
4 τὴν Ἰουδαίαν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν. ἔδει δὲ
5 αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. ἔρχεται οὖν εἰς πόλιν
τῆς Σαμαρείας λεγομένην Συχάρ, πλησίον τοῦ χωρίου ὃ ἔδω-
6 κεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ, ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ.
ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως
7 ἐπὶ τῇ πηγῇ ὥρα ἦν ὡσεὶ ἕκτη. ἔρχεται γυνὴ ἐκ τῆς Σαμα-

---

v.29 ὁ[dnms] ἔχω[vppanms] ὁ[dafs] νύμφη[nafs] νυμφίος[nnms] εἰμί[vipx3s] ὁ[dnms] δέ[c] φίλος[anmsn] ὁ[dgms] νυμφίος[ngms] ὁ[dnms] ἵστημι[vpxanms] καί[c] ἀκούω[vppanms] αὐτός[rpgms] χαρά[ndfs] χαίρω[vipa3s] διά[p] ὁ[dafs] φωνή[nafs] ὁ[dgms] νυμφίος[ngms] οὗτος[rdnfs] οὖν[c] ὁ[dnfs] χαρά[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] πληρόω[vixp3s]. **v.30** ἐκεῖνος[rdams] δεῖ[vipq3s] αὐξάνω[vnpa] ἐγώ[rpa-s] δέ[c] ἐλαττόω[vnpp]. **v.31** ὁ[dnms] ἄνωθεν[bo] ἔρχομαι[vppnnms] ἐπάνω[bo] πᾶς[agnpn] εἰμί[vipx3s] ὁ[dnms] εἰμί[vppxnms] ἐκ[p] ὁ[dgfs] γῆ[ngfs] ἐκ[p] ὁ[dgfs] γῆ[ngfs] εἰμί[vipx3s] καί[c] ἐκ[p] ὁ[dgfs] γῆ[ngfs] λαλέω[vipa3s] ὁ[dnms] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] ἔρχομαι[vppnnms] ἐπάνω[bo] πᾶς[agnpn] εἰμί[vipx3s]. **v.32** καί[c] ὅς[rrans] ὁράω[vixa3s] καί[c] ἀκούω[viaa3s] οὗτος[rdans] μαρτυρέω[vipa3s] καί[c] ὁ[dafs] μαρτυρία[nafs] αὐτός[rpgms] οὐδείς[anfsn] λαμβάνω[vipa3s]. **v.33** ὁ[dnms] λαμβάνω[vpaanms] αὐτός[rpgms] ὁ[dafs] μαρτυρία[nafs] σφραγίζω[viaa3s] ὅτι[c] ὁ[dnms] θεός[nnms] ἀληθής[anmsn] εἰμί[vipx3s]. **v.34** ὅς[rrams] γάρ[c] ἀποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[danp] ῥῆμα[nanp] ὁ[dgms] θεός[ngms] λαλέω[vipa3s] οὐ[xo] γάρ[c] ἐκ[p] μέτρον[ngns] δίδωμι[vipa3s] ὁ[dnms] θεός[nnms] ὁ[dans] πνεῦμα[nans]. **v.35** ὁ[dnms] πατήρ[nnms] ἀγαπάω[vipa3s] ὁ[dams] υἱός[nams] καί[c] πᾶς[aanpn] δίδωμι[vixa3s] ἐν[p] ὁ[ddfs] χείρ[ndfs] αὐτός[rpgms]. **v.36** ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] ὁ[dams] υἱός[nams] ἔχω[vipa3s] ζωή[nafs] αἰώνιος[aafsn] ὁ[dnms] δέ[c] ἀπειθέω[vppanms] ὁ[ddms] υἱός[ndms] οὐ[xo] ὁράω[vifd3s] ζωή[nafs] ἀλλά[c] ὁ[dnfs] ὀργή[nnfs] ὁ[dgms] θεός[ngms] μένω[vipa3s] ἐπί[p] αὐτός[rpams]. **4. v.1** ὡς[bo] οὖν[c] γινώσκω[viaa3s] ὁ[dnms] κύριος[nnms] ὅτι[c] ἀκούω[viaa3p] ὁ[dnmp] Φαρισαῖος[nnmp] ὅτι[c] Ἰησοῦς[nnms] πολύς[aampc] μαθητής[namp] ποιέω[vipa3s] καί[c] βαπτίζω[vipa3s] ἤ[xo] Ἰωάννης[nnms]. **v.2** καίτοιγε[c] Ἰησοῦς[nnms] αὐτός[rpnms] οὐ[xo] βαπτίζω[viia3s] ἀλλά[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms]. **v.3** ἀφίημι[viaa3s] ὁ[dafs] Ἰουδαία[nafs] καί[c] ἀπέρχομαι[viaa3s] πάλιν[bo] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs]. **v.4** δεῖ[viiq3s] δέ[c] αὐτός[rpams] διέρχομαι[vnpn] διά[p] ὁ[dgfs] Σαμάρεια[ngfs]. **v.5** ἔρχομαι[vipn3s] οὖν[c] εἰς[p] πόλις[nafs] ὁ[dgfs] Σαμάρεια[ngfs] λέγω[vpppafs] Συχάρ[tp] πλησίον[bo] ὁ[dgns] χωρίον[ngns] ὅς[rrans] δίδωμι[viaa3s] Ἰακώβ[tp] Ἰωσήφ[tp] ὁ[ddms] υἱός[ndms] αὐτός[rpgms]. **v.6** εἰμί[viix3s] δέ[c] ἐκεῖ[bo] πηγή[nnfs] ὁ[dgms] Ἰακώβ[tp] ὁ[dnms] οὖν[c] Ἰησοῦς[nnms] κοπιάω[vpxanms] ἐκ[p] ὁ[dgfs] ὁδοιπορία[ngfs] καθέζομαι[viin3s] οὕτω[bo] ἐπί[p] ὁ[ddfs] πηγή[ndfs] ὥρα[nnfs] εἰμί[viix3s] ὡσεί[bo] ἕκτος[anfsn].

ρείας ἀντλῆσαι ὕδωρ, λέγει αὐτῇ ὁ Ἰησοῦς, Δός μοι πιεῖν. οἱ 8
γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς
ἀγοράσωσι. λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις, Πῶς σὺ Ἰου- 9
δαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος·
οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. ἀπεκρίθη Ἰησοῦς 10
καὶ εἶπεν αὐτῇ, Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ
λέγων σοι, Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν
σοι ὕδωρ ζῶν. λέγει αὐτῷ ἡ γυνή, Κύριε, οὔτε ἄντλημα ἔχεις, 11
καὶ τὸ φρέαρ ἐστὶ βαθύ, πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν· μὴ 12
σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ,
καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα
αὐτοῦ· ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῇ, Πᾶς ὁ πίνων ἐκ 13
τοῦ ὕδατος τούτου, διψήσει πάλιν, ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος 14
οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ
ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς
ζωὴν αἰώνιον. λέγει πρὸς αὐτὸν ἡ γυνή, Κύριε, δός μοι τοῦτο 15
τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. λέγει 16
αὐτῇ ὁ Ἰησοῦς, Ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐν-
θάδε. ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν, Οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ 17
ὁ Ἰησοῦς, Καλῶς εἶπας ὅτι Ἄνδρα οὐκ ἔχω, πέντε γὰρ ἄνδρας 18

---

v.7 ἔρχομαι[vipn3s] γυνή[nnfs] ἐκ[p] ὁ[dgfs] Σαμάρεια[ngfs] ἀντλέω[vnaa] ὕδωρ[nans] λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] δίδωμι[vdaa2s] ἐγώ[rpd-s] πίνω[vnaa]. **v.8** ὁ[dnmp] γάρ[c] μαθητής[nnmp] αὐτός[rpgms] ἀπέρχομαι[viya3p] εἰς[p] ὁ[dafs] πόλις[nafs] ἵνα[c] τροφή[nafp] ἀγοράζω[vsaa3p]. **v.9** λέγω[vipa3s] οὖν[c] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] ὁ[dnfs] Σαμαρῖτις[nnfs] πῶς[bo] σύ[rpn-s] Ἰουδαῖος[anmsn] εἰμί[vppxnms] παρά[p] ἐγώ[rpg-s] πίνω[vnaa] αἰτέω[vipa2s] εἰμί[vppxgfs] γυνή[ngfs] Σαμαρῖτις[ngfs] οὐ[xo] γάρ[c] συγχράομαι[vipn3p] Ἰουδαῖος[anmpn] Σαμαρίτης[ndmp]. **v.10** ἀποκρίνομαι[viad3s] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdfs] εἰ[qo] οἶδα[viya2s] ὁ[dafs] δωρεά[nafs] ὁ[dgms] θεός[ngms] καί[c] τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] λέγω[vppanms] σύ[rpd-s] δίδωμι[vdaa2s] ἐγώ[rpd-s] πίνω[vnaa] σύ[rpn-s] ἄν[xo] αἰτέω[viaa2s] αὐτός[rpams] καί[c] δίδωμι[viaa3s] ἄν[xo] σύ[rpd-s] ὕδωρ[nans] ζάω[vppaans]. **v.11** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] κύριος[nvms] οὔτε[c] ἄντλημα[nans] ἔχω[vipa2s] καί[c] ὁ[dnns] φρέαρ[nnns] εἰμί[vipx3s] βαθύς[annsn] πόθεν[bo] οὖν[c] ἔχω[vipa2s] ὁ[dans] ὕδωρ[nans] ὁ[dans] ζάω[vppaans]. **v.12** μή[xo] σύ[rpn-s] μέγας[anmsc] εἰμί[vipx2s] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-p] Ἰακώβ[tp] ὅς[rrnms] δίδωμι[viaa3s] ἐγώ[rpd-p] ὁ[dans] φρέαρ[nans] καί[c] αὐτός[rpnms] ἐκ[p] αὐτός[rpgns] πίνω[viaa3s] καί[c] ὁ[dnmp] υἱός[nnmp] αὐτός[rpgms] καί[c] ὁ[dnnp] θρέμμα[nnnp] αὐτός[rpgms]. **v.13** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdfs] πᾶς[anmsn] ὁ[dnms] πίνω[vppanms] ἐκ[p] ὁ[dgns] ὕδωρ[ngns] οὗτος[rdgns] διψάω[vifa3s] πάλιν[bo]. **v.14** ὅς[rrnms] δέ[c] ἄν[xo] πίνω[vsaa3s] ἐκ[p] ὁ[dgns] ὕδωρ[ngns] ὅς[rrgns] ἐγώ[rpn-s] δίδωμι[vifa1s] αὐτός[rpdms] οὐ[xo] μή[xo] διψάω[vsaa3s] εἰς[p] ὁ[dams] αἰών[nams] ἀλλά[c] ὁ[dnns] ὕδωρ[nnns] ὅς[rrans] δίδωμι[vifa1s] αὐτός[rpdms] γίνομαι[vifd3s] ἐν[p] αὐτός[rpdms] πηγή[nnfs] ὕδωρ[ngns] ἅλλομαι[vppngns] εἰς[p] ζωή[nafs] αἰώνιος[aafsn]. **v.15** λέγω[vipa3s] πρός[p] αὐτός[rpams] ὁ[dnfs] γυνή[nnfs] κύριος[nvms] δίδωμι[vdaa2s] ἐγώ[rpd-s] οὗτος[rdans] ὁ[dans] ὕδωρ[nans] ἵνα[c] μή[xo] διψάω[vspa1s] μηδέ[c] ἔρχομαι[vspn1s] ἐνθάδε[bo] ἀντλέω[vnpa]. **v.16** λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] ὑπάγω[vdpa2s] φωνέω[vdaa2s] ὁ[dams] ἀνήρ[nams] σύ[rpg-s] καί[c] ἔρχομαι[vdaa2s] ἐνθάδε[bo]. **v.17** ἀποκρίνομαι[viad3s] ὁ[dnfs] γυνή[nnfs] καί[c] λέγω[viaa3s] οὐ[xo] ἔχω[vipa1s] ἀνήρ[nams] λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] καλῶς[bo] λέγω[viaa2s] ὅτι[c] ἀνήρ[nams] οὐ[xo] ἔχω[vipa1s].

ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ, τοῦτο ἀληθὲς εἴρη-
19 κας. λέγει αὐτῷ ἡ γυνή, Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ.
20 οἱ πατέρες ἡμῶν ἐν τούτῳ τῷ ὄρει προσεκύνησαν, καὶ ὑμεῖς
λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεὶ προσκυνεῖν.
21 λέγει αὐτῇ ὁ Ἰησοῦς, Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα,
ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε
22 τῷ πατρί. ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυ-
23 νοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. ἀλλ᾽
ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσ-
κυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ, καὶ γὰρ ὁ πατὴρ
24 τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεός,
καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ
25 προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνή, Οἶδα ὅτι Μεσσίας ἔρχεται ὁ
λεγόμενος Χριστός, ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα.
26, 27 λέγει αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι, ὁ λαλῶν σοι. Καὶ ἐπὶ τού-
τῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι μετὰ γυναικὸς
ἐλάλει, οὐδεὶς μέντοι εἶπε, Τί ζητεῖς· ἤ, Τί λαλεῖς μετ᾽ αὐτῆς·
28 ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνή, καὶ ἀπῆλθεν εἰς τὴν πό-
29 λιν, καὶ λέγει τοῖς ἀνθρώποις, Δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ
30 μοι πάντα ὅσα ἐποίησα, μήτι οὗτός ἐστιν ὁ Χριστός· ἐξῆλθον

---

v.18 πέντε[tn] γάρ[c] ἀνήρ[namp] ἔχω[viaa2s] καί[c] νῦν[bo] ὅς[rrams] ἔχω[vipa2s] οὐ[xo] εἰμί[vipx3s] σύ[rpg-s] ἀνήρ[nnms] οὗτος[rdans] ἀληθής[aansn] λέγω[vixa2s]. **v.19** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] κύριος[nvms] θεωρέω[vipa1s] ὅτι[c] προφήτης[nnms] εἰμί[vipx2s] σύ[rpn-s]. **v.20** ὁ[dnmp] πατήρ[nnmp] ἐγώ[rpg-p] ἐν[p] οὗτος[rddns] ὁ[ddns] ὄρος[ndns] προσκυνέω[viaa3p] καί[c] σύ[rpn-p] λέγω[vipa2p] ὅτι[c] ἐν[p] Ἱεροσόλυμα[ndnp] εἰμί[vipx3s] ὁ[dnms] τόπος[nnms] ὅπου[bo] δεῖ[vipq3s] προσκυνέω[vnpa]. **v.21** λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] γυνή[nvfs] πιστεύω[vdaa2s] ἐγώ[rpd-s] ὅτι[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] ὅτε[bo] οὔτε[c] ἐν[p] ὁ[ddns] ὄρος[ndns] οὗτος[rddns] οὔτε[c] ἐν[p] Ἱεροσόλυμα[ndnp] προσκυνέω[vifa2p] ὁ[ddms] πατήρ[ndms]. **v.22** σύ[rpn-p] προσκυνέω[vipa2p] ὅς[rrans] οὐ[xo] οἶδα[vixa2p] ἐγώ[rpn-p] προσκυνέω[vipa1p] ὅς[rrans] οἶδα[vixa1p] ὅτι[c] ὁ[dnfs] σωτηρία[nnfs] ἐκ[p] ὁ[dgmp] Ἰουδαῖος[agmpn] εἰμί[vipx3s]. **v.23** ἀλλά[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] καί[c] νῦν[bo] εἰμί[vipx3s] ὅτε[bo] ὁ[dnmp] ἀληθινός[anmpn] προσκυνητής[nnmp] προσκυνέω[vifa3p] ὁ[ddms] πατήρ[ndms] ἐν[p] πνεῦμα[ndns] καί[c] ἀλήθεια[ndfs] καί[c] γάρ[c] ὁ[dnms] πατήρ[nnms] τοιοῦτος[rdamp] ζητέω[vipa3s] ὁ[damp] προσκυνέω[vppaamp] αὐτός[rpams]. **v.24** πνεῦμα[nnns] ὁ[dnms] θεός[nnms] καί[c] ὁ[damp] προσκυνέω[vppaamp] αὐτός[rpams] ἐν[p] πνεῦμα[ndns] καί[c] ἀλήθεια[ndfs] δεῖ[vipq3s] προσκυνέω[vnpa]. **v.25** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnfs] γυνή[nnfs] οἶδα[vixa1s] ὅτι[c] Μεσσίας[nnms] ἔρχομαι[vipn3s] ὁ[dnms] λέγω[vpppnms] Χριστός[nnms] ὅταν[c] ἔρχομαι[vsaa3s] ἐκεῖνος[rdnms] ἀναγγέλλω[vifa3s] ἐγώ[rpd-p] πᾶς[aanpn]. **v.26** λέγω[vipa3s] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnms] λαλέω[vppanms] σύ[rpd-s]. **v.27** καί[c] ἐπί[p] οὗτος[rddms] ἔρχομαι[viaa3p] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] καί[c] θαυμάζω[viaa3p] ὅτι[c] μετά[p] γυνή[ngfs] λαλέω[viia3s] οὐδείς[anfsn] μέντοι[c] λέγω[viaa3s] τίς[rqans] ζητέω[vipa2s] ἤ[xo] τίς[rqans] λαλέω[vipa2s] μετά[p] αὐτός[rpgfs]. **v.28** ἀφίημι[viaa3s] οὖν[c] ὁ[dafs] ὑδρία[nafs] αὐτός[rpgfs] ὁ[dnfs] γυνή[nnfs] καί[c] ἀπέρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] πόλις[nafs] καί[c] λέγω[vipa3s] ὁ[ddmp] ἄνθρωπος[ndmp]. **v.29** δεῦτε[vdvx2p] ὁράω[vdaa2p] ἄνθρωπος[nams] ὅς[rrnms] λέγω[viaa3s] ἐγώ[rpd-s] πᾶς[aanpn] ὅσος[rcanp] ποιέω[viaa1s] μήτι[xo] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] Χριστός[nnms].

οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. ἐν δὲ τῷ μεταξὺ 31
ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγοντες, Ῥαββί, φάγε. ὁ δὲ εἶπεν 32
αὐτοῖς, Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε. ἔλεγον 33
οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους, Μήτις ἤνεγκεν αὐτῷ φαγεῖν·
λέγει αὐτοῖς ὁ Ἰησοῦς, Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα 34
τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. οὐχ ὑμεῖς 35
λέγετε ὅτι Ἔτι τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται· ἰδού,
λέγω ὑμῖν, Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς
χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. καὶ ὁ θερίζων μι- 36
σθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα καὶ ὁ
σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν 37
ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων. ἐγὼ 38
ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε, ἄλλοι κε-
κοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. Ἐκ 39
δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμα-
ρειτῶν διὰ τὸν λόγον τῆς γυναικός, μαρτυρούσης ὅτι Εἶπέ μοι
πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, 40
ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς, καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.
καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ, τῇ τε γυ- 41, 42
ναικὶ ἔλεγον ὅτι Οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν, αὐτοὶ
γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ

---

v.30 ἐξέρχομαι[viaa3p] οὖν[c] ἐκ[p] ὁ[dgfs] πόλις[ngfs] καί[c] ἔρχομαι[viin3p] πρός[p] αὐτός[rpams]. **v.31** ἐν[p] δέ[c] ὁ[ddms] μεταξύ[bo] ἐρωτάω[viia3p] αὐτός[rpams] ὁ[dnmp] μαθητής[nnmp] λέγω[vppanmp] ῥαββί[th] ἐσθίω[vdaa2s]. **v.32** ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdmp] ἐγώ[rpn-s] βρῶσις[nafs] ἔχω[vipa1s] ἐσθίω[vnaa] ὅς[rrafs] σύ[rpn-p] οὐ[xo] οἶδα[vixa2p]. **v.33** λέγω[viia3p] οὖν[c] ὁ[dnmp] μαθητής[nnmp] πρός[p] ἀλλήλων[reamp] μή[xo] τι-σρινμσ φέρω[viaa3s] αὐτός[rpdms] ἐσθίω[vnaa]. **v.34** λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἐμός[rsnns] βρῶμα[nnns] εἰμί[vipx3s] ἵνα[c] ποιέω[vspa1s] ὁ[dans] θέλημα[nans] ὁ[dgms] πέμπω[vpaagms] ἐγώ[rpa-s] καί[c] τελειόω[vsaa1s] αὐτός[rpgms] ὁ[dans] ἔργον[nans]. **v.35** οὐ[xo] σύ[rpn-p] λέγω[vipa2p] ὅτι[c] ἔτι[bo] τετράμηνος[annsn] εἰμί[vipx3s] καί[c] ὁ[dnms] θερισμός[nnms] ἔρχομαι[vipn3s] ἰδού[vdaa2s] λέγω[vipa1s] σύ[rpd-p] ἐπαίρω[vdaa2p] ὁ[damp] ὀφθαλμός[namp] σύ[rpg-p] καί[c] θεάομαι[vdad2p] ὁ[dafp] χώρα[nafp] ὅτι[c] λευκός[anfpn] εἰμί[vipx3p] πρός[p] θερισμός[nams] ἤδη[bo]. **v.36** καί[c] ὁ[dnms] θερίζω[vppanms] μισθός[nams] λαμβάνω[vipa3s] καί[c] συνάγω[vipa3s] καρπός[nams] εἰς[p] ζωή[nafs] αἰώνιος[aafsn] ἵνα[c] καί[c] ὁ[dnms] σπείρω[vppanms] ὁμοῦ[bo] χαίρω[vspa3s] καί[c] ὁ[dnms] θερίζω[vppanms]. **v.37** ἐν[p] γάρ[c] οὗτος[rddms] ὁ[dnms] λόγος[nnms] εἰμί[vipx3s] ἀληθινός[anmsn] ὅτι[c] ἄλλος[anmsn] εἰμί[vipx3s] ὁ[dnms] σπείρω[vppanms] καί[c] ἄλλος[anmsn] ὁ[dnms] θερίζω[vppanms]. **v.38** ἐγώ[rpn-s] ἀποστέλλω[viaa1s] σύ[rpa-p] θερίζω[vnpa] ὅς[rrans] οὐ[xo] σύ[rpn-p] κοπιάω[vixa2p] ἄλλος[anmpn] κοπιάω[vixa3p] καί[c] σύ[rpn-p] εἰς[p] ὁ[dams] κόπος[nams] αὐτός[rpgmp] εἰσέρχομαι[vixa2p]. **v.39** ἐκ[p] δέ[c] ὁ[dgfs] πόλις[ngfs] ἐκεῖνος[rdgfs] πολύς[anmpn] πιστεύω[viaa3p] εἰς[p] αὐτός[rpams] ὁ[dgmp] Σαμαρίτης[ngmp] διά[p] ὁ[dams] λόγος[nams] ὁ[dgfs] γυνή[ngfs] μαρτυρέω[vppagfs] ὅτι[c] λέγω[viaa3s] ἐγώ[rpd-s] πᾶς[aanpn] ὅσος[rcanp] ποιέω[viaa1s]. **v.40** ὡς[bo] οὖν[c] ἔρχομαι[viaa3p] πρός[p] αὐτός[rpams] ὁ[dnmp] Σαμαρίτης[nnmp] ἐρωτάω[viia3p] αὐτός[rpams] μένω[vnaa] παρά[p] αὐτός[rpdmp] καί[c] μένω[viaa3s] ἐκεῖ[bo] δύο[tn] ἡμέρα[nafp]. **v.41** καί[c] πολύς[admsn] πολύς[anmpc] πιστεύω[viaa3p] διά[p] ὁ[dams] λόγος[nams] αὐτός[rpgms].

43 τοῦ κόσμου, ὁ Χριστός. Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐ-
44 κεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν. αὐτὸς γὰρ ὁ Ἰησοῦς
ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.
45 ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι,
πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ, καὶ
46 αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν
εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. καὶ
47 ἦν τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ. οὗτος
ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν,
ἀπῆλθε πρὸς αὐτόν, καὶ ἠρώτα αὐτὸν ἵνα καταβῇ καὶ ἰάσηται
48 αὐτοῦ τὸν υἱόν, ἤμελλε γὰρ ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ἰησοῦς
πρὸς αὐτόν, Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύ-
49 σητε. λέγει πρὸς αὐτὸν ὁ βασιλικός, Κύριε, κατάβηθι πρὶν
50 ἀποθανεῖν τὸ παιδίον μου. λέγει αὐτῷ ὁ Ἰησοῦς, Πορεύου,
ὁ υἱός σου ζῇ. καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν
51 αὐτῷ Ἰησοῦς, καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ
δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγειλαν λέγοντες ὅτι Ὁ
52 παῖς σου ζῇ. ἐπύθετο οὖν παρ᾽ αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότε-
ρον ἔσχε. καὶ εἶπον αὐτῷ ὅτι Χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν
53 ὁ πυρετός. ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν

---

v.42 ὁ[ddfs] τέ[xo] γυνή[ndfs] λέγω[viia3p] ὅτι[c] οὐκέτι[bo] διά[p] ὁ[dafs] σός[rsafs] λαλιά[nafs] πιστεύω[vipa1p] αὐτός[rpnmp] γάρ[c] ἀκούω[vixa1p] καί[c] οἶδα[vixa1p] ὅτι[c] οὗτος[rdnms] εἰμί[vipx3s] ἀληθῶς[bo] ὁ[dnms] σωτήρ[nnms] ὁ[dgms] κόσμος[ngms] ὁ[dnms] Χριστός[nnms]. **v.43** μετά[p] δέ[c] ὁ[dafp] δύο[tn] ἡμέρα[nafp] ἐξέρχομαι[viaa3s] ἐκεῖθεν[bo] καί[c] ἀπέρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs]. **v.44** αὐτός[rpnms] γάρ[c] ὁ[dnms] Ἰησοῦς[nnms] μαρτυρέω[viaa3s] ὅτι[c] προφήτης[nnms] ἐν[p] ὁ[ddfs] ἴδιος[adfsn] πατρίς[ndfs] τιμή[nafs] οὐ[xo] ἔχω[vipa3s]. **v.45** ὅτε[bo] οὖν[c] ἔρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] δέχομαι[viad3p] αὐτός[rpams] ὁ[dnmp] Γαλιλαῖος[nnmp] πᾶς[aanpn] ὁράω[vpxanmp] ὅς[rranp] ποιέω[viaa3s] ἐν[p] Ἱεροσόλυμα[ndnp] ἐν[p] ὁ[ddfs] ἑορτή[ndfs] καί[c] αὐτός[rpnmp] γάρ[c] ἔρχομαι[viaa3p] εἰς[p] ὁ[dafs] ἑορτή[nafs]. **v.46** ἔρχομαι[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] πάλιν[bo] εἰς[p] ὁ[dafs] Κανά[tp] ὁ[dgfs] Γαλιλαία[ngfs] ὅπου[bo] ποιέω[viaa3s] ὁ[dans] ὕδωρ[nans] οἶνος[nams] καί[c] εἰμί[viix3s] τι-σρινμσ βασιλικός[anmsn] ὅς[rrgms] ὁ[dnms] υἱός[nnms] ἀσθενέω[viia3s] ἐν[p] Καπερναούμ[tp]. **v.47** οὗτος[rdnms] ἀκούω[vpaanms] ὅτι[c] Ἰησοῦς[nnms] ἥκω[vipa3s] ἐκ[p] ὁ[dgfs] Ἰουδαία[ngfs] εἰς[p] ὁ[dafs] Γαλιλαία[nafs] ἀπέρχομαι[viaa3s] πρός[p] αὐτός[rpams] καί[c] ἐρωτάω[viia3s] αὐτός[rpams] ἵνα[c] καταβαίνω[vsaa3s] καί[c] ἰάομαι[vsad3s] αὐτός[rpgms] ὁ[dams] υἱός[nams] μέλλω[viia3s] γάρ[c] ἀποθνῄσκω[vnpa]. **v.48** λέγω[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] πρός[p] αὐτός[rpams] ἐάν[qo] μή[xo] σημεῖον[nanp] καί[c] τέρας[nanp] ὁράω[vsaa2p] οὐ[xo] μή[xo] πιστεύω[vsaa2p]. **v.49** λέγω[vipa3s] πρός[p] αὐτός[rpams] ὁ[dnms] βασιλικός[anmsn] κύριος[nvms] καταβαίνω[vdaa2s] πρίν[bo] ἀποθνῄσκω[vnaa] ὁ[dans] παιδίον[nans] ἐγώ[rpg-s]. **v.50** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] πορεύομαι[vdpn2s] ὁ[dnms] υἱός[nnms] σύ[rpg-s] ζάω[vipa3s] καί[c] πιστεύω[viaa3s] ὁ[dnms] ἄνθρωπος[nnms] ὁ[ddms] λόγος[ndms] ὅς[rrdms] λέγω[viaa3s] αὐτός[rpdms] Ἰησοῦς[nnms] καί[c] πορεύομαι[viin3s]. **v.51** ἤδη[bo] δέ[c] αὐτός[rpgms] καταβαίνω[vppagms] ὁ[dnmp] δοῦλος[nnmp] αὐτός[rpgms] ἀπαντάω[viaa3p] αὐτός[rpdms] καί[c] ἀπαγγέλλω[viaa3p] λέγω[vppanmp] ὅτι[c] ὁ[dnms] παῖς[nnms] σύ[rpg-s] ζάω[vipa3s]. **v.52** πυνθάνομαι[viad3s] οὖν[c] παρά[p] αὐτός[rpgmp] ὁ[dafs] ὥρα[nafs] ἐν[p] ὅς[rrdfs] κομψότερον[bo] ἔχω[viaa3s] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] ὅτι[c] ἐχθές[bo] ὥρα[nafs] ἕβδομος[aafsn] ἀφίημι[viaa3s] αὐτός[rpams] ὁ[dnms] πυρετός[nnms].

αὐτῷ ὁ Ἰησοῦς, ὅτι Ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς καὶ
ἡ οἰκία αὐτοῦ ὅλη. τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ 54
Ἰησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.
Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς **5**
Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ 2
κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς
ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, 3
τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν.
ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ 4
ἐτάρασσεν τὸ ὕδωρ, ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ
ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατειχετο νοσήματι. ἦν δέ 5
τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ.
τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη 6
χρόνον ἔχει, λέγει αὐτῷ, Θέλεις ὑγιὴς γενέσθαι· ἀπεκρίθη αὐ- 7
τῷ ὁ ἀσθενῶν, Κύριε, ἄνθρωπον οὐκ ἔχω ἵνα, ὅταν ταραχθῇ τὸ
ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν, ἐν ᾧ δὲ ἔρχομαι ἐγώ,
ἄλλος πρὸ ἐμοῦ καταβαίνει. λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἔγειραι, 8
ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. καὶ εὐθέως ἐγένετο 9
ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράββατον αὐτοῦ καὶ περιε-
πάτει. Ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἔλεγον οὖν οἱ 10
Ἰουδαῖοι τῷ τεθεραπευμένῳ, Σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆ-

---

ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ 47
Φαρισαῖοι, Μὴ καὶ ὑμεῖς πεπλάνησθε· μή τις ἐκ τῶν ἀρχόντων 48
ἐπίστευσεν εἰς αὐτόν, ἢ ἐκ τῶν Φαρισαίων· ἀλλ' ὁ ὄχλος οὗτος 49
ὁ μὴ γινώσκων τὸν νόμον ἐπικατάρατοι εἰσι. λέγει Νικόδημος 50
πρὸς αὐτούς ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτόν, εἷς ὢν ἐξ αὐτῶν, Μὴ 51
ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ
πρότερον καὶ γνῷ τί ποιεῖ· ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Μὴ 52
καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ· ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ
τῆς Γαλιλαίας οὐκ ἐγήγερται. Καὶ ἐπορεύθη ἕκαστος εἰς τὸν 53
οἶκον αὐτοῦ,

Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν. ὄρθρου δὲ **8**, 2
πάλιν παρεγένετο εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐ-
τόν, καὶ καθίσας ἐδίδασκεν αὐτούς. ἄγουσιν δὲ οἱ γραμματεῖς 3
καὶ οἱ Φαρισαῖοι πρὸς αὐτὸν γυναῖκα ἐν μοιχείᾳ κατειλημμέ-
νην, καὶ στήσαντες αὐτὴν ἐν μέσῳ, λέγουσιν αὐτῷ, Διδάσκαλε, 4
αὕτη ἡ γυνὴ κατειλήφθη ἐπαυτοφώρῳ μοιχευομένη. ἐν δὲ τῷ 5
νόμῳ Μωσῆς ἡμῖν ἐνετείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι, σὺ
οὖν τί λέγεις· τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτόν, ἵνα ἔχωσι 6
κατηγορεῖν αὐτοῦ. ὁ δὲ Ἰησοῦς κάτω κύψας, τῷ δακτύλῳ ἔ-

---

v.45 ἔρχομαι[viaa3p] οὖν[c] ὁ[dnmp] ὑπηρέτης[nnmp] πρός[p] ὁ[damp] ἀρχιερεύς[namp] καί[c] Φαρισαῖος[namp] καί[c] λέγω[viaa3p] αὐτός[rpdmp] ἐκεῖνος[rdnmp] διά&τίς[xo] οὐ[xo] ἄγω[viaa2p] αὐτός[rpams]. **v.46** ἀποκρίνομαι[viad3p] ὁ[dnmp] ὑπηρέτης[nnmp] οὐδέποτε[bo] οὕτω[bo] λαλέω[viaa3s] ἄνθρωπος[nnms] ὡς[bo] οὗτος[rdnms] ὁ[dnms] ἄνθρωπος[nnms]. **v.47** ἀποκρίνομαι[viad3p] οὖν[c] αὐτός[rpdmp] ὁ[dnmp] Φαρισαῖος[nnmp] μή[xo] καί[c] σύ[rpn-p] πλανάω[vixp2p]. **v.48** μή[xo] τι-σρινμσ ἐκ[p] ὁ[dgmp] ἄρχων[ngmp] πιστεύω[viaa3s] εἰς[p] αὐτός[rpams] ἤ[xo] ἐκ[p] ὁ[dgmp] Φαρισαῖος[ngmp]. **v.49** ἀλλά[c] ὁ[dnms] ὄχλος[nnms] οὗτος[rdnms] ὁ[dnms] μή[xo] γινώσκω[vppanms] ὁ[dams] νόμος[nams] ἐπικατάρατος[anmpn] εἰμί[vipx3p]. **v.50** λέγω[vipa3s] Νικόδημος[nnms] πρός[p] αὐτός[rpamp] ὁ[dnms] ἔρχομαι[vpaanms] νύξ[ngfs] πρός[p] αὐτός[rpams] εἷς[nnms] εἰμί[vppxnms] ἐκ[p] αὐτός[rpgmp]. **v.51** μή[xo] ὁ[dnms] νόμος[nnms] ἐγώ[rpg-p] κρίνω[vipa3s] ὁ[dams] ἄνθρωπος[nams] ἐάν[qo] μή[xo] ἀκούω[vsaa3s] παρά[p] αὐτός[rpgms] πρότερος[bo] καί[c] γινώσκω[vsaa3s] τίς[rqans] ποιέω[vipa3s]. **v.52** ἀποκρίνομαι[viad3p] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] μή[xo] καί[c] σύ[rpn-s] ἐκ[p] ὁ[dgfs] Γαλιλαία[ngfs] εἰμί[vipx2s] ἐραυνάω[vdaa2s] καί[c] ὁράω[vdaa2s] ὅτι[c] προφήτης[nnms] ἐκ[p] ὁ[dgfs] Γαλιλαία[ngfs] οὐ[xo] ἐγείρω[vixp3s]. **v.53** καί[c] πορεύομαι[viao3s] ἕκαστος[anmsn] εἰς[p] ὁ[dams] οἶκος[nams] αὐτός[rpgms]. **8. v.1** Ἰησοῦς[nnms] δέ[c] πορεύομαι[viao3s] εἰς[p] ὁ[dans] ὄρος[nans] ὁ[dgfp] ἐλαία[ngfp]. **v.2** ὄρθρος[ngms] δέ[c] πάλιν[bo] παραγίνομαι[viad3s] εἰς[p] ὁ[dans] ἱερόν[nans] καί[c] πᾶς[anmsn] ὁ[dnms] λαός[nnms] ἔρχομαι[viin3s] πρός[p] αὐτός[rpams] καί[c] καθίζω[vpaanms] διδάσκω[viia3s] αὐτός[rpamp]. **v.3** ἄγω[vipa3p] δέ[c] ὁ[dnmp] γραμματεύς[nnmp] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] πρός[p] αὐτός[rpams] γυνή[nafs] ἐν[p] μοιχεία[ndfs] καταλαμβάνω[vpxpafs] καί[c] ἵστημι[vpaanmp] αὐτός[rpafs] ἐν[p] μέσος[adnsn]. **v.4** λέγω[vipa3p] αὐτός[rpdms] διδάσκαλος[nvms] οὗτος[rdnfs] ὁ[dnfs] γυνή[nnfs] καταλαμβάνω[viap3s] αὐτόφωρος[bo] μοιχεύω[vpppnfs]. **v.5** ἐν[p] δέ[c] ὁ[ddms] νόμος[ndms] Μωϋσῆς[nnms] ἐγώ[rpd-p] ἐντέλλομαι[viad3s] ὁ[dafp] τοιοῦτος[rdafp] λιθοβολέω[vnpp] σύ[rpn-s] οὖν[c] τίς[rqans] λέγω[vipa2s].

7 γραφεν εἰς τὴν γῆν, μὴ προσποιούμενος. ὡς δὲ ἐπέμενον
ἐρωτῶντες αὐτόν, ἀνακύψας εἶπε πρὸς αὐτούς, Ὁ ἀναμάρτη-
8 τος ὑμῶν, πρῶτος τὸν λίθον ἐπ' αὐτῇ βαλέτω. καὶ πάλιν κάτω
9 κύψας ἔγραφεν εἰς τὴν γῆν. οἱ δέ, ἀκούσαντες, καὶ ὑπὸ τῆς
συνειδήσεως ἐλεγχόμενοι, ἐξήρχοντο εἷς καθ' εἷς ἀρξάμενοι ἀ-
πὸ τῶν πρεσβυτέρων ἕως τῶν ἐσχάτων, καὶ κατελείφθη μόνος ὁ
10 Ἰησοῦς, καὶ ἡ γυνὴ ἐν μέσῳ ἑστῶσα. ἀνακύψας δὲ ὁ Ἰησοῦς,
καὶ μηδένα θεασάμενος πλὴν τὴς γυναικός, εἶπεν αὐτῇ, Ἡ γυ-
νή, ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου· οὐδείς σε κατέκρινεν·
11 ἡ δὲ εἶπεν, Οὐδείς, Κύριε. εἶπε δὲ αὐτῇ ὁ Ἰησοῦς, Οὐδὲ ἐγώ
12 σε κατακρίνω, πορεύου καὶ μηκέτι ἁμάρτανε. Πάλιν οὖν ὁ
Ἰησοῦς αὐτοῖς ἐλάλησε λέγων, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ
ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ
13 φῶς τῆς ζωῆς. εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι, Σὺ περὶ σεαυ-
14 τοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. ἀπεκρίθη
Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀ-
ληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον, καὶ ποῦ
ὑπάγω, ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω.
15, 16 ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. καὶ ἐὰν
κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν, ὅτι μόνος οὐκ εἰμί,

---

v.6 οὗτος[rdans] δέ[c] λέγω[viia3p] πειράζω[vppanmp] αὐτός[rpams] ἵνα[c] ἔχω[vspa3p] κατηγορέω[vnpa] αὐτός[rpgms] ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] κάτω[p] κύπτω[vpaanms] ὁ[ddms] δάκτυλος[ndms] γράφω[viia3s] εἰς[p] ὁ[dafs] γῆ[nafs] μή[xo] προσποιέω[vppnnms]. **v.7** ὡς[bo] δέ[c] ἐπιμένω[viia3p] ἐρωτάω[vppanmp] αὐτός[rpams] ἀνακύπτω[vpaanms] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] ὁ[dnms] ἀναμάρτητος[anmsn] σύ[rpg-p] πρῶτος[anmsn] ὁ[dams] λίθος[nams] ἐπί[p] αὐτός[rpdfs] βάλλω[vdaa3s]. **v.8** καί[c] πάλιν[bo] κάτω[p] κύπτω[vpaanms] γράφω[viia3s] εἰς[p] ὁ[dafs] γῆ[nafs]. **v.9** ὁ[dnmp] δέ[c] ἀκούω[vpaanmp] καί[c] ὑπό[p] ὁ[dgfs] συνείδησις[ngfs] ἐλέγχω[vpppnmp] ἐξέρχομαι[viin3p] εἷς[nnms] κατά[p] εἷς[nnms] ἄρχω[vpamnmp] ἀπό[p] ὁ[dgmp] πρεσβύτερος[agmpn] ἕως[c] ὁ[dgmp] ἔσχατος[agmpn] καί[c] καταλείπω[viap3s] μόνος[anmsn] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ὁ[dnfs] γυνή[nnfs] ἐν[p] μέσος[adnsn] ἵστημι[vpxanfs]. **v.10** ἀνακύπτω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] μηδείς[aamsn] θεάομαι[vpadnms] πλήν[bo] ὁ[dgfs] γυνή[ngfs] λέγω[viaa3s] αὐτός[rpdfs] ὁ[dnfs] γυνή[nnfs] ποῦ[xo] εἰμί[vipx3p] ἐκεῖνος[rdnmp] ὁ[dnmp] κατήγορος[nnmp] σύ[rpg-s] οὐδείς[anfsn] σύ[rpa-s] κατακρίνω[viaa3s]. **v.11** ὁ[dnfs] δέ[c] λέγω[viaa3s] οὐδείς[anfsn] κύριος[nvms] λέγω[viaa3s] δέ[c] αὐτός[rpdfs] ὁ[dnms] Ἰησοῦς[nnms] οὐδέ[bo] ἐγώ[rpn-s] σύ[rpa-s] κατακρίνω[vipa1s] πορεύομαι[vdpn2s] καί[c] μηκέτι[bo] ἁμαρτάνω[vdpa2s]. **v.12** πάλιν[bo] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] αὐτός[rpdmp] λαλέω[viaa3s] λέγω[vppanms] ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnns] φῶς[nnns] ὁ[dgms] κόσμος[ngms] ὁ[dnms] ἀκολουθέω[vppanms] ἐγώ[rpd-s] οὐ[xo] μή[xo] περιπατέω[vifa3s] ἐν[p] ὁ[ddfs] σκοτία[ndfs] ἀλλά[c] ἔχω[vifa3s] ὁ[dans] φῶς[nans] ὁ[dgfs] ζωή[ngfs]. **v.13** λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] ὁ[dnmp] Φαρισαῖος[nnmp] σύ[rpn-s] περί[p] σεαυτοῦ[rxgms] μαρτυρέω[vipa2s] ὁ[dnfs] μαρτυρία[nnfs] σύ[rpg-s] οὐ[xo] εἰμί[vipx3s] ἀληθής[anfsn]. **v.14** ἀποκρίνομαι[viad3s] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] κἄν[qo] ἐγώ[rpn-s] μαρτυρέω[vspa1s] περί[p] ἐμαυτοῦ[rxgms] ἀληθής[anfsn] εἰμί[vipx3s] ὁ[dnfs] μαρτυρία[nnfs] ἐγώ[rpg-s] ὅτι[c] οἶδα[vixa1s] πόθεν[bo] ἔρχομαι[viaa1s] καί[c] ποῦ[xo] ὑπάγω[vipa1s] σύ[rpn-p] δέ[c] οὐ[xo] οἶδα[vixa2p] πόθεν[bo] ἔρχομαι[vipn1s] καί[c] ποῦ[xo] ὑπάγω[vipa1s]. **v.15** σύ[rpn-p] κατά[p] ὁ[dafs] σάρξ[nafs] κρίνω[vipa2p] ἐγώ[rpn-s] οὐ[xo] κρίνω[vipa1s] οὐδείς[aamsn].

ἀλλ′ ἐγὼ καὶ ὁ πέμψας με πατήρ. καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμε- 17
τέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.
ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ 18
πέμψας με πατήρ. ἔλεγον οὖν αὐτῷ, Ποῦ ἐστιν ὁ πατήρ σου· 19
ἀπεκρίθη ὁ Ἰησοῦς, Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου, εἰ
ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν. ταῦτα τὰ ῥήματα 20
ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ,
καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.
Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς, Ἐγὼ ὑπάγω, καὶ ζητήσετέ 21
με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε, ὅπου ἐγὼ ὑπάγω,
ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. ἔλεγον οὖν οἱ Ἰουδαῖοι, Μήτι ἀπο- 22
κτενεῖ ἑαυτόν, ὅτι λέγει, Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε
ἐλθεῖν· καὶ εἶπεν αὐτοῖς, Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν 23
ἄνω εἰμί, ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ
τοῦ κόσμου τούτου. εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς 24
ἁμαρτίαις ὑμῶν, ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθα-
νεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἔλεγον οὖν αὐτῷ, Σὺ τίς εἶ· καὶ 25
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν. πολλὰ 26
ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν, ἀλλ′ ὁ πέμψας με ἀληθής
ἐστι, κἀγὼ ἃ ἤκουσα παρ′ αὐτοῦ ταῦτα λέγω εἰς τὸν κόσμον.

---

v.16 καί[c] ἐάν[qo] κρίνω[vspa1s] δέ[c] ἐγώ[rpn-s] ὁ[dnfs] κρίσις[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] ἀληθής[anfsn] εἰμί[vipx3s] ὅτι[c] μόνος[anmsn] οὐ[xo] εἰμί[vipx1s] ἀλλά[c] ἐγώ[rpn-s] καί[c] ὁ[dnms] πέμπω[vpaanms] ἐγώ[rpa-s] πατήρ[nnms]. **v.17** καί[c] ἐν[p] ὁ[ddms] νόμος[ndms] δέ[c] ὁ[ddms] ὑμέτερος[rsdms] γράφω[vixp3s] ὅτι[c] δύο[tn] ἄνθρωπος[ngmp] ὁ[dnfs] μαρτυρία[nnfs] ἀληθής[anfsn] εἰμί[vipx3s]. **v.18** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnms] μαρτυρέω[vppanms] περί[p] ἐμαυτοῦ[rxgms] καί[c] μαρτυρέω[vipa3s] περί[p] ἐγώ[rpg-s] ὁ[dnms] πέμπω[vpaanms] ἐγώ[rpa-s] πατήρ[nnms]. **v.19** λέγω[viia3p] οὖν[c] αὐτός[rpdms] ποῦ[xo] εἰμί[vipx3s] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-s] ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] οὔτε[c] ἐγώ[rpa-s] οἶδα[vixa2p] οὔτε[c] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] εἰ[qo] ἐγώ[rpa-s] οἶδα[viya2p] καί[c] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] οἶδα[viya2p] ἄν[xo]. **v.20** οὗτος[rdanp] ὁ[danp] ῥῆμα[nanp] λαλέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἐν[p] ὁ[ddns] γαζοφυλάκιον[ndns] διδάσκω[vppanms] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καί[c] οὐδείς[anfsn] πιάζω[viaa3s] αὐτός[rpams] ὅτι[c] οὔπω[bo] ἔρχομαι[viya3s] ὁ[dnfs] ὥρα[nnfs] αὐτός[rpgms]. **v.21** λέγω[viaa3s] οὖν[c] πάλιν[bo] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] καί[c] ζητέω[vifa2p] ἐγώ[rpa-s] καί[c] ἐν[p] ὁ[ddfs] ἁμαρτία[ndfs] σύ[rpg-p] ἀποθνῄσκω[vifd2p] ὅπου[bo] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] σύ[rpn-p] οὐ[xo] δύναμαι[vipn2p] ἔρχομαι[vnaa]. **v.22** λέγω[viia3p] οὖν[c] ὁ[dnmp] Ἰουδαῖος[anmpn] μήτι[xo] ἀποκτείνω[vifa3s] ἑαυτοῦ[rxams] ὅτι[c] λέγω[vipa3s] ὅπου[bo] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] σύ[rpn-p] οὐ[xo] δύναμαι[vipn2p] ἔρχομαι[vnaa]. **v.23** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] σύ[rpn-p] ἐκ[p] ὁ[dgmp] κάτω[bo] εἰμί[vipx2p] ἐγώ[rpn-s] ἐκ[p] ὁ[dgmp] ἄνω[bo] εἰμί[vipx1s] σύ[rpn-p] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] εἰμί[vipx2p] ἐγώ[rpn-s] οὐ[xo] εἰμί[vipx1s] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms]. **v.24** λέγω[viaa1s] οὖν[c] σύ[rpd-p] ὅτι[c] ἀποθνῄσκω[vifd2p] ἐν[p] ὁ[ddfp] ἁμαρτία[ndfp] σύ[rpg-p] ἐάν[qo] γάρ[c] μή[xo] πιστεύω[vsaa2p] ὅτι[c] ἐγώ[rpn-s] εἰμί[vipx1s] ἀποθνῄσκω[vifd2p] ἐν[p] ὁ[ddfp] ἁμαρτία[ndfp] σύ[rpg-p]. **v.25** λέγω[viia3p] οὖν[c] αὐτός[rpdms] σύ[rpn-s] τίς[rqnms] εἰμί[vipx2s] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dafs] ἀρχή[nafs] ὅς[rrans] τι-σριννσ καί[c] λαλέω[vipa1s] σύ[rpd-p]. **v.26** πολύς[aanpn] ἔχω[vipa1s] περί[p] σύ[rpg-p] λαλέω[vnpa] καί[c] κρίνω[vnpa] ἀλλά[c] ὁ[dnms] πέμπω[vpaanms] ἐγώ[rpa-s] ἀληθής[anmsn] εἰμί[vipx3s] κἀγώ[rpn-s] ὅς[rranp] ἀκούω[viaa1s] παρά[p] αὐτός[rpgms] οὗτος[rdanp] λέγω[vipa1s] εἰς[p] ὁ[dams] κόσμος[nams].

27, 28 οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν. εἶπεν οὖν αὐτοῖς ὁ
Ἰησοῦς, Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε
ὅτι ἐγώ εἰμι, καὶ ἀπ᾽ ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδα-
29 ξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ, καὶ ὁ πέμψας με μετ᾽ ἐμοῦ
ἐστιν, οὐκ ἀφῆκέ με μόνον ὁ πατὴρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ
30 ποιῶ πάντοτε. ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς
31 αὐτόν. Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐ-
τῷ Ἰουδαίους, Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς
32 μαθηταί μου ἐστέ, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλή-
33 θεια ἐλευθερώσει ὑμᾶς. ἀπεκρίθησαν αὐτῷ, Σπέρμα Ἀβραάμ
ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε, πῶς σὺ λέγεις ὅτι
34 Ἐλεύθεροι γενήσεσθε· ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀ-
μὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς
35 ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα,
36 ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώ-
37 σῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε,
ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑ-
38 μῖν. ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ, καὶ ὑμεῖς οὖν
39 ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν, ποιεῖτε. ἀπεκρίθησαν καὶ
εἶπον αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι. λέγει αὐτοῖς ὁ Ἰη-
σοῦς, Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε

---

v.27 οὐ^{xo} γινώσκω^{viaa3p} ὅτι^{c} ὁ^{dams} πατήρ^{nams} αὐτός^{rpdmp} λέγω^{viia3s}. **v.28** λέγω^{viaa3s} οὖν^{c} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅταν^{c} ὑψόω^{vsaa2p} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} τότε^{bo} γινώσκω^{vifd2p} ὅτι^{c} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} καί^{c} ἀπό^{p} ἐμαυτοῦ^{rxgms} ποιέω^{vipa1s} οὐδείς^{aansn} ἀλλά^{c} καθώς^{bo} διδάσκω^{viaa3s} ἐγώ$^{rpa-s}$ ὁ^{dnms} πατήρ^{nnms} ἐγώ$^{rpg-s}$ οὗτος^{rdanp} λαλέω^{vipa1s}. **v.29** καί^{c} ὁ^{dnms} πέμπω^{vpaanms} ἐγώ$^{rpa-s}$ μετά^{p} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx3s} οὐ^{xo} ἀφίημι^{viaa3s} ἐγώ$^{rpa-s}$ μόνος^{aamsn} ὁ^{dnms} πατήρ^{nnms} ὅτι^{c} ἐγώ$^{rpn-s}$ ὁ^{danp} ἀρεστός^{aanpn} αὐτός^{rpdms} ποιέω^{vipa1s} πάντοτε^{bo}. **v.30** οὗτος^{rdanp} αὐτός^{rpgms} λαλέω^{vppagms} πολύς^{anmpn} πιστεύω^{viaa3p} εἰς^{p} αὐτός^{rpams}. **v.31** λέγω^{viia3s} οὖν^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} πρός^{p} ὁ^{damp} πιστεύω^{vpxaamp} αὐτός^{rpdms} Ἰουδαῖος^{aampn} ἐάν^{qo} σύ$^{rpn-p}$ μένω^{vsaa2p} ἐν^{p} ὁ^{ddms} λόγος^{ndms} ὁ^{ddms} ἐμός^{rsdms} ἀληθῶς^{bo} μαθητής^{nnmp} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx2p}. **v.32** καί^{c} γινώσκω^{vifd2p} ὁ^{dafs} ἀλήθεια^{nafs} καί^{c} ὁ^{dnfs} ἀλήθεια^{nnfs} ἐλευθερόω^{vifa3s} σύ$^{rpa-p}$. **v.33** ἀποκρίνομαι^{viad3p} αὐτός^{rpdms} σπέρμα^{nnns} Ἀβραάμ^{tp} εἰμί^{vipx1p} καί^{c} οὐδείς^{admsn} δουλεύω^{vixa1p} πώποτε^{bo} πῶς^{bo} σύ$^{rpn-s}$ λέγω^{vipa2s} ὅτι^{c} ἐλεύθερος^{anmpn} γίνομαι^{vifd2p}. **v.34** ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} πᾶς^{anmsn} ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{dafs} ἁμαρτία^{nafs} δοῦλος^{nnms} εἰμί^{vipx3s} ὁ^{dgfs} ἁμαρτία^{ngfs}. **v.35** ὁ^{dnms} δέ^{c} δοῦλος^{nnms} οὐ^{xo} μένω^{vipa3s} ἐν^{p} ὁ^{ddfs} οἰκία^{ndfs} εἰς^{p} ὁ^{dams} αἰών^{nams} ὁ^{dnms} υἱός^{nnms} μένω^{vipa3s} εἰς^{p} ὁ^{dams} αἰών^{nams}. **v.36** ἐάν^{qo} οὖν^{c} ὁ^{dnms} υἱός^{nnms} σύ$^{rpa-p}$ ἐλευθερόω^{vsaa3s} ὄντως^{bo} ἐλεύθερος^{anmpn} εἰμί^{vifx2p}. **v.37** οἶδα^{vixa1s} ὅτι^{c} σπέρμα^{nnns} Ἀβραάμ^{tp} εἰμί^{vipx2p} ἀλλά^{c} ζητέω^{vipa2p} ἐγώ$^{rpa-s}$ ἀποκτείνω^{vnaa} ὅτι^{c} ὁ^{dnms} λόγος^{nnms} ὁ^{dnms} ἐμός^{rsnms} οὐ^{xo} χωρέω^{vipa3s} ἐν^{p} σύ$^{rpd-p}$. **v.38** ἐγώ$^{rpn-s}$ ὅς^{rrans} ὁράω^{vixa1s} παρά^{p} ὁ^{ddms} πατήρ^{ndms} ἐγώ$^{rpg-s}$ λαλέω^{vipa1s} καί^{c} σύ$^{rpn-p}$ οὖν^{c} ὅς^{rrans} ὁράω^{vixa2p} παρά^{p} ὁ^{ddms} πατήρ^{ndms} σύ$^{rpg-p}$ ποιέω^{vipa2p}.

ἄν. νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν 40
ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ, τοῦτο Ἀβραὰμ οὐκ
ἐποίησεν. ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. εἶπον οὖν 41
αὐτῷ, Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα, ἕνα πατέρα ἔχομεν,
τὸν Θεόν. εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, 42
ἠγαπᾶτε ἂν ἐμέ, ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω, οὐδὲ
γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε. δια- 43
τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε· ὅτι οὐ δύνασθε ἀκούειν
τὸν λόγον τὸν ἐμόν. ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου ἐστέ, καὶ 44
τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρω-
ποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι
οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰ-
δίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ. ἐγὼ δὲ ὅτι 45
τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι. τίς ἐξ ὑμῶν ἐλέγχει με 46
περὶ ἁμαρτίας· εἰ δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ
μοι· ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει, διὰ τοῦτο 47
ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστέ. ἀπεκρίθησαν 48
οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, Οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι
Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις· ἀπεκρίθη Ἰησοῦς, Ἐ- 49
γὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς

---

v.39 ἀποκρίνομαι[viad3p] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-p] Ἀβραάμ[tp] εἰμί[vipx3s] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] εἰ[qo] τέκνον[nnnp] ὁ[dgms] Ἀβραάμ[tp] εἰμί[viix2p] ὁ[danp] ἔργον[nanp] ὁ[dgms] Ἀβραάμ[tp] ποιέω[viia2p] ἄν[xo]. **v.40** νῦν[bo] δέ[c] ζητέω[vipa2p] ἐγώ[rpa-s] ἀποκτείνω[vnaa] ἄνθρωπος[nams] ὅς[rrnms] ὁ[dafs] ἀλήθεια[nafs] σύ[rpd-p] λαλέω[vixa1s] ὅς[rrafs] ἀκούω[viaa1s] παρά[p] ὁ[dgms] θεός[ngms] οὗτος[rdans] Ἀβραάμ[tp] οὐ[xo] ποιέω[viaa3s]. **v.41** σύ[rpn-p] ποιέω[vipa2p] ὁ[danp] ἔργον[nanp] ὁ[dgms] πατήρ[ngms] σύ[rpg-p] λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] ἐγώ[rpn-p] ἐκ[p] πορνεία[ngfs] οὐ[xo] γεννάω[vixp1p] εἷς[nams] πατήρ[nams] ἔχω[vipa1p] ὁ[dams] θεός[nams]. **v.42** λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] εἰ[qo] ὁ[dnms] θεός[nnms] πατήρ[nnms] σύ[rpg-p] εἰμί[viix3s] ἀγαπάω[viia2p] ἄν[xo] ἐγώ[rpa-s] ἐγώ[rpn-s] γάρ[c] ἐκ[p] ὁ[dgms] θεός[ngms] ἐξέρχομαι[viaa1s] καί[c] ἥκω[vipa1s] οὐδέ[bo] γάρ[c] ἀπό[p] ἐμαυτοῦ[rxgms] ἔρχομαι[vixa1s] ἀλλά[c] ἐκεῖνος[rdnms] ἐγώ[rpa-s] ἀποστέλλω[viaa3s]. **v.43** διά&τίς[xo] ὁ[dafs] λαλιά[nafs] ὁ[dafs] ἐμός[rsafs] οὐ[xo] γινώσκω[vipa2p] ὅτι[c] οὐ[xo] δύναμαι[vipn2p] ἀκούω[vnpa] ὁ[dams] λόγος[nams] ὁ[dams] ἐμός[rsams]. **v.44** σύ[rpn-p] ἐκ[p] πατήρ[ngms] ὁ[dgms] διάβολος[agmsn] εἰμί[vipx2p] καί[c] ὁ[dafp] ἐπιθυμία[nafp] ὁ[dgms] πατήρ[ngms] σύ[rpg-p] θέλω[vipa2p] ποιέω[vnpa] ἐκεῖνος[rdnms] ἀνθρωποκτόνος[anmsn] εἰμί[viix3s] ἀπό[p] ἀρχή[ngfs] καί[c] ἐν[p] ὁ[ddfs] ἀλήθεια[ndfs] οὐ[xo] στήκω[viia3s] ὅτι[c] οὐ[xo] εἰμί[vipx3s] ἀλήθεια[nnfs] ἐν[p] αὐτός[rpdms] ὅταν[c] λαλέω[vspa3s] ὁ[dans] ψεῦδος[nans] ἐκ[p] ὁ[dgnp] ἴδιος[agnpn] λαλέω[vipa3s] ὅτι[c] ψεύστης[nnms] εἰμί[vipx3s] καί[c] ὁ[dnms] πατήρ[nnms] αὐτός[rpgms]. **v.45** ἐγώ[rpn-s] δέ[c] ὅτι[c] ὁ[dafs] ἀλήθεια[nafs] λέγω[vipa1s] οὐ[xo] πιστεύω[vipa2p] ἐγώ[rpd-s]. **v.46** τίς[rqnms] ἐκ[p] σύ[rpg-p] ἐλέγχω[vipa3s] ἐγώ[rpa-s] περί[p] ἁμαρτία[ngfs] εἰ[qo] δέ[c] ἀλήθεια[nafs] λέγω[vipa1s] διά&τίς[xo] σύ[rpn-p] οὐ[xo] πιστεύω[vipa2p] ἐγώ[rpd-s]. **v.47** ὁ[dnms] εἰμί[vppxnms] ἐκ[p] ὁ[dgms] θεός[ngms] ὁ[danp] ῥῆμα[nanp] ὁ[dgms] θεός[ngms] ἀκούω[vipa3s] διά[p] οὗτος[rdans] σύ[rpn-p] οὐ[xo] ἀκούω[vipa2p] ὅτι[c] ἐκ[p] ὁ[dgms] θεός[ngms] οὐ[xo] εἰμί[vipx2p]. **v.48** ἀποκρίνομαι[viad3p] οὖν[c] ὁ[dnmp] Ἰουδαῖος[anmpn] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] οὐ[xo] καλῶς[bo] λέγω[vipa1p] ἐγώ[rpn-p] ὅτι[c] Σαμαρίτης[nnms] εἰμί[vipx2s] σύ[rpn-s] καί[c] δαιμόνιον[nans] ἔχω[vipa2s].

50 ἀτιμάζετέ με. ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου, ἔστιν ὁ ζητῶν
51 καὶ κρίνων. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν
52 τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. εἶπον οὖν
αὐτῷ οἱ Ἰουδαῖοι, Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις Ἀβραὰμ
ἀπέθανε καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, Ἐάν τις τὸν λόγον μου
53 τηρήσῃ, οὐ μὴ γεύσεται θανάτου εἰς τὸν αἰῶνα. μὴ σὺ μείζων
εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανε· καὶ οἱ προφῆται
54 ἀπέθανον, τίνα σεαυτὸν σὺ ποιεῖς· ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐ-
γὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν, ἔστιν ὁ πατήρ μου
55 ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι Θεὸς ὑμῶν ἐστι, καὶ οὐκ
ἐγνώκατε αὐτόν, ἐγὼ δὲ οἶδα αὐτόν, καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα
αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν, ψεύστης, ἀλλ' οἶδα αὐτόν, καὶ τὸν
56 λόγον αὐτοῦ τηρῶ. Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα
57 ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη. εἶπον οὖν οἱ
Ἰουδαῖοι πρὸς αὐτόν, Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ
58 ἑώρακας· εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν
59 Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ'
αὐτόν, Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, διελθὼν
διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως.
9, 2 Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. καὶ ἠ-

---

v.49 ἀποκρίνομαι[viad3s] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] δαιμόνιον[nans] οὐ[xo] ἔχω[vipa1s] ἀλλά[c] τιμάω[vipa1s] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] καί[c] σύ[rpn-p] ἀτιμάζω[vipa2p] ἐγώ[rpa-s]. **v.50** ἐγώ[rpn-s] δέ[c] οὐ[xo] ζητέω[vipa1s] ὁ[dafs] δόξα[nafs] ἐγώ[rpg-s] εἰμί[vipx3s] ὁ[dnms] ζητέω[vppanms] καί[c] κρίνω[vppanms]. **v.51** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ἐάν[qo] τι-σρινμσ ὁ[dams] λόγος[nams] ὁ[dams] ἐμός[rsams] τηρέω[vsaa3s] θάνατος[nams] οὐ[xo] μή[xo] θεωρέω[vsaa3s] εἰς[p] ὁ[dams] αἰών[nams]. **v.52** λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] ὁ[dnmp] Ἰουδαῖος[anmpn] νῦν[bo] γινώσκω[vixa1p] ὅτι[c] δαιμόνιον[nans] ἔχω[vipa2s] Ἀβραάμ[tp] ἀποθνῄσκω[viaa3s] καί[c] ὁ[dnmp] προφήτης[nnmp] καί[c] σύ[rpn-s] λέγω[vipa2s] ἐάν[qo] τι-σρινμσ ὁ[dams] λόγος[nams] ἐγώ[rpg-s] τηρέω[vsaa3s] οὐ[xo] μή[xo] γεύομαι[vifd3s] θάνατος[ngms] εἰς[p] ὁ[dams] αἰών[nams]. **v.53** μή[xo] σύ[rpn-s] μέγας[anmsc] εἰμί[vipx2s] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-p] Ἀβραάμ[tp] ὅστις[rrnms] ἀποθνῄσκω[viaa3s] καί[c] ὁ[dnmp] προφήτης[nnmp] ἀποθνῄσκω[viaa3p] τίς[rqams] σεαυτοῦ[rxams] σύ[rpn-s] ποιέω[vipa2s]. **v.54** ἀποκρίνομαι[viad3s] Ἰησοῦς[nnms] ἐάν[qo] ἐγώ[rpn-s] δοξάζω[vipa1s] ἐμαυτοῦ[rxams] ὁ[dnfs] δόξα[nnfs] ἐγώ[rpg-s] οὐδείς[annsn] εἰμί[vipx3s] εἰμί[vipx3s] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ὁ[dnms] δοξάζω[vppanms] ἐγώ[rpa-s] ὅς[rrams] σύ[rpn-p] λέγω[vipa2p] ὅτι[c] θεός[nnms] σύ[rpg-p] εἰμί[vipx3s]. **v.55** καί[c] οὐ[xo] γινώσκω[vixa2p] αὐτός[rpams] ἐγώ[rpn-s] δέ[c] οἶδα[vixa1s] αὐτός[rpams] καί[c] ἐάν[qo] λέγω[vsaa1s] ὅτι[c] οὐ[xo] οἶδα[vixa1s] αὐτός[rpams] εἰμί[vifx1s] ὅμοιος[anmsn] σύ[rpg-p] ψεύστης[nnms] ἀλλά[c] οἶδα[vixa1s] αὐτός[rpams] καί[c] ὁ[dams] λόγος[nams] αὐτός[rpgms] τηρέω[vipa1s]. **v.56** Ἀβραάμ[tp] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ἀγαλλιάω[viad3s] ἵνα[c] ὁράω[vsaa3s] ὁ[dafs] ἡμέρα[nafs] ὁ[dafs] ἐμός[rsafs] καί[c] ὁράω[viaa3s] καί[c] χαίρω[viao3s]. **v.57** λέγω[viaa3p] οὖν[c] ὁ[dnmp] Ἰουδαῖος[anmpn] πρός[p] αὐτός[rpams] πεντήκοντα[tn] ἔτος[nanp] οὔπω[bo] ἔχω[vipa2s] καί[c] Ἀβραάμ[tp] ὁράω[vixa2s]. **v.58** λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] πρίν[bo] Ἀβραάμ[tp] γίνομαι[vnad] ἐγώ[rpn-s] εἰμί[vipx1s]. **v.59** αἴρω[viaa3p] οὖν[c] λίθος[namp] ἵνα[c] βάλλω[vsaa3p] ἐπί[p] αὐτός[rpams] Ἰησοῦς[nnms] δέ[c] κρύπτω[viap3s] καί[c] ἐξέρχομαι[viaa3s] ἐκ[p] ὁ[dgns] ἱερόν[ngns] διέρχομαι[vpaanms] διά[p] μέσος[agnsn] αὐτός[rpgmp] καί[c] παράγω[viia3s] οὕτω[bo]. **9. v.1** καί[c] παράγω[vppanms] ὁράω[viaa3s] ἄνθρωπος[nams] τυφλός[aamsn] ἐκ[p] γενετή[ngfs].

ρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες, Ῥαββί, τίς ἥμαρτεν,
οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ· ἀπεκρίθη ὁ 3
Ἰησοῦς, Οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ᾽ ἵνα φα-
νερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα 4
τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν, ἔρχεται νύξ, ὅτε οὐδεὶς δύ-
ναται ἐργάζεσθαι. ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. 5
ταῦτα εἰπών, ἔπτυσε χαμαί, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσμα- 6
τος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ,
καὶ εἶπεν αὐτῷ, Ὕπαγε νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλω- 7
άμ ὃ ἑρμηνεύεται, ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο,
καὶ ἦλθε βλέπων. οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ 8
πρότερον ὅτι τυφλὸς ἦν, ἔλεγον, Οὐχ οὗτός ἐστιν ὁ καθήμενος
καὶ προσαιτῶν· ἄλλοι ἔλεγον ὅτι Οὗτός ἐστιν, ἄλλοι δὲ ὅτι Ὅ- 9
μοιος αὐτῷ ἐστιν. ἐκεῖνος ἔλεγεν ὅτι Ἐγώ εἰμι. ἔλεγον οὖν 10
αὐτῷ, Πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί· ἀπεκρίθη ἐκεῖνος 11
καὶ εἶπεν, Ἄνθρωπος λεγόμενος Ἰησοῦς πηλὸν ἐποίησε, καὶ
ἐπέχρισέ μου τοὺς ὀφθαλμούς, καὶ εἶπέ μοι, Ὕπαγε εἰς τὴν
κολυμβήθραν τοῦ Σιλωάμ, καὶ νίψαι. ἀπελθὼν δὲ καὶ νιψάμε-
νος, ἀνέβλεψα. εἶπον οὖν αὐτῷ, Ποῦ ἐστιν ἐκεῖνος· λέγει, Οὐκ 12
οἶδα. Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τόν ποτε τυφλόν. 13
ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν 14

---

v.2 καί[c] ἐρωτάω[viaa3p] αὐτός[rpams] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] λέγω[vppanmp] ῥαββί[th] τίς[rqnms] ἁμαρτάνω[viaa3s] οὗτος[rdnms] ἤ[xo] ὁ[dnmp] γονεύς[nnmp] αὐτός[rpgms] ἵνα[c] τυφλός[anmsn] γεννάω[vsap3s]. **v.3** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] οὔτε[c] οὗτος[rdnms] ἁμαρτάνω[viaa3s] οὔτε[c] ὁ[dnmp] γονεύς[nnmp] αὐτός[rpgms] ἀλλά[c] ἵνα[c] φανερόω[vsap3s] ὁ[dnnp] ἔργον[nnnp] ὁ[dgms] θεός[ngms] ἐν[p] αὐτός[rpdms]. **v.4** ἐγώ[rpa-s] δεῖ[vipq3s] ἐργάζομαι[vnpn] ὁ[danp] ἔργον[nanp] ὁ[dgms] πέμπω[vpaagms] ἐγώ[rpa-s] ἕως[c] ἡμέρα[nnfs] εἰμί[vipx3s] ἔρχομαι[vipn3s] νύξ[nnfs] ὅτε[bo] οὐδείς[anfsn] δύναμαι[vipn3s] ἐργάζομαι[vnpn]. **v.5** ὅταν[c] ἐν[p] ὁ[ddms] κόσμος[ndms] εἰμί[vspx1s] φῶς[nnns] εἰμί[vipx1s] ὁ[dgms] κόσμος[ngms]. **v.6** οὗτος[rdanp] λέγω[vpaanms] πτύω[viaa3s] χαμαί[bo] καί[c] ποιέω[viaa3s] πηλός[nams] ἐκ[p] ὁ[dgns] πτύσμα[ngns] καί[c] ἐπιχρίω[viaa3s] ὁ[dams] πηλός[nams] ἐπί[p] ὁ[damp] ὀφθαλμός[namp] ὁ[dgms] τυφλός[agmsn]. **v.7** καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ὑπάγω[vdpa2s] νίπτω[vdam2s] εἰς[p] ὁ[dafs] κολυμβήθρα[nafs] ὁ[dgms] Σιλωάμ[tp] ὅς[rrnns] ἑρμηνεύω[vipp3s] ἀποστέλλω[vpxpnms] ἀπέρχομαι[viaa3s] οὖν[c] καί[c] νίπτω[viam3s] καί[c] ἔρχομαι[viaa3s] βλέπω[vppanms]. **v.8** ὁ[dnmp] οὖν[c] γείτων[nnmp] καί[c] ὁ[dnmp] θεωρέω[vppanmp] αὐτός[rpams] ὁ[dans] πρότερος[aansn] ὅτι[c] τυφλός[anmsn] εἰμί[viix3s] λέγω[viia3p] οὐ[xo] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] κάθημαι[vppnnms] καί[c] προσαιτέω[vppanms]. **v.9** ἄλλος[anmpn] λέγω[viia3p] ὅτι[c] οὗτος[rdnms] εἰμί[vipx3s] ἄλλος[anmpn] δέ[c] ὅτι[c] ὅμοιος[anmsn] αὐτός[rpdms] εἰμί[vipx3s] ἐκεῖνος[rdnms] λέγω[viia3s] ὅτι[c] ἐγώ[rpn-s] εἰμί[vipx1s]. **v.10** λέγω[viia3p] οὖν[c] αὐτός[rpdms] πῶς[bo] ἀνοίγω[viap3p] σύ[rpg-s] ὁ[dnmp] ὀφθαλμός[nnmp]. **v.11** ἀποκρίνομαι[viad3s] ἐκεῖνος[rdnms] καί[c] λέγω[viaa3s] ἄνθρωπος[nnms] λέγω[vpppnms] Ἰησοῦς[nnms] πηλός[nams] ποιέω[viaa3s] καί[c] ἐπιχρίω[viaa3s] ἐγώ[rpg-s] ὁ[damp] ὀφθαλμός[namp] καί[c] λέγω[viaa3s] ἐγώ[rpd-s] ὑπάγω[vdpa2s] εἰς[p] ὁ[dafs] κολυμβήθρα[nafs] ὁ[dgms] Σιλωάμ[tp] καί[c] νίπτω[vdam2s] ἀπέρχομαι[vpaanms] δέ[c] καί[c] νίπτω[vpamnms] ἀναβλέπω[viaa1s]. **v.12** λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] ποῦ[xo] εἰμί[vipx3s] ἐκεῖνος[rdnms] λέγω[vipa3s] οὐ[xo] οἶδα[vixa1s]. **v.13** ἄγω[vipa3p] αὐτός[rpams] πρός[p] ὁ[damp] Φαρισαῖος[namp] ὁ[dams] ποτέ[xo] τυφλός[aamsn].

15 αὐτοῦ τοὺς ὀφθαλμούς. πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φα-
ρισαῖοι, πῶς ἀνέβλεψεν. ὁ δὲ εἶπεν αὐτοῖς, Πηλὸν ἐπέθηκεν
16 ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἐνιψάμην, καὶ βλέπω. ἔλεγον
οὖν ἐκ τῶν Φαρισαίων τινές, Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ
τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι ἔλεγον, Πῶς δύνα-
ται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν· καὶ σχίσμα
17 ἦν ἐν αὐτοῖς. λέγουσι τῷ τυφλῷ πάλιν, Σὺ τί λέγεις περὶ αὐ-
τοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς· ὁ δὲ εἶπεν ὅτι Προφήτης
18 ἐστίν. οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς
ἦν καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ
19 ἀναβλέψαντος, καὶ ἠρώτησαν αὐτοὺς λέγοντες, Οὗτός ἐστιν ὁ
υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη· πῶς οὖν ἄρτι
20 βλέπει· ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ καὶ εἶπον, Οἴδα-
21 μεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη, πῶς
δὲ νῦν βλέπει, οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλ-
μούς, ἡμεῖς οὐκ οἴδαμεν, αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε,
22 αὐτὸς περὶ αὐτοῦ λαλήσει. ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι
ἐφοβοῦντο τοὺς Ἰουδαίους, ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι,
ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγος γένηται.
23 διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον ὅτι Ἡλικίαν ἔχει, αὐτὸν ἐρωτή-
24 σατε. ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλός,

---

v.14 εἰμί[viix3s] δέ[c] σάββατον[nnns] ὅτε[bo] ὁ[dams] πηλός[nams] ποιέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἀνοίγω[viaa3s] αὐτός[rpgms] ὁ[damp] ὀφθαλμός[namp]. **v.15** πάλιν[bo] οὖν[c] ἐρωτάω[viia3p] αὐτός[rpams] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] πῶς[bo] ἀναβλέπω[viaa3s] ὁ[dnms] δέ[c] λέγω[viaa3s] αὐτός[rpdmp] πηλός[nams] ἐπιτίθημι[viaa3s] ἐπί[p] ὁ[damp] ὀφθαλμός[namp] ἐγώ[rpg-s] καί[c] νίπτω[viam1s] καί[c] βλέπω[vipa1s]. **v.16** λέγω[viia3p] οὖν[c] ἐκ[p] ὁ[dgmp] Φαρισαῖος[ngmp] τι-σρινμπ οὗτος[rdnms] ὁ[dnms] ἄνθρωπος[nnms] οὐ[xo] εἰμί[vipx3s] παρά[p] ὁ[dgms] θεός[ngms] ὅτι[c] ὁ[dans] σάββατον[nans] οὐ[xo] τηρέω[vipa3s] ἄλλος[anmpn] λέγω[viia3p] πῶς[bo] δύναμαι[vipn3s] ἄνθρωπος[nnms] ἁμαρτωλός[anmsn] τοιοῦτος[rdanp] σημεῖον[nanp] ποιέω[vnpa] καί[c] σχίσμα[nnns] εἰμί[viix3s] ἐν[p] αὐτός[rpdmp]. **v.17** λέγω[vipa3p] ὁ[ddms] τυφλός[admsn] πάλιν[bo] σύ[rpn-s] τίς[rqans] λέγω[vipa2s] περί[p] αὐτός[rpgms] ὅτι[c] ἀνοίγω[viaa3s] σύ[rpg-s] ὁ[damp] ὀφθαλμός[namp] ὁ[dnms] δέ[c] λέγω[viaa3s] ὅτι[c] προφήτης[nnms] εἰμί[vipx3s]. **v.18** οὐ[xo] πιστεύω[viaa3p] οὖν[c] ὁ[dnmp] Ἰουδαῖος[anmpn] περί[p] αὐτός[rpgms] ὅτι[c] τυφλός[anmsn] εἰμί[viix3s] καί[c] ἀναβλέπω[viaa3s] ἕως[c] ὅστις[rrgns] φωνέω[viaa3p] ὁ[damp] γονεύς[namp] αὐτός[rpgms] ὁ[dgms] ἀναβλέπω[vpaagms]. **v.19** καί[c] ἐρωτάω[viaa3p] αὐτός[rpamp] λέγω[vppanmp] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] σύ[rpg-p] ὅς[rrams] σύ[rpn-p] λέγω[vipa2p] ὅτι[c] τυφλός[anmsn] γεννάω[viap3s] πῶς[bo] οὖν[c] ἄρτι[bo] βλέπω[vipa3s]. **v.20** ἀποκρίνομαι[viad3p] αὐτός[rpdmp] ὁ[dnmp] γονεύς[nnmp] αὐτός[rpgms] καί[c] λέγω[viaa3p] οἶδα[vixa1p] ὅτι[c] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-p] καί[c] ὅτι[c] τυφλός[anmsn] γεννάω[viap3s]. **v.21** πῶς[bo] δέ[c] νῦν[bo] βλέπω[vipa3s] οὐ[xo] οἶδα[vixa1p] ἤ[xo] τίς[rqnms] ἀνοίγω[viaa3s] αὐτός[rpgms] ὁ[damp] ὀφθαλμός[namp] ἐγώ[rpn-p] οὐ[xo] οἶδα[vixa1p] αὐτός[rpnms] ἡλικία[nafs] ἔχω[vipa3s] αὐτός[rpams] ἐρωτάω[vdaa2p] αὐτός[rpnms] περί[p] αὐτός[rpgms] λαλέω[vifa3s]. **v.22** οὗτος[rdanp] λέγω[viaa3p] ὁ[dnmp] γονεύς[nnmp] αὐτός[rpgms] ὅτι[c] φοβέομαι[viin3p] ὁ[damp] Ἰουδαῖος[aampn] ἤδη[bo] γάρ[c] συντίθημι[viym3p] ὁ[dnmp] Ἰουδαῖος[anmpn] ἵνα[c] ἐάν[qo] τι-σρινμσ αὐτός[rpams] ὁμολογέω[vsaa3s] Χριστός[nams] ἀποσυνάγωγος[anmsn] γίνομαι[vsad3s]. **v.23** διά[p] οὗτος[rdans] ὁ[dnmp] γονεύς[nnmp] αὐτός[rpgms] λέγω[viaa3p] ὅτι[c] ἡλικία[nafs] ἔχω[vipa3s] αὐτός[rpams] ἐρωτάω[vdaa2p].

καὶ εἶπον αὐτῷ, Δὸς δόξαν τῷ θεῷ, ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρω-
πος οὗτος ἁμαρτωλός ἐστιν. ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν, 25
Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα, ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι
βλέπω. εἶπον δὲ αὐτῷ πάλιν, Τί ἐποίησέ σοι· πῶς ἤνοιξέ σου 26
τοὺς ὀφθαλμούς· ἀπεκρίθη αὐτοῖς, Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ 27
ἠκούσατε, τί πάλιν θέλετε ἀκούειν· μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ
μαθηταὶ γενέσθαι· ἐλοιδόρησαν οὖν αὐτόν, καὶ εἶπον, Σὺ εἶ 28
μαθητὴς ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί. ἡμεῖς 29
οἴδαμεν ὅτι Μωσῇ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν
πόθεν ἐστίν. ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς, Ἐν γὰρ 30
τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστί, καὶ ἀ-
νέῳξέ μου τοὺς ὀφθαλμούς. οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς 31
οὐκ ἀκούει, ἀλλ᾽ ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποι-
ῇ, τούτου ἀκούει. ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις 32
ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. εἰ μὴ ἦν οὗτος παρὰ Θε- 33
οῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, 34
Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς· καὶ
ἐξέβαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν 35
ἔξω, καὶ εὑρὼν αὐτόν, εἶπεν, αὐτῷ Σὺ πιστεύεις εἰς τὸν υἱὸν
τοῦ Θεοῦ· ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε, Τίς ἐστι, Κύριε, ἵνα πι- 36

---

v.24 φωνέω[viaa3p] οὖν[c] ἐκ[p] δεύτερος[agnsn] ὁ[dams] ἄνθρωπος[nams] ὅς[rrnms] εἰμί[viix3s] τυφλός[anmsn] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] δίδωμι[vdaa2s] δόξα[nafs] ὁ[ddms] θεός[ndms] ἐγώ[rpn-p] οἶδα[vixa1p] ὅτι[c] ὁ[dnms] ἄνθρωπος[nnms] οὗτος[rdnms] ἁμαρτωλός[anmsn] εἰμί[vipx3s]. **v.25** ἀποκρίνομαι[viad3s] οὖν[c] ἐκεῖνος[rdnms] καί[c] λέγω[viaa3s] εἰ[qo] ἁμαρτωλός[anmsn] εἰμί[vipx3s] οὐ[xo] οἶδα[vixa1s] εἷς[nans] οἶδα[vixa1s] ὅτι[c] τυφλός[anmsn] εἰμί[vppxnms] ἄρτι[bo] βλέπω[vipa1s]. **v.26** λέγω[viaa3p] δέ[c] αὐτός[rpdms] πάλιν[bo] τίς[rqans] ποιέω[viaa3s] σύ[rpd-s] πῶς[bo] ἀνοίγω[viaa3s] σύ[rpg-s] ὁ[damp] ὀφθαλμός[namp]. **v.27** ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] λέγω[viaa1s] σύ[rpd-p] ἤδη[bo] καί[c] οὐ[xo] ἀκούω[viaa2p] τίς[rqans] πάλιν[bo] θέλω[vipa2p] ἀκούω[vnpa] μή[xo] καί[c] σύ[rpn-p] θέλω[vipa2p] αὐτός[rpgms] μαθητής[nnmp] γίνομαι[vnad]. **v.28** λοιδορέω[viaa3p] οὖν[c] αὐτός[rpams] καί[c] λέγω[viaa3p] σύ[rpn-s] εἰμί[vipx2s] μαθητής[nnms] ἐκεῖνος[rdgms] ἐγώ[rpn-p] δέ[c] ὁ[dgms] Μωϋσῆς[ngms] εἰμί[vipx1p] μαθητής[nnmp]. **v.29** ἐγώ[rpn-p] οἶδα[vixa1p] ὅτι[c] Μωϋσῆς[ndms] λαλέω[vixa3s] ὁ[dnms] θεός[nnms] οὗτος[rdams] δέ[c] οὐ[xo] οἶδα[vixa1p] πόθεν[bo] εἰμί[vipx3s]. **v.30** ἀποκρίνομαι[viad3s] ὁ[dnms] ἄνθρωπος[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ἐν[p] γάρ[c] οὗτος[rddns] θαυμαστός[annsn] εἰμί[vipx3s] ὅτι[c] σύ[rpn-p] οὐ[xo] οἶδα[vixa2p] πόθεν[bo] εἰμί[vipx3s] καί[c] ἀνοίγω[viaa3s] ἐγώ[rpg-s] ὁ[damp] ὀφθαλμός[namp]. **v.31** οἶδα[vixa1p] δέ[c] ὅτι[c] ἁμαρτωλός[agmpn] ὁ[dnms] θεός[nnms] οὐ[xo] ἀκούω[vipa3s] ἀλλά[c] ἐάν[qo] τι-σρινμσ θεοσεβής[anmsn] εἰμί[vspx3s] καί[c] ὁ[dans] θέλημα[nans] αὐτός[rpgms] ποιέω[vspa3s] οὗτος[rdgms] ἀκούω[vipa3s]. **v.32** ἐκ[p] ὁ[dgms] αἰών[ngms] οὐ[xo] ἀκούω[viap3s] ὅτι[c] ἀνοίγω[viaa3s] τι-σρινμσ ὀφθαλμός[namp] τυφλός[agmsn] γεννάω[vpxpgms]. **v.33** εἰ[qo] μή[xo] εἰμί[viix3s] οὗτος[rdnms] παρά[p] θεός[ngms] οὐ[xo] δύναμαι[viin3s] ποιέω[vnpa] οὐδείς[aansn]. **v.34** ἀποκρίνομαι[viad3p] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] ἐν[p] ἁμαρτία[ndfp] σύ[rpn-s] γεννάω[viap2s] ὅλος[anmsn] καί[c] σύ[rpn-s] διδάσκω[vipa2s] ἐγώ[rpa-p] καί[c] ἐκβάλλω[viaa3p] αὐτός[rpams] ἔξω[bo]. **v.35** ἀκούω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] ἐκβάλλω[viaa3p] αὐτός[rpams] ἔξω[bo] καί[c] εὑρίσκω[vpaanms] αὐτός[rpams] λέγω[viaa3s] αὐτός[rpdms] σύ[rpn-s] πιστεύω[vipa2s] εἰς[p] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms].

37 στεύσω εἰς αὐτόν· εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, Καὶ ἑώρακας αὐτόν,
38 καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁ δὲ ἔφη, Πιστεύω, Κύ-
39 ριε, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα
ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι,
40 καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. καὶ ἤκουσαν ἐκ τῶν Φαρι-
σαίων ταῦτα οἱ ὄντες μετ᾽ αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς
41 τυφλοί ἐσμεν· εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν
εἴχετε ἁμαρτίαν, νῦν δὲ λέγετε ὅτι Βλέπομεν, ἡ οὖν ἁμαρτία
ὑμῶν μένει.
10 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς
τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος
2 κλέπτης ἐστὶ καὶ λῃστής. ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας
3 ποιμήν ἐστι τῶν προβάτων. τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ
πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ
4 κατ᾽ ὄνομα, καὶ ἐξάγει αὐτά. καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ,
ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ,
5 ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσω-
σιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων
6 τὴν φωνήν. ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἐ-
7 κεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν
πάλιν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι Ἐγώ εἰμι ἡ

---

v.36 ἀποκρίνομαι[viad3s] ἐκεῖνος[rdnms] καί[c] λέγω[viaa3s] τίς[rqnms] εἰμί[vipx3s] κύριος[nvms] ἵνα[c] πιστεύω[vsaa1s] εἰς[p] αὐτός[rpams]. **v.37** λέγω[viaa3s] δέ[c] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ὁράω[vixa2s] αὐτός[rpams] καί[c] ὁ[dnms] λαλέω[vppanms] μετά[p] σύ[rpg-s] ἐκεῖνος[rdnms] εἰμί[vipx3s]. **v.38** ὁ[dnms] δέ[c] φημί[viix3s] πιστεύω[vipa1s] κύριος[nvms] καί[c] προσκυνέω[viaa3s] αὐτός[rpdms]. **v.39** καί[c] λέγω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] εἰς[p] κρίμα[nans] ἐγώ[rpn-s] εἰς[p] ὁ[dams] κόσμος[nams] οὗτος[rdams] ἔρχομαι[viaa1s] ἵνα[c] ὁ[dnmp] μή[xo] βλέπω[vppanmp] βλέπω[vspa3p] καί[c] ὁ[dnmp] βλέπω[vppanmp] τυφλός[anmpn] γίνομαι[vsad3p]. **v.40** καί[c] ἀκούω[viaa3p] ἐκ[p] ὁ[dgmp] Φαρισαῖος[ngmp] οὗτος[rdanp] ὁ[dnmp] εἰμί[vppxnmp] μετά[p] αὐτός[rpgms] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] μή[xo] καί[c] ἐγώ[rpn-p] τυφλός[anmpn] εἰμί[vipx1p]. **v.41** λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] εἰ[qo] τυφλός[anmpn] εἰμί[viix2p] οὐ[xo] ἄν[xo] ἔχω[viia2p] ἁμαρτία[nafs] νῦν[bo] δέ[c] λέγω[vipa2p] ὅτι[c] βλέπω[vipa1p] ὁ[dnfs] οὖν[c] ἁμαρτία[nnfs] σύ[rpg-p] μένω[vipa3s]. **10. v.1** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὁ[dnms] μή[xo] εἰσέρχομαι[vppnnms] διά[p] ὁ[dgfs] θύρα[ngfs] εἰς[p] ὁ[dafs] αὐλή[nafs] ὁ[dgnp] πρόβατον[ngnp] ἀλλά[c] ἀναβαίνω[vppanms] ἀλλαχόθεν[bo] ἐκεῖνος[rdnms] κλέπτης[nnms] εἰμί[vipx3s] καί[c] λῃστής[nnms]. **v.2** ὁ[dnms] δέ[c] εἰσέρχομαι[vppnnms] διά[p] ὁ[dgfs] θύρα[ngfs] ποιμήν[nnms] εἰμί[vipx3s] ὁ[dgnp] πρόβατον[ngnp]. **v.3** οὗτος[rddms] ὁ[dnms] θυρωρός[nnms] ἀνοίγω[vipa3s] καί[c] ὁ[dnnp] πρόβατον[nnnp] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms] ἀκούω[vipa3s] καί[c] ὁ[danp] ἴδιος[aanpn] πρόβατον[nanp] καλέω[vipa3s] κατά[p] ὄνομα[nans] καί[c] ἐξάγω[vipa3s] αὐτός[rpanp]. **v.4** καί[c] ὅταν[c] ὁ[danp] ἴδιος[aanpn] πρόβατον[nanp] ἐκβάλλω[vsaa3s] ἔμπροσθεν[p] αὐτός[rpgnp] πορεύομαι[vipn3s] καί[c] ὁ[dnnp] πρόβατον[nnnp] αὐτός[rpdms] ἀκολουθέω[vipa3s] ὅτι[c] οἶδα[vixa3p] ὁ[dafs] φωνή[nafs] αὐτός[rpgms]. **v.5** ἀλλότριος[admsn] δέ[c] οὐ[xo] μή[xo] ἀκολουθέω[vsaa3p] ἀλλά[c] φεύγω[vifd3p] ἀπό[p] αὐτός[rpgms] ὅτι[c] οὐ[xo] οἶδα[vixa3p] ὁ[dgmp] ἀλλότριος[agmpn] ὁ[dafs] φωνή[nafs]. **v.6** οὗτος[rdafs] ὁ[dafs] παροιμία[nafs] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἐκεῖνος[rdnmp] δέ[c] οὐ[xo] γινώσκω[viaa3p] τίς[rqnnp] εἰμί[viix3s] ὅς[rranp] λαλέω[viia3s] αὐτός[rpdmp].

θύρα τῶν προβάτων. πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον κλέπται εἰ- 8
σὶ καὶ λῃσταί, ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. ἐγώ εἰμι 9
ἡ θύρα, δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται
καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται 10
εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ, ἐγὼ ἦλθον ἵνα ζωὴν
ἔχωσι, καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, ὁ 11
ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων.
ὁ μισθωτὸς δέ, καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα 12
ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ
φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτά, καὶ σκορπίζει τὰ πρόβατα.
ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ 13
περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω 14
τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. καθὼς γινώσκει με ὁ 15
πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι
ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ 16
τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου
ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. διὰ τοῦτο 17
ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν
λάβω αὐτήν. οὐδεὶς αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐ- 18
τὴν ἀπ᾽ ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω
πάλιν λαβεῖν αὐτήν. ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πα-

---

v.7 λέγω[viaa3s] οὖν[c] πάλιν[bo] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnfs] θύρα[nnfs] ὁ[dgnp] πρόβατον[ngnp]. **v.8** πᾶς[anmpn] ὅσος[rcnmp] πρό[p] ἐγώ[rpg-s] ἔρχομαι[viaa3p] κλέπτης[nnmp] εἰμί[vipx3p] καί[c] λῃστής[nnmp] ἀλλά[c] οὐ[xo] ἀκούω[viaa3p] αὐτός[rpgmp] ὁ[dnnp] πρόβατον[nnnp]. **v.9** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnfs] θύρα[nnfs] διά[p] ἐγώ[rpg-s] ἐάν[qo] τι-σρινμσ εἰσέρχομαι[vsaa3s] σῴζω[vifp3s] καί[c] εἰσέρχομαι[vifd3s] καί[c] ἐξέρχομαι[vifd3s] καί[c] νομή[nafs] εὑρίσκω[vifa3s]. **v.10** ὁ[dnms] κλέπτης[nnms] οὐ[xo] ἔρχομαι[vipn3s] εἰ[qo] μή[xo] ἵνα[c] κλέπτω[vsaa3s] καί[c] θύω[vsaa3s] καί[c] ἀπόλλυμι[vsaa3s] ἐγώ[rpn-s] ἔρχομαι[viaa1s] ἵνα[c] ζωή[nafs] ἔχω[vspa3p] καί[c] περισσός[aansn] ἔχω[vspa3p]. **v.11** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnms] ποιμήν[nnms] ὁ[dnms] καλός[anmsn] ὁ[dnms] ποιμήν[nnms] ὁ[dnms] καλός[anmsn] ὁ[dafs] ψυχή[nafs] αὐτός[rpgms] τίθημι[vipa3s] ὑπέρ[p] ὁ[dgnp] πρόβατον[ngnp]. **v.12** ὁ[dnms] μισθωτός[nnms] δέ[c] καί[c] οὐ[xo] εἰμί[vppxnms] ποιμήν[nnms] ὅς[rrgms] οὐ[xo] εἰμί[vipx3p] ὁ[dnnp] πρόβατον[nnnp] ἴδιος[annpn] θεωρέω[vipa3s] ὁ[dams] λύκος[nams] ἔρχομαι[vppnams] καί[c] ἀφίημι[vipa3s] ὁ[danp] πρόβατον[nanp] καί[c] φεύγω[vipa3s] καί[c] ὁ[dnms] λύκος[nnms] ἁρπάζω[vipa3s] αὐτός[rpanp] καί[c] σκορπίζω[vipa3s] ὁ[danp] πρόβατον[nanp]. **v.13** ὁ[dnms] δέ[c] μισθωτός[nnms] φεύγω[vipa3s] ὅτι[c] μισθωτός[nnms] εἰμί[vipx3s] καί[c] οὐ[xo] μέλει[vipq3s] αὐτός[rpdms] περί[p] ὁ[dgnp] πρόβατον[ngnp]. **v.14** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnms] ποιμήν[nnms] ὁ[dnms] καλός[anmsn] καί[c] γινώσκω[vipa1s] ὁ[danp] ἐμός[rsanp] καί[c] γινώσκω[vipp1s] ὑπό[p] ὁ[dgnp] ἐμός[rsgnp]. **v.15** καθώς[bo] γινώσκω[vipa3s] ἐγώ[rpa-s] ὁ[dnms] πατήρ[nnms] κἀγώ[rpn-s] γινώσκω[vipa1s] ὁ[dams] πατήρ[nams] καί[c] ὁ[dafs] ψυχή[nafs] ἐγώ[rpg-s] τίθημι[vipa1s] ὑπέρ[p] ὁ[dgnp] πρόβατον[ngnp]. **v.16** καί[c] ἄλλος[aanpn] πρόβατον[nanp] ἔχω[vipa1s] ὅς[rrnnp] οὐ[xo] εἰμί[vipx3s] ἐκ[p] ὁ[dgfs] αὐλή[ngfs] οὗτος[rdgfs] κἀκεῖνος[rdnnp] ἐγώ[rpa-s] δεῖ[vipq3s] ἄγω[vnaa] καί[c] ὁ[dgfs] φωνή[ngfs] ἐγώ[rpg-s] ἀκούω[vifa3p] καί[c] γίνομαι[vifd3s] εἷς[nnfs] ποίμνη[nnfs] εἷς[nnms] ποιμήν[nnms]. **v.17** διά[p] οὗτος[rdans] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpa-s] ἀγαπάω[vipa3s] ὅτι[c] ἐγώ[rpn-s] τίθημι[vipa1s] ὁ[dafs] ψυχή[nafs] ἐγώ[rpg-s] ἵνα[c] πάλιν[bo] λαμβάνω[vsaa1s] αὐτός[rpafs].

19 τρός μου. Σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς
20 λόγους τούτους. ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν, Δαιμόνιον ἔχει
21 καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε· ἄλλοι ἔλεγον, Ταῦτα τὰ ῥή-
ματα οὐκ ἔστι δαιμονιζομένου, μὴ δαιμόνιον δύναται τυφλῶν
22 ὀφθαλμοὺς ἀνοίγειν· Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν τοῖς Ἱεροσο-
23 λύμοις, καὶ χειμὼν ἦν, καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν
24 τῇ στοᾷ τοῦ Σολομῶντος. ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι,
καὶ ἔλεγον αὐτῷ, Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις· εἰ σὺ εἶ
25 ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς,
Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι
26 τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ, ἀλλ᾽ ὑμεῖς οὐ πι-
στεύετε, οὐ γάρ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον
27 ὑμῖν. τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώ-
28 σκω αὐτά, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι
αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει
29 τις αὐτὰ ἐκ τῆς χειρός μου. ὁ πατήρ μου ὃς δέδωκέ μοι, μεῖ-
ζών πάντων ἐστί, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ
30, 31 πατρός μου. ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ἐβάστασαν οὖν πά-
32 λιν λίθους οἱ Ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν. ἀπεκρίθη αὐτοῖς
ὁ Ἰησοῦς, Πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου,

---

v.18 οὐδείς[anfsn] αἴρω[vipa3s] αὐτός[rpafs] ἀπό[p] ἐγώ[rpg-s] ἀλλά[c] ἐγώ[rpn-s] τίθημι[vipa1s] αὐτός[rpafs] ἀπό[p] ἐμαυτοῦ[rxgms] ἐξουσία[nafs] ἔχω[vipa1s] τίθημι[vnaa] αὐτός[rpafs] καί[c] ἐξουσία[nafs] ἔχω[vipa1s] πάλιν[bo] λαμβάνω[vnaa] αὐτός[rpafs] οὗτος[rdafs] ὁ[dafs] ἐντολή[nafs] λαμβάνω[viaa1s] παρά[p] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s]. **v.19** σχίσμα[nnns] οὖν[c] πάλιν[bo] γίνομαι[viad3s] ἐν[p] ὁ[ddmp] Ἰουδαῖος[admpn] διά[p] ὁ[damp] λόγος[namp] οὗτος[rdamp]. **v.20** λέγω[viia3p] δέ[c] πολύς[anmpn] ἐκ[p] αὐτός[rpgmp] δαιμόνιον[nans] ἔχω[vipa3s] καί[c] μαίνομαι[vipn3s] τίς[rqans] αὐτός[rpgms] ἀκούω[vipa2p]. **v.21** ἄλλος[anmpn] λέγω[viia3p] οὗτος[rdnnp] ὁ[dnnp] ῥῆμα[nnnp] οὐ[xo] εἰμί[vipx3s] δαιμονίζομαι[vppngms] μή[xo] δαιμόνιον[nnns] δύναμαι[vipn3s] τυφλός[agmpn] ὀφθαλμός[namp] ἀνοίγω[vnpa]. **v.22** γίνομαι[viad3s] δέ[c] ὁ[dnnp] ἐγκαίνια[nnnp] ἐν[p] ὁ[ddnp] Ἱεροσόλυμα[ndnp] καί[c] χειμών[nnms] εἰμί[viix3s]. **v.23** καί[c] περιπατέω[viia3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] ἐν[p] ὁ[ddfs] στοά[ndfs] ὁ[dgms] Σολομών[ngms]. **v.24** κυκλόω[viaa3p] οὖν[c] αὐτός[rpams] ὁ[dnmp] Ἰουδαῖος[anmpn] καί[c] λέγω[viia3p] αὐτός[rpdms] ἕως[c] πότε[xo] ὁ[dafs] ψυχή[nafs] ἐγώ[rpg-p] αἴρω[vipa2s] εἰ[qo] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] Χριστός[nnms] λέγω[vdaa2s] ἐγώ[rpd-p] παρρησία[ndfs]. **v.25** ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa1s] σύ[rpd-p] καί[c] οὐ[xo] πιστεύω[vipa2p] ὁ[dnnp] ἔργον[nnnp] ὅς[rranp] ἐγώ[rpn-s] ποιέω[vipa1s] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] οὗτος[rdnnp] μαρτυρέω[vipa3s] περί[p] ἐγώ[rpg-s]. **v.26** ἀλλά[c] σύ[rpn-p] οὐ[xo] πιστεύω[vipa2p] ὅς[xo] γάρ[c] εἰμί[vipx2p] ἐκ[p] ὁ[dgnp] πρόβατον[ngnp] ὁ[dgnp] ἐμός[rsgnp] καθώς[bo] λέγω[viaa1s] σύ[rpd-p]. **v.27** ὁ[dnnp] πρόβατον[nnnp] ὁ[dnnp] ἐμός[rsnnp] ὁ[dgfs] φωνή[ngfs] ἐγώ[rpg-s] ἀκούω[vipa3s] κἀγώ[rpn-s] γινώσκω[vipa1s] αὐτός[rpanp] καί[c] ἀκολουθέω[vipa3p] ἐγώ[rpd-s]. **v.28** κἀγώ[rpn-s] ζωή[nafs] αἰώνιος[aafsn] δίδωμι[vipa1s] αὐτός[rpdmp] καί[c] οὐ[xo] μή[xo] ἀπόλλυμι[vsam3p] εἰς[p] ὁ[dams] αἰών[nams] καί[c] οὐ[xo] ἁρπάζω[vifa3s] τι-σριnμσ αὐτός[rpanp] ἐκ[p] ὁ[dgfs] χείρ[ngfs] ἐγώ[rpg-s]. **v.29** ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ὅς[rrnms] δίδωμι[vixa3s] ἐγώ[rpd-s] μέγας[anmsc] πᾶς[agmpn] εἰμί[vipx3s] καί[c] οὐδείς[anfsn] δύναμαι[vipn3s] ἁρπάζω[vnpa] ἐκ[p] ὁ[dgfs] χείρ[ngfs] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s]. **v.30** ἐγώ[rpn-s] καί[c] ὁ[dnms] πατήρ[nnms] εἷς[nnns] εἰμί[vipx1p]. **v.31** βαστάζω[viaa3p] οὖν[c] πάλιν[bo] λίθος[namp] ὁ[dnmp] Ἰουδαῖος[anmpn] ἵνα[c] λιθάζω[vsaa3p] αὐτός[rpams].

διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με· ἀπεκρίθησαν αὐτῷ οἱ Ἰου- 33
δαῖοι λέγοντες, Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ
βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν. ἀ- 34
πεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ
ὑμῶν, Ἐγὼ εἶπα, θεοί ἐστε· εἰ ἐκείνους εἶπε θεούς, πρὸς οὓς 35
ὁ λόγος τοῦ Θεοῦ ἐγένετο καὶ οὐ δύναται λυθῆναι ἡ γραφή,
ὃν ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε 36
ὅτι Βλασφημεῖς, ὅτι εἶπον, Υἱὸς τοῦ Θεοῦ εἰμι· εἰ οὐ ποιῶ τὰ 37
ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι, εἰ δὲ ποιῶ, κἂν ἐμοὶ 38
μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε καὶ πιστεύσητε
ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ. ἐζήτουν οὖν πάλιν αὐτὸν 39
πιάσαι, καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν. Καὶ ἀπῆλθε πάλιν 40
πέραν τοῦ Ἰορδάνου εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον
βαπτίζων, καὶ ἔμεινεν ἐκεῖ. καὶ πολλοὶ ἦλθον πρὸς αὐτόν, καὶ 41
ἔλεγον ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν, πάντα δὲ ὅσα
εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν. καὶ ἐπίστευσαν πολλοὶ 42
ἐκεῖ εἰς αὐτόν.

Ἦν δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης **11**
Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. ἦν δὲ Μαρία ἡ ἀλεί- 2
ψασα τὸν Κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς

---

v.32 ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] πολύς[aanpn] καλός[aanpn] ἔργον[nanp] δείκνυμι[viaa1s] σύ[rpd-p] ἐκ[p] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] διά[p] ποῖος[rqans] αὐτός[rpgnp] ἔργον[nans] λιθάζω[vipa2p] ἐγώ[rpa-s]. **v.33** ἀποκρίνομαι[viad3p] αὐτός[rpdms] ὁ[dnmp] Ἰουδαῖος[anmpn] λέγω[vppanmp] περί[p] καλός[agnsn] ἔργον[ngns] οὐ[xo] λιθάζω[vipa1p] σύ[rpa-s] ἀλλά[c] περί[p] βλασφημία[ngfs] καί[c] ὅτι[c] σύ[rpn-s] ἄνθρωπος[nnms] εἰμί[vppxnms] ποιέω[vipa2s] σεαυτοῦ[rxams] θεός[nams]. **v.34** ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] οὐ[xo] εἰμί[vipx3s] γράφω[vpxpnns] ἐν[p] ὁ[ddms] νόμος[ndms] σύ[rpg-p] ἐγώ[rpn-s] λέγω[viaa1s] θεός[nnmp] εἰμί[vipx2p]. **v.35** εἰ[qo] ἐκεῖνος[rdamp] λέγω[viaa3s] θεός[namp] πρός[p] ὅς[rramp] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] θεός[ngms] γίνομαι[viad3s] καί[c] οὐ[xo] δύναμαι[vipn3s] λύω[vnap] ὁ[dnfs] γραφή[nnfs]. **v.36** ὅς[rrams] ὁ[dnms] πατήρ[nnms] ἁγιάζω[viaa3s] καί[c] ἀποστέλλω[viaa3s] εἰς[p] ὁ[dams] κόσμος[nams] σύ[rpn-p] λέγω[vipa2p] ὅτι[c] βλασφημέω[vipa2s] ὅτι[c] λέγω[viaa1s] υἱός[nnms] ὁ[dgms] θεός[ngms] εἰμί[vipx1s]. **v.37** εἰ[qo] οὐ[xo] ποιέω[vipa1s] ὁ[danp] ἔργον[nanp] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] μή[xo] πιστεύω[vdpa2p] ἐγώ[rpd-s]. **v.38** εἰ[qo] δέ[c] ποιέω[vipa1s] κἄν[qo] ἐγώ[rpd-s] μή[xo] πιστεύω[vspa2p] ὁ[ddnp] ἔργον[ndnp] πιστεύω[vdaa2p] ἵνα[c] γινώσκω[vsaa2p] καί[c] πιστεύω[vsaa2p] ὅτι[c] ἐν[p] ἐγώ[rpd-s] ὁ[dnms] πατήρ[nnms] κἀγώ[rpn-s] ἐν[p] αὐτός[rpdms]. **v.39** ζητέω[viia3p] οὖν[c] πάλιν[bo] αὐτός[rpams] πιάζω[vnaa] καί[c] ἐξέρχομαι[viaa3s] ἐκ[p] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgmp]. **v.40** καί[c] ἀπέρχομαι[viaa3s] πάλιν[bo] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms] εἰς[p] ὁ[dams] τόπος[nams] ὅπου[bo] εἰμί[viix3s] Ἰωάννης[nnms] ὁ[dnns] πρῶτος[annsn] βαπτίζω[vppanms] καί[c] μένω[viaa3s] ἐκεῖ[bo]. **v.41** καί[c] πολύς[anmpn] ἔρχομαι[viaa3p] πρός[p] αὐτός[rpams] καί[c] λέγω[viia3p] ὅτι[c] Ἰωάννης[nnms] μέν[xo] σημεῖον[nans] ποιέω[viaa3s] οὐδείς[aansn] πᾶς[annpn] δέ[c] ὅσος[rcanp] λέγω[viaa3s] Ἰωάννης[nnms] περί[p] οὗτος[rdgms] ἀληθής[annpn] εἰμί[viix3s]. **v.42** καί[c] πιστεύω[viaa3p] πολύς[anmpn] ἐκεῖ[bo] εἰς[p] αὐτός[rpams]. **11. v.1** εἰμί[viix3s] δέ[c] τι-σρινμσ ἀσθενέω[vppanms] Λάζαρος[nnms] ἀπό[p] Βηθανία[ngfs] ἐκ[p] ὁ[dgfs] κώμη[ngfs] Μαρία[ngfs] καί[c] Μάρθα[ngfs] ὁ[dgfs] ἀδελφή[ngfs] αὐτός[rpgfs].

3 θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. ἀπέστειλαν οὖν
αἱ ἀδελφαὶ πρὸς αὐτὸν λέγουσαι, Κύριε, ἴδε ὃν φιλεῖς ἀσθενεῖ.
4 ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, Αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θά-
νατον, ἀλλ᾽ ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ
5 Θεοῦ δι᾽ αὐτῆς. ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελ-
6 φὴν αὐτῆς καὶ τὸν Λάζαρον. ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε
7 μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. ἔπειτα μετὰ τοῦτο λέγει
8 τοῖς μαθηταῖς, Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. λέγουσιν αὐ-
τῷ οἱ μαθηταί, Ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ
9 πάλιν ὑπάγεις ἐκεῖ· ἀπεκρίθη ὁ Ἰησοῦς, Οὐχὶ δώδεκα εἰσιν ὧ-
ραι τῆς ἡμέρας· ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει,
10 ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει. ἐὰν δέ τις περιπατῇ ἐν
11 τῇ νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. ταῦτα
εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς, Λάζαρος ὁ φίλος ἡμῶν κε-
12 κοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. εἶπον οὖν οἱ
13 μαθηταὶ αὐτοῦ, Κύριε, εἰ κεκοίμηται, σωθήσεται. εἰρήκει δὲ ὁ
Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ, ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς
14 κοιμήσεως τοῦ ὕπνου λέγει. τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς
15 παρρησίᾳ, Λάζαρος ἀπέθανε. καὶ χαίρω δι᾽ ὑμᾶς, ἵνα πιστεύ-
16 σητε, ὅτι οὐκ ἤμην ἐκεῖ, ἀλλ᾽ ἄγωμεν πρὸς αὐτόν. εἶπεν οὖν

---

κλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί
μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα
27 ἃ εἶπον ὑμῖν. εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι
ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. μὴ τα-
28 ρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. ἠκούσατε ὅτι ἐγὼ
εἶπον ὑμῖν, Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ ἠγαπᾶτέ με,
ἐχάρητε ἂν ὅτι εἶπον, Πορεύομαι πρὸς τὸν πατέρα, ὅτι ὁ πατήρ
29 μου μείζων μού ἐστι. καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα,
30 ὅταν γένηται, πιστεύσητε. οὐκ ἔτι πολλὰ λαλήσω μεθ᾽ ὑμῶν,
ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔ-
31 χει οὐδέν, ἀλλ᾽ ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ
καθὼς ἐνετείλατό μοι ὁ πατήρ, οὕτω ποιῶ. ἐγείρεσθε, ἄγωμεν
ἐντεῦθεν.

15 Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός

---

v.22 λέγω[vipa3s] αὐτός[rpdms] Ἰούδας[nnms] οὐ[xo] ὁ[dnms] Ἰσκαριώθ[nnms] κύριος[nvms] τίς[rqnns] γίνομαι[vixa3s] ὅτι[c] ἐγώ[rpd-p] μέλλω[vipa2s] ἐμφανίζω[vnpa] σεαυτοῦ[rxams] καί[c] οὐχί[xo] ὁ[ddms] κόσμος[ndms]. **v.23** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] ἐάν[qo] τι-σρινμσ ἀγαπάω[vspa3s] ἐγώ[rpa-s] ὁ[dams] λόγος[nams] ἐγώ[rpg-s] τηρέω[vifa3s] καί[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ἀγαπάω[vifa3s] αὐτός[rpams] καί[c] πρός[p] αὐτός[rpams] ἔρχομαι[vifd1p] καί[c] μονή[nafs] παρά[p] αὐτός[rpdms] ποιέω[vifa1p]. **v.24** ὁ[dnms] μή[xo] ἀγαπάω[vppanms] ἐγώ[rpa-s] ὁ[damp] λόγος[namp] ἐγώ[rpg-s] οὐ[xo] τηρέω[vipa3s] καί[c] ὁ[dnms] λόγος[nnms] ὅς[rrams] ἀκούω[vipa2p] οὐ[xo] εἰμί[vipx3s] ἐμός[rsnms] ἀλλά[c] ὁ[dgms] πέμπω[vpaagms] ἐγώ[rpa-s] πατήρ[ngms]. **v.25** οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] παρά[p] σύ[rpd-p] μένω[vppanms]. **v.26** ὁ[dnms] δέ[c] παράκλητος[nnms] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn] ὅς[rrans] πέμπω[vifa3s] ὁ[dnms] πατήρ[nnms] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] ἐκεῖνος[rdnms] σύ[rpa-p] διδάσκω[vifa3s] πᾶς[aanpn] καί[c] ὑπομιμνῄσκω[vifa3s] σύ[rpa-p] πᾶς[aanpn] ὅς[rranp] λέγω[viaa1s] σύ[rpd-p]. **v.27** εἰρήνη[nafs] ἀφίημι[vipa1s] σύ[rpd-p] εἰρήνη[nafs] ὁ[dafs] ἐμός[rsafs] δίδωμι[vipa1s] σύ[rpd-p] οὐ[xo] καθώς[bo] ὁ[dnms] κόσμος[nnms] δίδωμι[vipa3s] ἐγώ[rpn-s] δίδωμι[vipa1s] σύ[rpd-p] μή[xo] ταράσσω[vdpp3s] σύ[rpg-p] ὁ[dnfs] καρδία[nnfs] μηδέ[c] δειλιάω[vdpa3s]. **v.28** ἀκούω[viaa2p] ὅτι[c] ἐγώ[rpn-s] λέγω[viaa1s] σύ[rpd-p] ὑπάγω[vipa1s] καί[c] ἔρχομαι[vipn1s] πρός[p] σύ[rpa-p] εἰ[qo] ἀγαπάω[viia2p] ἐγώ[rpa-s] χαίρω[viao2p] ἄν[xo] ὅτι[c] λέγω[viaa1s] πορεύομαι[vipn1s] πρός[p] ὁ[dams] πατήρ[nams] ὅτι[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] μέγας[anmsc] ἐγώ[rpg-s] εἰμί[vipx3s]. **v.29** καί[c] νῦν[bo] λέγω[vixa1s] σύ[rpd-p] πρίν[bo] γίνομαι[vnad] ἵνα[c] ὅταν[c] γίνομαι[vsad3s] πιστεύω[vsaa2p]. **v.30** οὐ[xo] ἔτι[bo] πολύς[aanpn] λαλέω[vifa1s] μετά[p] σύ[rpg-p] ἔρχομαι[vipn3s] γάρ[c] ὁ[dnms] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] ἄρχων[nnms] καί[c] ἐν[p] ἐγώ[rpd-s] οὐ[xo] ἔχω[vipa3s] οὐδείς[aansn]. **v.31** ἀλλά[c] ἵνα[c] γινώσκω[vsaa3s] ὁ[dnms] κόσμος[nnms] ὅτι[c] ἀγαπάω[vipa1s] ὁ[dams] πατήρ[nams] καί[c] καθώς[bo] ἐντέλλομαι[viad3s] ἐγώ[rpd-s] ὁ[dnms] πατήρ[nnms] οὕτω[bo] ποιέω[vipa1s] ἐγείρω[vdpe2p] ἄγω[vspa1p] ἐντεῦθεν[bo].

ἐστι. πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ 2
πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέ-
ρῃ. ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. 3
μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆμα οὐ δύναται 4
καρπὸν φέρειν ἀφ᾽ ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως
οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς 5
τὰ κλήματα. ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρ-
πὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. ἐὰν μή 6
τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη, καὶ
συνάγουσιν αὐτὰ καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. ἐὰν μεί- 7
νητε ἐν ἐμοί, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε
αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ 8
μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γενήσεσθε ἐμοὶ μαθηταί.
καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς, μείνατε ἐν 9
τῇ ἀγάπῃ τῇ ἐμῇ. ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ 10
ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα,
καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ 11
χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. αὕτη 12
ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα
ὑμᾶς. μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν 13

---

15. **v.1** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnfs] ἄμπελος[nnfs] ὁ[dnfs] ἀληθινός[anfsn] καί[c] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ὁ[dnms] γεωργός[nnms] εἰμί[vipx3s]. **v.2** πᾶς[aansn] κλῆμα[nans] ἐν[p] ἐγώ[rpd-s] μή[xo] φέρω[vppaans] καρπός[nams] αἴρω[vipa3s] αὐτός[rpans] καί[c] πᾶς[aansn] ὁ[dans] καρπός[nams] φέρω[vppaans] καθαίρω[vipa3s] αὐτός[rpans] ἵνα[c] πολύς[aamsc] καρπός[nams] φέρω[vspa3s]. **v.3** ἤδη[bo] σύ[rpn-p] καθαρός[anmpn] εἰμί[vipx2p] διά[p] ὁ[dams] λόγος[nams] ὅς[rrams] λαλέω[vixa1s] σύ[rpd-p]. **v.4** μένω[vdaa2p] ἐν[p] ἐγώ[rpd-s] κἀγώ[rpn-s] ἐν[p] σύ[rpd-p] καθώς[bo] ὁ[dnns] κλῆμα[nnns] οὐ[xo] δύναμαι[vipn3s] καρπός[nams] φέρω[vnpa] ἀπό[p] ἑαυτοῦ[rxgms] ἐάν[qo] μή[xo] μένω[vsaa3s] ἐν[p] ὁ[ddfs] ἄμπελος[ndfs] οὕτω[bo] οὐδέ[bo] σύ[rpn-p] ἐάν[qo] μή[xo] ἐν[p] ἐγώ[rpd-s] μένω[vsaa2p]. **v.5** ἐγώ[rpn-s] εἰμί[vipx1s] ὁ[dnfs] ἄμπελος[nnfs] σύ[rpn-p] ὁ[dnnp] κλῆμα[nnnp] ὁ[dnms] μένω[vppanms] ἐν[p] ἐγώ[rpd-s] κἀγώ[rpn-s] ἐν[p] αὐτός[rpdms] οὗτος[rdnms] φέρω[vipa3s] καρπός[nams] πολύς[aamsn] ὅτι[c] χωρίς[bo] ἐγώ[rpg-s] οὐ[xo] δύναμαι[vipn2p] ποιέω[vnpa] οὐδείς[aansn]. **v.6** ἐάν[qo] μή[xo] τι-σρινμσ μένω[vsaa3s] ἐν[p] ἐγώ[rpd-s] βάλλω[viap3s] ἔξω[bo] ὡς[bo] ὁ[dnns] κλῆμα[nnns] καί[c] ξηραίνω[viap3s] καί[c] συνάγω[vipa3p] αὐτός[rpanp] καί[c] εἰς[p] πῦρ[nans] βάλλω[vipa3p] καί[c] καίω[vipp3s]. **v.7** ἐάν[qo] μένω[vsaa2p] ἐν[p] ἐγώ[rpd-s] καί[c] ὁ[dnnp] ῥῆμα[nnnp] ἐγώ[rpg-s] ἐν[p] σύ[rpd-p] μένω[vsaa3s] ὅς[rrans] ἐάν[qo] θέλω[vspa2p] αἰτέω[vifm2p] καί[c] γίνομαι[vifd3s] σύ[rpd-p]. **v.8** ἐν[p] οὗτος[rddns] δοξάζω[viap3s] ὁ[dnms] πατήρ[nnms] ἐγώ[rpg-s] ἵνα[c] καρπός[nams] πολύς[aamsn] φέρω[vspa2p] καί[c] γίνομαι[vifd2p] ἐγώ[rpd-s] μαθητής[nnmp]. **v.9** καθώς[bo] ἀγαπάω[viaa3s] ἐγώ[rpa-s] ὁ[dnms] πατήρ[nnms] κἀγώ[rpn-s] ἀγαπάω[viaa1s] σύ[rpa-p] μένω[vdaa2p] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs] ὁ[ddfs] ἐμός[rsdfs]. **v.10** ἐάν[qo] ὁ[dafp] ἐντολή[nafp] ἐγώ[rpg-s] τηρέω[vsaa2p] μένω[vifa2p] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs] ἐγώ[rpg-s] καθώς[bo] ἐγώ[rpn-s] ὁ[dafp] ἐντολή[nafp] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] τηρέω[vixa1s] καί[c] μένω[vipa1s] αὐτός[rpgms] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs]. **v.11** οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ἵνα[c] ὁ[dnfs] χαρά[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] ἐν[p] σύ[rpd-p] μένω[vsaa3s] καί[c] εἰμί[dnfs] χαρά[nnfs] σύ[rpg-p] πληρόω[vsap3s]. **v.12** οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἐντολή[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] ἵνα[c] ἀγαπάω[vspa2p] ἀλλήλων[reamp] καθώς[bo] ἀγαπάω[viaa1s] σύ[rpa-p].

14 αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν
15 ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. οὐκέτι ὑμᾶς λέγω δούλους,
ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος, ὑμᾶς δὲ εἴρηκα
φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου ἐγνώρισα ὑ-
16 μῖν. οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ
ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρ-
πὸς ὑμῶν μένῃ, ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί
17 μου, δῷ ὑμῖν. ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.
18 εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν με-
19 μίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει,
ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ
20 τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. μνημονεύετε τοῦ
λόγου οὗ ἐγὼ εἶπον ὑμῖν, Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου
αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, εἰ τὸν λόγον μου
21 ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα
ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμ-
22 ψαντά με. εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ
εἴχον, νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.
23, 24 ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. εἰ τὰ ἔργα μὴ ἐποίησα
ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἴχον, νῦν

---

v.13 μέγας[aafsc] οὗτος[rdgfs] ἀγάπη[nafs] οὐδείς[anfsn] ἔχω[vipa3s] ἵνα[c] τι-σρινμσ ὁ[dafs] ψυχή[nafs] αὐτός[rpgms] τίθημι[vsaa3s] ὑπέρ[p] ὁ[dgmp] φίλος[agmpn] αὐτός[rpgms]. **v.14** σύ[rpn-p] φίλος[anmpn] ἐγώ[rpg-s] εἰμί[vipx2p] ἐάν[qo] ποιέω[vspa2p] ὅσος[rcanp] ἐγώ[rpn-s] ἐντέλλομαι[vipn1s] σύ[rpd-p]. **v.15** οὐκέτι[bo] σύ[rpa-p] λέγω[vipa1s] δοῦλος[namp] ὅτι[c] ὁ[dnms] δοῦλος[nnms] οὐ[xo] οἶδα[vixa3s] τίς[rqans] ποιέω[vipa3s] αὐτός[rpgms] ὁ[dnms] κύριος[nnms] σύ[rpa-p] δέ[c] λέγω[vixa1s] φίλος[aampn] ὅτι[c] πᾶς[aanpn] ὅς[rranp] ἀκούω[viaa1s] παρά[p] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-s] γνωρίζω[viaa1s] σύ[rpd-p]. **v.16** οὐ[xo] σύ[rpn-p] ἐγώ[rpa-s] ἐκλέγω[viam2p] ἀλλά[c] ἐγώ[rpn-s] ἐκλέγω[viam1s] σύ[rpa-p] καί[c] τίθημι[viaa1s] σύ[rpa-p] ἵνα[c] σύ[rpn-p] ὑπάγω[vspa2p] καί[c] καρπός[nams] φέρω[vspa2p] καί[c] ὁ[dnms] καρπός[nnms] σύ[rpg-p] μένω[vspa3s] ἵνα[c] ὅς[rrans] τι-σ-ριανσ ἄν[xo] αἰτέω[vsaa2p] ὁ[dams] πατήρ[nams] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] δίδωμι[vsaa3s] σύ[rpd-p]. **v.17** οὗτος[rdanp] ἐντέλλομαι[vipn1s] σύ[rpd-p] ἵνα[c] ἀγαπάω[vspa2p] ἀλλήλων[reamp]. **v.18** εἰ[qo] ὁ[dnms] κόσμος[nnms] σύ[rpa-p] μισέω[vipa3s] γινώσκω[vipa2p] ὅτι[c] ἐγώ[rpa-s] πρῶτος[bo] σύ[rpg-p] μισέω[vixa3s]. **v.19** εἰ[qo] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] εἰμί[viix2p] ὁ[dnms] κόσμος[nnms] ἄν[xo] ὁ[dans] ἴδιος[aansn] φιλέω[viia3s] ὅτι[c] δέ[c] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὐ[xo] εἰμί[vipx2p] ἀλλά[c] ἐγώ[rpn-s] ἐκλέγω[viam1s] σύ[rpa-p] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] διά[p] οὗτος[rdans] μισέω[vipa3s] σύ[rpa-p] ὁ[dnms] κόσμος[nnms]. **v.20** μνημονεύω[vdpa2p] ὁ[dgms] λόγος[ngms] ὅς[rrgms] ἐγώ[rpn-s] λέγω[viaa1s] σύ[rpd-p] οὐ[xo] εἰμί[vipx3s] δοῦλος[nnms] μέγας[anmsc] ὁ[dgms] κύριος[ngms] αὐτός[rpgms] εἰ[qo] ἐγώ[rpa-s] διώκω[viaa3p] καί[c] σύ[rpa-p] διώκω[vifa3p] εἰ[qo] ὁ[dams] λόγος[nams] ἐγώ[rpg-s] τηρέω[viaa3p] καί[c] ὁ[dams] ὑμέτερος[rsams] τηρέω[vifa3p]. **v.21** ἀλλά[c] οὗτος[rdanp] πᾶς[aanpn] ποιέω[vifa3p] σύ[rpd-p] διά[p] ὁ[dans] ὄνομα[nans] ἐγώ[rpg-s] ὅτι[c] οὐ[xo] οἶδα[vixa3p] ὁ[dams] πέμπω[vpaaams] ἐγώ[rpa-s]. **v.22** εἰ[qo] μή[xo] ἔρχομαι[viaa1s] καί[c] λαλέω[viaa1s] αὐτός[rpdmp] ἁμαρτία[nafs] οὐ[xo] ἔχω[viia3p] νῦν[bo] δέ[c] πρόφασις[nafs] οὐ[xo] ἔχω[vipa3p] περί[p] ὁ[dgfs] ἁμαρτία[ngfs] αὐτός[rpgmp]. **v.23** ὁ[dnms] ἐγώ[rpa-s] μισέω[vppanms] καί[c] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] μισέω[vipa3s].

δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου.
ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν 25
ὅτι Ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν 26
ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ
παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ,
καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. 27

Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. ἀποσυναγώ- **16**, 2
γους ποιήσουσιν ὑμᾶς, ἀλλ᾽ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας
ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. καὶ ταῦτα ποιήσου- 3
σιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. ἀλλὰ ταῦτα 4
λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι
ἐγὼ εἶπον ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ᾽
ὑμῶν ἤμην. νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐ- 5
δεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, Ποῦ ὑπάγεις· ἀλλ᾽ ὅτι ταῦτα λελάληκα 6
ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ᾽ ἐγὼ τὴν 7
ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω, ἐὰν γὰρ
μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς, ἐὰν δὲ
πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. καὶ ἐλθὼν ἐκεῖνος ἐλέγ- 8
ξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ
κρίσεως, περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ, περὶ 9, 10
δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω, καὶ οὐκ ἔτι

---

v.24 εἰ[qo] ὁ[danp] ἔργον[nanp] μή[xo] ποιέω[viaa1s] ἐν[p] αὐτός[rpdmp] ὅς[rranp] οὐδείς[anfsn] ἄλλος[anmsn] ποιέω[vixa3s] ἁμαρτία[nafs] οὐ[xo] ἔχω[viia3p] νῦν[bo] δέ[c] καί[c] ὁράω[vixa3p] καί[c] μισέω[vixa3p] καί[c] ἐγώ[rpa-s] καί[c] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s]. **v.25** ἀλλά[c] ἵνα[c] πληρόω[vsap3s] ὁ[dnms] λόγος[nnms] ὁ[dnms] γράφω[vpxpnms] ἐν[p] ὁ[ddms] νόμος[ndms] αὐτός[rpgmp] ὅτι[c] μισέω[viaa3p] ἐγώ[rpa-s] δωρεάν[bo]. **v.26** ὅταν[c] δέ[c] ἔρχομαι[vsaa3s] ὁ[dnms] παράκλητος[nnms] ὅς[rrams] ἐγώ[rpn-s] πέμπω[vifa1s] σύ[rpd-p] παρά[p] ὁ[dgms] πατήρ[ngms] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgfs] ἀλήθεια[ngfs] ὅς[rrnns] παρά[p] ὁ[dgms] πατήρ[ngms] ἐκπορεύομαι[vipn3s] ἐκεῖνος[rdnms] μαρτυρέω[vifa3s] περί[p] ἐγώ[rpg-s]. **v.27** καί[c] σύ[rpn-p] δέ[c] μαρτυρέω[vipa2p] ὅτι[c] ἀπό[p] ἀρχή[ngfs] μετά[p] ἐγώ[rpg-s] εἰμί[vipx2p]. **16. v.1** οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ἵνα[c] μή[xo] σκανδαλίζω[vsap2p]. **v.2** ἀποσυνάγωγος[aampn] ποιέω[vifa3p] σύ[rpa-p] ἀλλά[c] ἔρχομαι[vipn3s] ὥρα[nnfs] ἵνα[c] πᾶς[anmsn] ὁ[dnms] ἀποκτείνω[vpaanms] σύ[rpa-p] δοκέω[vsaa3s] λατρεία[nafs] προσφέρω[vnpa] ὁ[ddms] θεός[ndms]. **v.3** καί[c] οὗτος[rdanp] ποιέω[vifa3p] σύ[rpd-p] ὅτι[c] οὐ[xo] γινώσκω[viaa3p] ὁ[dams] πατήρ[nams] οὐδέ[bo] ἐγώ[rpa-s]. **v.4** ἀλλά[c] οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ἵνα[c] ὅταν[c] ἔρχομαι[vsaa3s] ὁ[dnfs] ὥρα[nnfs] μνημονεύω[vspa2p] αὐτός[rpgnp] ὅτι[c] ἐγώ[rpn-s] λέγω[viaa1s] σύ[rpd-p] οὗτος[rdanp] δέ[c] σύ[rpd-p] ἐκ[p] ἀρχή[ngfs] οὐ[xo] λέγω[viaa1s] ὅτι[c] μετά[p] σύ[rpg-p] εἰμί[viix1s]. **v.5** νῦν[bo] δέ[c] ὑπάγω[vipa1s] πρός[p] ὁ[dams] πέμπω[vpaaams] ἐγώ[rpa-s] καί[c] οὐδείς[anfsn] ἐκ[p] σύ[rpg-p] ἐρωτάω[vipa3s] ἐγώ[rpa-s] ποῦ[xo] ὑπάγω[vipa2s]. **v.6** ἀλλά[c] ὅτι[c] οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ὁ[dnfs] λύπη[nnfs] πληρόω[vixa3s] σύ[rpg-p] ὁ[dafs] καρδία[nafs]. **v.7** ἀλλά[c] ἐγώ[rpn-s] ὁ[dafs] ἀλήθεια[nafs] λέγω[vipa1s] σύ[rpd-p] συμφέρω[vipa3s] σύ[rpd-p] ἵνα[c] ἐγώ[rpn-s] ἀπέρχομαι[vsaa1s] ἐάν[qo] γάρ[c] μή[xo] ἀπέρχομαι[vsaa1s] ὁ[dnms] παράκλητος[nnms] οὐ[xo] ἔρχομαι[vifd3s] πρός[p] σύ[rpa-p] ἐάν[qo] δέ[c] πορεύομαι[vsao1s] πέμπω[vifa1s] αὐτός[rpams] πρός[p] σύ[rpa-p]. **v.8** καί[c] ἔρχομαι[vpaanms] ἐκεῖνος[rdnms] ἐλέγχω[vifa3s] ὁ[dams] κόσμος[nams] περί[p] ἁμαρτία[ngfs] καί[c] περί[p] δικαιοσύνη[ngfs] καί[c] περί[p] κρίσις[ngfs]. **v.9** περί[p] ἁμαρτία[ngfs] μέν[xo] ὅτι[c] οὐ[xo] πιστεύω[vipa3p] εἰς[p] ἐγώ[rpa-s].

11 θεωρεῖτέ με, περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου
12 κέκριται. ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ᾽ οὐ δύνασθε βα-
13 στάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας,
ὁδηγήσει ὑμᾶς εἰς πάσαν τὴν ἀλήθειαν, οὐ γὰρ λαλήσει ἀφ᾽
ἑαυτοῦ, ἀλλ᾽ ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγ-
14 γελεῖ ὑμῖν. ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ
15 ἀναγγελεῖ ὑμῖν. πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι, διὰ τοῦτο
16 εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. μικρὸν
καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ
17 ὑπάγω πρὸς τὸν πατέρα. εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ
πρὸς ἀλλήλους, Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, Μικρὸν καὶ οὐ θεω-
ρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με· καὶ ὅτι Ἐγὼ ὑπάγω
18 πρὸς τὸν πατέρα· ἔλεγον οὖν, Τοῦτο τί ἐστιν ὃ λέγει, τὸ μι-
19 κρόν· οὐκ οἴδαμεν τί λαλεῖ. ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον
αὐτὸν ἐρωτᾷν, καὶ εἶπεν αὐτοῖς, Περὶ τούτου ζητεῖτε μετ᾽ ἀλλή-
λων, ὅτι εἶπον, Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν
20 καὶ ὄψεσθέ με· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρη-
νήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε,
21 ἀλλ᾽ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. ἡ γυνὴ ὅταν τίκτῃ λύ-
πην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς, ὅταν δὲ γεννήσῃ τὸ παιδίον,
οὐκ έτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη

---

v.10 περί[p] δικαιοσύνη[ngfs] δέ[c] ὅτι[c] πρός[p] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-s] ὑπάγω[vipa1s] καί[c] οὐ[xo] ἔτι[bo] θεωρέω[vipa2p] ἐγώ[rpa-s]. **v.11** περί[p] δέ[c] κρίσις[ngfs] ὅτι[c] ὁ[dnms] ἄρχων[nnms] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] κρίνω[vixp3s]. **v.12** ἔτι[bo] πολύς[aanpn] ἔχω[vipa1s] λέγω[vnpa] σύ[rpd-p] ἀλλά[c] οὐ[xo] δύναμαι[vipn2p] βαστάζω[vnpa] ἄρτι[bo]. **v.13** ὅταν[c] δέ[c] ἔρχομαι[vsaa3s] ἐκεῖνος[rdnms] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgfs] ἀλήθεια[ngfs] ὁδηγέω[vifa3s] σύ[rpa-p] εἰς[p] πᾶς[aafsn] ὁ[dafs] ἀλήθεια[nafs] οὐ[xo] γάρ[c] λαλέω[vifa3s] ἀπό[p] ἑαυτοῦ[rxgms] ἀλλά[c] ὅσος[rcanp] ἄν[xo] ἀκούω[vsaa3s] λαλέω[vifa3s] καί[c] ὁ[danp] ἔρχομαι[vppnanp] ἀναγγέλλω[vifa3s] σύ[rpd-p]. **v.14** ἐκεῖνος[rdnms] ἐγώ[rpa-s] δοξάζω[vifa3s] ὅτι[c] ἐκ[p] ὁ[dgms] ἐμός[rpg-s] λαμβάνω[vifd3s] καί[c] ἀναγγέλλω[vifa3s] σύ[rpd-p]. **v.15** πᾶς[annpn] ὅσος[rcanp] ἔχω[vipa3s] ὁ[dnms] πατήρ[nnms] ἐμός[rsnnp] εἰμί[vipx3s] διά[p] οὗτος[rdans] λέγω[viaa1s] ὅτι[c] ἐκ[p] ὁ[dgms] ἐμός[rpg-s] λαμβάνω[vifd3s] καί[c] ἀναγγέλλω[vifa3s] σύ[rpd-p]. **v.16** μικρός[aansn] καί[c] ὅς[xo] θεωρέω[vipa2p] ἐγώ[rpa-s] καί[c] πάλιν[bo] μικρός[aansn] καί[c] ὁράω[vifd2p] ἐγώ[rpa-s] ὅτι[c] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] πρός[p] ὁ[dams] πατήρ[nams]. **v.17** λέγω[viaa3p] οὖν[c] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] πρός[p] ἀλλήλων[reamp] τίς[rqnns] εἰμί[vipx3s] οὗτος[rdnns] ὅς[rrans] λέγω[vipa3s] ἐγώ[rpd-p] μικρός[aansn] καί[c] οὐ[xo] θεωρέω[vipa2p] ἐγώ[rpa-s] καί[c] πάλιν[bo] μικρός[aansn] καί[c] ὁράω[vifd2p] ἐγώ[rpa-s] καί[c] ὅτι[c] ἐγώ[rpn-s] ὑπάγω[vipa1s] πρός[p] ὁ[dams] πατήρ[nams]. **v.18** λέγω[viia3p] οὖν[c] οὗτος[rdnns] τίς[rqnns] εἰμί[vipx3s] ὅς[rrans] λέγω[vipa3s] ὁ[dans] μικρός[aansn] οὐ[xo] οἶδα[vixa1p] τίς[rqans] λαλέω[vipa3s]. **v.19** γινώσκω[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] θέλω[viia3p] αὐτός[rpams] ἐρωτάω[vnpa] καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] περί[p] οὗτος[rdgms] ζητέω[vipa2p] μετά[p] ἀλλήλων[regmp] ὅτι[c] λέγω[viaa1s] μικρός[aansn] καί[c] οὐ[xo] θεωρέω[vipa2p] ἐγώ[rpa-s] καί[c] πάλιν[bo] μικρός[aansn] καί[c] ὁράω[vifd2p] ἐγώ[rpa-s]. **v.20** ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] κλαίω[vifa2p] καί[c] θρηνέω[vifa2p] σύ[rpn-p] ὁ[dnms] δέ[c] κόσμος[nnms] χαίρω[vifo3s] σύ[rpn-p] δέ[c] λυπέω[vifp2p] ἀλλά[c] ὁ[dnfs] λύπη[nnfs] σύ[rpg-p] εἰς[p] χαρά[nafs] γίνομαι[vifd3s].

ἄνθρωπος εἰς τὸν κόσμον. καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε, 22
πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν
χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ 23
ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅσα ἄν
αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. ἕως ἄρτι 24
οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου, αἰτεῖτε, καὶ λήψεσθε,
ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ταῦτα ἐν παροιμίαις λε- 25
λάληκα ὑμῖν, ἔρχεται ὥρα ὅτε οὐκ έτι ἐν παροιμίαις λαλήσω
ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. ἐν ἐ- 26
κείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε, καὶ οὐ λέγω ὑμῖν
ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν, αὐτὸς γὰρ ὁ πατὴρ 27
φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι
ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον. ἐξῆλθον παρὰ τοῦ πατρός, καὶ 28
ἐλήλυθα εἰς τὸν κόσμον, πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύ-
ομαι πρὸς τὸν πατέρα. λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ἴδε 29
νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. νῦν οἴ- 30
δαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ, ἐν
τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. ἀπεκρίθη αὐτοῖς ὁ 31
Ἰησοῦς, Ἄρτι πιστεύετε· ἰδού, ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν, 32
ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε, καὶ

---

v.21 ὁ[dnfs] γυνή[nnfs] ὅταν[c] τίκτω[vspa3s] λύπη[nafs] ἔχω[vipa3s] ὅτι[c] ἔρχομαι[viaa3s] ὁ[dnfs] ὥρα[nnfs] αὐτός[rpgfs] ὅταν[c] δέ[c] γεννάω[vsaa3s] ὁ[dans] παιδίον[nans] οὐ[xo] ἔτι[bo] μνημονεύω[vipa3s] ὁ[dgfs] θλῖψις[ngfs] διά[p] ὁ[dafs] χαρά[nafs] ὅτι[c] γεννάω[viap3s] ἄνθρωπος[nnms] εἰς[p] ὁ[dams] κόσμος[nams]. **v.22** καί[c] σύ[rpn-p] οὖν[c] λύπη[nafs] μέν[xo] νῦν[bo] ἔχω[vipa2p] πάλιν[bo] δέ[c] ὁράω[vifd1s] σύ[rpa-p] καί[c] χαίρω[vifo3s] σύ[rpg-p] ὁ[dnfs] καρδία[nnfs] καί[c] ὁ[dafs] χαρά[nafs] σύ[rpg-p] οὐδείς[anfsn] αἴρω[vipa3s] ἀπό[p] σύ[rpg-p]. **v.23** καί[c] ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfs] ἐγώ[rpa-s] οὐ[xo] ἐρωτάω[vifa2p] οὐδείς[aansn] ἀμήν[th] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ὅσος[rcanp] ἄν[xo] αἰτέω[vsaa2p] ὁ[dams] πατήρ[nams] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] δίδωμι[vifa3s] σύ[rpd-p]. **v.24** ἕως[c] ἄρτι[bo] οὐ[xo] αἰτέω[viaa2p] οὐδείς[aansn] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] αἰτέω[vdpa2p] καί[c] λαμβάνω[vifd2p] ἵνα[c] ὁ[dnfs] χαρά[nnfs] σύ[rpg-p] εἰμί[vspx3s] πληρόω[vpxpnfs]. **v.25** οὗτος[rdanp] ἐν[p] παροιμία[ndfp] λαλέω[vixa1s] σύ[rpd-p] ἔρχομαι[vipn3s] ὥρα[nnfs] ὅτε[bo] οὐ[xo] ἔτι[bo] ἐν[p] παροιμία[ndfp] λαλέω[vifa1s] σύ[rpd-p] ἀλλά[c] παρρησία[ndfs] περί[p] ὁ[dgms] πατήρ[ngms] ἀναγγέλλω[vifa1s] σύ[rpd-p]. **v.26** ἐν[p] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfs] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ἐγώ[rpg-s] αἰτέω[vifm2p] καί[c] οὐ[xo] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἐγώ[rpn-s] ἐρωτάω[vifa1s] ὁ[dams] πατήρ[nams] περί[p] σύ[rpg-p]. **v.27** αὐτός[rpnms] γάρ[c] ὁ[dnms] πατήρ[nnms] φιλέω[vipa3s] σύ[rpa-p] ὅτι[c] σύ[rpn-p] ἐγώ[rpa-s] φιλέω[vixa2p] καί[c] πιστεύω[vixa2p] ὅτι[c] ἐγώ[rpn-s] παρά[p] ὁ[dgms] θεός[ngms] ἐξέρχομαι[viaa1s]. **v.28** ἐξέρχομαι[viaa1s] παρά[p] ὁ[dgms] πατήρ[ngms] καί[c] ἔρχομαι[vixa1s] εἰς[p] ὁ[dams] κόσμος[nams] πάλιν[bo] ἀφίημι[vipa1s] ὁ[dams] κόσμος[nams] καί[c] πορεύομαι[vipn1s] πρός[p] ὁ[dams] πατήρ[nams]. **v.29** λέγω[vipa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] ἴδε[i] νῦν[bo] παρρησία[ndfs] λαλέω[vipa2s] καί[c] παροιμία[nafs] οὐδείς[aafsn] λέγω[vipa2s]. **v.30** νῦν[bo] οἶδα[vixa1p] ὅτι[c] οἶδα[vixa2s] πᾶς[aanpn] καί[c] οὐ[xo] χρεία[nafs] ἔχω[vipa2s] ἵνα[c] τίς[rinms] σύ[rpa-s] ἐρωτάω[vspa3s] ἐν[p] οὗτος[rddns] πιστεύω[vipa1p] ὅτι[c] ἀπό[p] θεός[ngms] ἐξέρχομαι[viaa2s]. **v.31** ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἄρτι[bo] πιστεύω[vipa2p].

33 οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ᾽ ἐμοῦ ἐστι. ταῦτα λελάληκα
ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε,
ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.
17 Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ
εἰς τὸν οὐρανόν, καὶ εἶπε, Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου
2 τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε, καθὼς ἔδωκας αὐτῷ
ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς
3 ζωὴν αἰώνιον. αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε
τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.
4 ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ετελείωσα ὃ δέδωκάς μοι
5 ἵνα ποιήσω. καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ
6 δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. ἐφανέρωσά
σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου,
σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετή-
7 ρηκασι. νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι, παρὰ σοῦ
8 ἐστίν, ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς, καὶ αὐτοὶ
ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπί-
9 στευσαν ὅτι σύ με ἀπέστειλας. ἐγὼ περὶ αὐτῶν ἐρωτῶ, οὐ περὶ
τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι,
10 καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν

---

v.32 ἰδού[vdaa2s] ἔρχομαι[vipn3s] ὥρα[nnfs] καί[c] νῦν[bo] ἔρχομαι[vixa3s] ἵνα[c] σκορπίζω[vsap2p] ἕκαστος[anmsn] εἰς[p] ὁ[danp] ἴδιος[aanpn] καί[c] ἐγώ[rpa-s] μόνος[aamsn] ἀφίημι[vsaa2p] καί[c] οὐ[xo] εἰμί[vipx1s] μόνος[anmsn] ὅτι[c] ὁ[dnms] πατήρ[nnms] μετά[p] ἐγώ[rpg-s] εἰμί[vipx3s]. **v.33** οὗτος[rdanp] λαλέω[vixa1s] σύ[rpd-p] ἵνα[c] ἐν[p] ἐγώ[rpd-s] εἰρήνη[nafs] ἔχω[vspa2p] ἐν[p] ὁ[ddms] κόσμος[ndms] θλῖψις[nafs] ἔχω[vifa2p] ἀλλά[c] θαρσέω[vdpa2p] ἐγώ[rpn-s] νικάω[vixa1s] ὁ[dams] κόσμος[nams]. **17. v.1** οὗτος[rdanp] λαλέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] καί[c] ἐπαίρω[viaa3s] ὁ[damp] ὀφθαλμός[namp] αὐτός[rpgms] εἰς[p] ὁ[dams] οὐρανός[nams] καί[c] λέγω[viaa3s] πατήρ[nvms] ἔρχομαι[vixa3s] ὁ[dnfs] ὥρα[nnfs] δοξάζω[vdaa2s] σύ[rpg-s] ὁ[dams] υἱός[nams] ἵνα[c] καί[c] ὁ[dnms] υἱός[nnms] σύ[rpg-s] δοξάζω[vsaa3s] σύ[rpa-s]. **v.2** καθώς[bo] δίδωμι[viaa2s] αὐτός[rpdms] ἐξουσία[nafs] πᾶς[agfsn] σάρξ[ngfs] ἵνα[c] πᾶς[aansn] ὅς[rrans] δίδωμι[vixa2s] αὐτός[rpdms] δίδωμι[vsaa3s] αὐτός[rpdmp] ζωή[nafs] αἰώνιος[aafsn]. **v.3** οὗτος[rdnfs] δέ[c] εἰμί[vipx3s] ὁ[dnfs] αἰώνιος[anfsn] ζωή[nnfs] ἵνα[c] γινώσκω[vspa3p] σύ[rpa-s] ὁ[dams] μόνος[aamsn] ἀληθινός[aamsn] θεός[nams] καί[c] ὅς[rrams] ἀποστέλλω[viaa2s] Ἰησοῦς[nams] Χριστός[nams]. **v.4** ἐγώ[rpn-s] σύ[rpa-s] δοξάζω[viaa1s] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ὁ[dans] ἔργον[nans] τελειόω[viaa1s] ὅς[rrans] δίδωμι[vixa2s] ἐγώ[rpd-s] ἵνα[c] ποιέω[vsaa1s]. **v.5** καί[c] νῦν[bo] δοξάζω[vdaa2s] ἐγώ[rpa-s] σύ[rpn-s] πατήρ[nvms] παρά[p] σεαυτοῦ[rxdms] ὁ[ddfs] δόξα[ndfs] ὅς[rrdfs] ἔχω[viia1s] πρό[p] ὁ[dgms] ὁ[dams] κόσμος[nams] εἰμί[vnpx] παρά[p] σύ[rpd-s]. **v.6** φανερόω[viaa1s] σύ[rpg-s] ὁ[dans] ὄνομα[nans] ὁ[ddmp] ἄνθρωπος[ndmp] ὅς[rramp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] σύ[rsnmp] εἰμί[viix3p] καί[c] ἐγώ[rpd-s] αὐτός[rpamp] δίδωμι[vixa2s] καί[c] ὁ[dams] λόγος[nams] σύ[rpg-s] τηρέω[vixa3p]. **v.7** νῦν[bo] γινώσκω[vixa3p] ὅτι[c] πᾶς[annpn] ὅσος[rcanp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] παρά[p] σύ[rpg-s] εἰμί[vipx3s]. **v.8** ὅτι[c] ὁ[danp] ῥῆμα[nanp] ὅς[rranp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] δίδωμι[vixa1s] αὐτός[rpdmp] καί[c] αὐτός[rpnmp] λαμβάνω[viaa3p] καί[c] γινώσκω[viaa3p] ἀληθῶς[bo] ὅτι[c] παρά[p] σύ[rpg-s] ἐξέρχομαι[viaa1s] καί[c] πιστεύω[viaa3p] ὅτι[c] σύ[rpn-s] ἐγώ[rpa-s] ἀποστέλλω[viaa2s]. **v.9** ἐγώ[rpn-s] περί[p] αὐτός[rpgmp] ἐρωτάω[vipa1s] οὐ[xo] περί[p] ὁ[dgms] κόσμος[ngms] ἐρωτάω[vipa1s] ἀλλά[c] περί[p] ὅς[rrgmp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] ὅτι[c] σύ[rpd-s] εἰμί[vipx3p].

αὐτοῖς. καὶ οὐκ έτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ 11
εἰσί, και ἐγὼ πρός σε ἔρχομαι. πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν
τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς.
ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ 12
ὀνόματί σου, οὓς δέδωκάς μοι, ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν
ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ.
νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα 13
ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. ἐγὼ δέ- 14
δωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι
οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου.
οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς 15
αὐτοὺς ἐκ τοῦ πονηροῦ. ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ 16
ἐκ τοῦ κόσμου οὐκ εἰμί. ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου, 17
ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι. καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν 18
κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον. καὶ ὑπὲρ 19
αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν
ἀληθείᾳ. οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν 20
πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσι, 21
καθὼς σύ, πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν
ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας. καὶ ἐγὼ 22

---

v.10 καί[c] ὁ[dnnp] ἐμός[rsnnp] πᾶς[annpn] σός[rsnnp] εἰμί[vipx3s] καί[c] ὁ[dnnp] σός[rsnnp] ἐμός[rsnnp] καί[c] δοξάζω[vixp1s] ἐν[p] αὐτός[rpdmp]. **v.11** καί[c] οὐ[xo] ἔτι[bo] εἰμί[vipx1s] ἐν[p] ὁ[ddms] κόσμος[ndms] καί[c] οὗτος[rdnmp] ἐν[p] ὁ[ddms] κόσμος[ndms] εἰμί[vipx3p] καί[c] ἐγώ[rpn-s] πρός[p] σύ[rpa-s] ἔρχομαι[vipn1s] πατήρ[nvms] ἅγιος[avmsn] τηρέω[vdaa2s] αὐτός[rpamp] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] σύ[rpg-s] ὅς[rramp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] ἵνα[c] εἰμί[vspx3p] εἷς[nnns] καθώς[bo] ἐγώ[rpn-p]. **v.12** ὅτε[bo] εἰμί[viix1s] μετά[p] αὐτός[rpgmp] ἐν[p] ὁ[ddms] κόσμος[ndms] ἐγώ[rpn-s] τηρέω[viia1s] αὐτός[rpamp] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] σύ[rpg-s] ὅς[rramp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] φυλάσσω[viaa1s] καί[c] οὐδείς[anfsn] ἐκ[p] αὐτός[rpgmp] ἀπόλλυμι[viam3s] εἰ[qo] μή[xo] ὁ[dnms] υἱός[nnms] ὁ[dgfs] ἀπώλεια[ngfs] ἵνα[c] ὁ[dnfs] γραφή[nnfs] πληρόω[vsap3s]. **v.13** νῦν[bo] δέ[c] πρός[p] σύ[rpa-s] ἔρχομαι[vipn1s] καί[c] οὗτος[rdanp] λαλέω[vipa1s] ἐν[p] ὁ[ddms] κόσμος[ndms] ἵνα[c] ἔχω[vspa3p] ὁ[dafs] χαρά[nafs] ὁ[dafs] ἐμός[rsafs] πληρόω[vpxpafs] ἐν[p] αὐτός[rpdmp]. **v.14** ἐγώ[rpn-s] δίδωμι[vixa1s] αὐτός[rpdmp] ὁ[dams] λόγος[nams] σύ[rpg-s] καί[c] ὁ[dnms] κόσμος[nnms] μισέω[viaa3s] αὐτός[rpamp] ὅτι[c] οὐ[xo] εἰμί[vipx3p] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] καθώς[bo] ἐγώ[rpn-s] οὐ[xo] εἰμί[vipx1s] ἐκ[p] ὁ[dgms] κόσμος[ngms]. **v.15** οὐ[xo] ἐρωτάω[vipa1s] ἵνα[c] αἴρω[vsaa2s] αὐτός[rpamp] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] ἀλλά[c] ἵνα[c] τηρέω[vsaa2s] αὐτός[rpamp] ἐκ[p] ὁ[dgms] πονηρός[agmsn]. **v.16** ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὐ[xo] εἰμί[vipx3p] καθώς[bo] ἐγώ[rpn-s] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὐ[xo] εἰμί[vipx1s]. **v.17** ἁγιάζω[vdaa2s] αὐτός[rpamp] ἐν[p] ὁ[ddfs] ἀλήθεια[ndfs] σύ[rpg-s] ὁ[dnms] λόγος[nnms] ὁ[dnms] σός[rsnms] ἀλήθεια[nnfs] εἰμί[vipx3s]. **v.18** καθώς[bo] ἐγώ[rpa-s] ἀποστέλλω[viaa2s] εἰς[p] ὁ[dams] κόσμος[nams] κἀγώ[rpn-s] ἀποστέλλω[viaa1s] αὐτός[rpamp] εἰς[p] ὁ[dams] κόσμος[nams]. **v.19** καί[c] ὑπέρ[p] αὐτός[rpgmp] ἐγώ[rpn-s] ἁγιάζω[vipa1s] ἐμαυτοῦ[rxams] ἵνα[c] καί[c] αὐτός[rpnmp] εἰμί[vspx3p] ἁγιάζω[vpxpnmp] ἐν[p] ἀλήθεια[ndfs]. **v.20** οὐ[xo] περί[p] οὗτος[rdgmp] δέ[c] ἐρωτάω[vipa1s] μόνος[bo] ἀλλά[c] καί[c] περί[p] ὁ[dgmp] πιστεύω[vpfagmp] διά[p] ὁ[dgms] λόγος[ngms] αὐτός[rpgmp] εἰς[p] ἐγώ[rpa-s]. **v.21** ἵνα[c] πᾶς[anmpn] εἷς[nnns] εἰμί[vspx3p] καθώς[bo] σύ[rpn-s] πατήρ[nvms] ἐν[p] ἐγώ[rpd-s] κἀγώ[rpn-s] ἐν[p] σύ[rpd-s] ἵνα[c] καί[c] αὐτός[rpnmp] ἐν[p] ἐγώ[rpd-p] εἷς[nnns] εἰμί[vspx3p] ἵνα[c] ὁ[dnms] κόσμος[nnms] πιστεύω[vsaa3s] ὅτι[c] σύ[rpn-s] ἐγώ[rpa-s] ἀποστέλλω[viaa2s].

τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς
23 ἡμεῖς ἕν ἐσμεν. ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελει-
ωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας,
24 καὶ ἠγάπησας αὐτούς, καθὼς ἐμὲ ἠγάπησας. πάτερ, οὕς δέ-
δωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα
θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με
25 πρὸ καταβολῆς κόσμου. πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ
ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας,
26 καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη,
ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.
18 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέ-
ραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν
2 αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. ᾔδει δὲ καὶ Ἰούδας, ὁ παραδι-
δοὺς αὐτόν, τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ
3 μετὰ τῶν μαθητῶν αὐτοῦ. ὁ οὖν Ἰούδας, λαβὼν τὴν σπεῖραν,
καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ
4 μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. Ἰησοῦς οὖν, εἰδὼς
πάντα τὰ ἐρχόμενα ἐπ' αὐτόν, ἐξελθὼν εἶπεν αὐτοῖς, Τίνα ζη-
5 τεῖτε· ἀπεκρίθησαν αὐτῷ, Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς
ὁ Ἰησοῦς, Ἐγώ εἰμι. εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐ-
6 τὸν μετ' αὐτῶν. ὡς οὖν εἶπεν αὐτοῖς ὅτι Ἐγώ εἰμι, ἀπῆλθον εἰς

---

v.22 καί[c] ἐγώ[rpn-s] ὁ[dafs] δόξα[nafs] ὅς[rrafs] δίδωμι[vixa2s] ἐγώ[rpd-s] δίδωμι[vixa1s] αὐτός[rpdmp] ἵνα[c] εἰμί[vspx3p] εἷς[nnns] καθώς[bo] ἐγώ[rpn-p] εἷς[nnns] εἰμί[vipx1p]. **v.23** ἐγώ[rpn-s] ἐν[p] αὐτός[rpdmp] καί[c] σύ[rpn-s] ἐν[p] ἐγώ[rpd-s] ἵνα[c] εἰμί[vspx3p] τελειόω[vpxpnmp] εἰς[p] εἷς[nans] καί[c] ἵνα[c] γινώσκω[vspa3s] ὁ[dnms] κόσμος[nnms] ὅτι[c] σύ[rpn-s] ἐγώ[rpa-s] ἀποστέλλω[viaa2s] καί[c] ἀγαπάω[viaa2s] αὐτός[rpamp] καθώς[bo] ἐγώ[rpa-s] ἀγαπάω[viaa2s]. **v.24** πατήρ[nvms] ὅς[rramp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] θέλω[vipa1s] ἵνα[c] ὅπου[bo] εἰμί[vipx1s] ἐγώ[rpn-s] κἀκεῖνος[rdnmp] εἰμί[vspx3p] μετά[p] ἐγώ[rpg-s] ἵνα[c] θεωρέω[vspa3p] ὁ[dafs] δόξα[nafs] ὁ[dafs] ἐμός[rsafs] ὅς[rrafs] δίδωμι[viaa2s] ἐγώ[rpd-s] ὅτι[c] ἀγαπάω[viaa2s] ἐγώ[rpa-s] πρό[p] καταβολή[ngfs] κόσμος[ngms]. **v.25** πατήρ[nvms] δίκαιος[avmsn] καί[c] ὁ[dnms] κόσμος[nnms] σύ[rpa-s] οὐ[xo] γινώσκω[viaa3s] ἐγώ[rpn-s] δέ[c] σύ[rpa-s] γινώσκω[viaa1s] καί[c] οὗτος[rdnmp] γινώσκω[viaa3p] ὅτι[c] σύ[rpn-s] ἐγώ[rpa-s] ἀποστέλλω[viaa2s]. **v.26** καί[c] γνωρίζω[viaa1s] αὐτός[rpdmp] ὁ[dans] ὄνομα[nans] σύ[rpg-s] καί[c] γνωρίζω[vifa1s] ἵνα[c] ὁ[dnfs] ἀγάπη[nnfs] ὅς[rrafs] ἀγαπάω[viaa2s] ἐγώ[rpa-s] ἐν[p] αὐτός[rpdmp] εἰμί[vspx3s] κἀγώ[rpn-s] ἐν[p] αὐτός[rpdmp]. **18. v.1** οὗτος[rdanp] λέγω[vpaanms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐξέρχομαι[viaa3s] σύν[p] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] πέραν[bo] ὁ[dgms] χείμαρρος[ngms] ὁ[dgmp] Κεδρών[tp] ὅπου[bo] εἰμί[viix3s] κῆπος[nnms] εἰς[p] ὅς[rrams] εἰσέρχομαι[viaa3s] αὐτός[rpnms] καί[c] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms]. **v.2** οἶδα[viya3s] δέ[c] καί[c] Ἰούδας[nnms] ὁ[dnms] παραδίδωμι[vppanms] αὐτός[rpams] ὁ[dams] τόπος[nams] ὅτι[c] πολλάκις[bo] συνάγω[viap3s] ὁ[dnms] Ἰησοῦς[nnms] ἐκεῖ[bo] μετά[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms]. **v.3** ὁ[dnms] οὖν[c] Ἰούδας[nnms] λαμβάνω[vpaanms] ὁ[dafs] σπεῖρα[nafs] καί[c] ἐκ[p] ὁ[dgmp] ἀρχιερεύς[ngmp] καί[c] Φαρισαῖος[ngmp] ὑπηρέτης[namp] ἔρχομαι[vipn3s] ἐκεῖ[bo] μετά[p] φανός[ngmp] καί[c] λαμπάς[ngfp] καί[c] ὅπλον[ngnp]. **v.4** Ἰησοῦς[nnms] οὖν[c] οἶδα[vpxanms] πᾶς[aanpn] ὁ[danp] ἔρχομαι[vppnanp] ἐπί[p] αὐτός[rpams] ἐξέρχομαι[vpaanms] λέγω[viaa3s] αὐτός[rpdmp] τίς[rqams] ζητέω[vipa2p]. **v.5** ἀποκρίνομαι[viad3p] αὐτός[rpdms] Ἰησοῦς[nams] ὁ[dams] Ναζωραῖος[nams] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] εἰμί[vipx1s] ἵστημι[viya3s] δέ[c] καί[c] Ἰούδας[nnms] ὁ[dnms] παραδίδωμι[vppanms] αὐτός[rpams] μετά[p] αὐτός[rpgmp].

τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί. πάλιν οὖν αὐτοὺς ἐπηρώτησε, 7
Τίνα ζητεῖτε· οἱ δὲ εἶπον, Ἰησοῦν τὸν Ναζωραῖον. ἀπεκρίθη 8
ὁ Ἰησοῦς, Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι, εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε
τούτους ὑπάγειν, ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι Οὓς δέ- 9
δωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. Σίμων οὖν Πέτρος 10
ἔχων μάχαιραν εἵλκυσεν αὐτήν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως
δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν ἦν δὲ ὄνομα τῷ
δούλῳ Μάλχος. εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ, Βάλε τὴν μά- 11
χαιράν σου εἰς τὴν θήκην, τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατήρ,
οὐ μὴ πίω αὐτό· Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπη- 12
ρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτόν,
καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον, ἦν γὰρ πενθερὸς 13
τοῦ Καϊάφα, ὅς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ 14
Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄν-
θρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ἠκολούθει δὲ τῷ Ἰησοῦ 15
Σίμων Πέτρος, καὶ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν
γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν
τοῦ ἀρχιερέως, ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλ- 16
θεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὅς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε
τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. λέγει οὖν ἡ παιδίσκη ἡ 17

---

v.6 ὡς[bo] οὖν[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὅτι[c] ἐγώ[rpn-s] εἰμί[vipx1s] ἀπέρχομαι[viaa3p] εἰς[p] ὁ[danp] ὀπίσω[bo] καί[c] πίπτω[viaa3p] χαμαί[bo]. **v.7** πάλιν[bo] οὖν[c] αὐτός[rpamp] ἐπερωτάω[viaa3s] τίς[rqams] ζητέω[vipa2p] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] Ἰησοῦς[nams] ὁ[dams] Ναζωραῖος[nams]. **v.8** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[viaa1s] σύ[rpd-p] ὅτι[c] ἐγώ[rpn-s] εἰμί[vipx1s] εἰ[qo] οὖν[c] ἐγώ[rpa-s] ζητέω[vipa2p] ἀφίημι[vdaa2p] οὗτος[rdamp] ὑπάγω[vnpa]. **v.9** ἵνα[c] πληρόω[vsap3s] ὁ[dnms] λόγος[nnms] ὅς[rrams] λέγω[viaa3s] ὅτι[c] ὅς[rramp] δίδωμι[vixa2s] ἐγώ[rpd-s] οὐ[xo] ἀπόλλυμι[viaa1s] ἐκ[p] αὐτός[rpgmp] οὐδείς[aamsn]. **v.10** Σίμων[nnms] οὖν[c] Πέτρος[nnms] ἔχω[vppanms] μάχαιρα[nafs] ἕλκω[viaa3s] αὐτός[rpafs] καί[c] παίω[viaa3s] ὁ[dams] ὁ[dgms] ἀρχιερεύς[ngms] δοῦλος[nams] καί[c] ἀποκόπτω[viaa3s] αὐτός[rpgms] ὁ[dans] ὠτίον[nans] ὁ[dans] δεξιός[aansn] εἰμί[viix3s] δέ[c] ὄνομα[nnns] ὁ[ddms] δοῦλος[ndms] Μάλχος[nnms]. **v.11** λέγω[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[ddms] Πέτρος[ndms] βάλλω[vdaa2s] ὁ[dafs] μάχαιρα[nafs] σύ[rpg-s] εἰς[p] ὁ[dafs] θήκη[nafs] ὁ[dans] ποτήριον[nans] ὅς[rrans] δίδωμι[vixa3s] ἐγώ[rpd-s] ὁ[dnms] πατήρ[nnms] οὐ[xo] μή[xo] πίνω[vsaa1s] αὐτός[rpans]. **v.12** ὁ[dnfs] οὖν[c] σπεῖρα[nnfs] καί[c] ὁ[dnms] χιλίαρξος[nnms] καί[c] ὁ[dnmp] ὑπηρέτης[nnmp] ὁ[dgmp] Ἰουδαῖος[agmpn] συλλαμβάνω[viaa3p] ὁ[dams] Ἰησοῦς[nams] καί[c] δέω[viaa3p] αὐτός[rpams]. **v.13** καί[c] ἀπάγω[viaa3p] αὐτός[rpams] πρός[p] Ἄννας[nams] πρῶτος[bo] εἰμί[viix3s] γάρ[c] πενθερός[nnms] ὁ[dgms] Καϊάφας[ngms] ὅς[rrnms] εἰμί[viix3s] ἀρχιερεύς[nnms] ὁ[dgms] ἐνιαυτός[ngms] ἐκεῖνος[rdgms]. **v.14** εἰμί[viix3s] δέ[c] Καϊάφας[nnms] ὁ[dnms] συμβουλεύω[vpaanms] ὁ[ddmp] Ἰουδαῖος[admpn] ὅτι[c] συμφέρω[vipa3s] εἷς[nams] ἄνθρωπος[nams] ἀπόλλυμι[vnam] ὑπέρ[p] ὁ[dgms] λαός[ngms]. **v.15** ἀκολουθέω[viia3s] δέ[c] ὁ[ddms] Ἰησοῦς[ndms] Σίμων[nnms] Πέτρος[nnms] καί[c] ἄλλος[anmsn] μαθητής[nnms] ὁ[dnms] δέ[c] μαθητής[nnms] ἐκεῖνος[rdnms] εἰμί[viix3s] γνωστός[anmsn] ὁ[ddms] ἀρχιερεύς[ndms] καί[c] συνεισέρχομαι[viaa3s] ὁ[ddms] Ἰησοῦς[ndms] εἰς[p] ὁ[dafs] αὐλή[nafs] ὁ[dgms] ἀρχιερεύς[ngms]. **v.16** ὁ[dnms] δέ[c] Πέτρος[nnms] ἵστημι[viya3s] πρός[p] ὁ[ddfs] θύρα[ndfs] ἔξω[bo] ἐξέρχομαι[viaa3s] οὖν[c] ὁ[dnms] μαθητής[nnms] ὁ[dnms] ἄλλος[anmsn] ὅς[rrnms] εἰμί[viix3s] γνωστός[anmsn] ὁ[ddms] ἀρχιερεύς[ndms] καί[c] λέγω[viaa3s] ὁ[ddfs] θυρωρός[ndfs] καί[c] εἰσάγω[viaa3s] ὁ[dams] Πέτρος[nams].

θυρωρὸς τῷ Πέτρῳ, Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου
18 τούτου· λέγει ἐκεῖνος, Οὐκ εἰμί. εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ
οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος ἦν, καὶ ἐθερ-
μαίνοντο, ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.
19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ,
20 καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ἐγὼ
παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ, ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συν-
αγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ Ἰουδαῖοι συνέρχονται,
21 καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. τί με ἐπερωτᾷς· ἐπερώτησον
τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς, ἴδε, οὗτοι οἴδασιν ἃ εἶπον
22 ἐγώ. ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς
ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπών, Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ·
23 ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ
24 τοῦ κακοῦ, εἰ δὲ καλῶς, τί με δέρεις· ἀπέστειλεν οὖν αὐτὸν ὁ
25 Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. Ἦν δὲ Σίμων
Πέτρος ἑστὼς καὶ θερμαινόμενος, εἶπον οὖν αὐτῷ, Μὴ καὶ σὺ
ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ· ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν, Οὐκ
26 εἰμί. λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ
ἀπέκοψε Πέτρος τὸ ὠτίον, Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ'
27 αὐτοῦ· πάλιν οὖν ἠρνήσατο ὁ Πέτρος, καὶ εὐθέως ἀλέκτωρ

---

v.17 λέγω[vipa3s] οὖν[c] ὁ[dnfs] παιδίσκη[nnfs] ὁ[dnfs] θυρωρός[nnfs] ὁ[ddms] Πέτρος[ndms] μή[xo] καί[c] σύ[rpn-s] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] εἰμί[vipx2s] ὁ[dgms] ἄνθρωπος[ngms] οὗτος[rdgms] λέγω[vipa3s] ἐκεῖνος[rdnms] οὐ[xo] εἰμί[vipx1s]. **v.18** ἵστημι[viya3p] δέ[c] ὁ[dnmp] δοῦλος[nnmp] καί[c] ὁ[dnmp] ὑπηρέτης[nnmp] ἀνθρακιά[nafs] ποιέω[vpxanmp] ὅτι[c] ψῦχος[nnns] εἰμί[viix3s] καί[c] θερμαίνομαι[viin3p] εἰμί[viix3s] δέ[c] μετά[p] αὐτός[rpgmp] ὁ[dnms] Πέτρος[nnms] ἵστημι[vpxanms] καί[c] θερμαίνομαι[vppmnms]. **v.19** ὁ[dnms] οὖν[c] ἀρχιερεύς[nnms] ἐρωτάω[viaa3s] ὁ[dams] Ἰησοῦς[nams] περί[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] καί[c] περί[p] ὁ[dgfs] διδαχή[ngfs] αὐτός[rpgms]. **v.20** ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] παρρησία[ndfs] λαλέω[viaa1s] ὁ[ddms] κόσμος[ndms] ἐγώ[rpn-s] πάντοτε[bo] διδάσκω[viaa1s] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] καί[c] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] ὅπου[bo] πάντοτε[bo] ὁ[dnmp] Ἰουδαῖος[anmpn] συνέρχομαι[vipn3p] καί[c] ἐν[p] κρυπτός[adnsn] λαλέω[viaa1s] οὐδείς[aansn]. **v.21** τίς[rqnns] ἐγώ[rpa-s] ἐπερωτάω[vipa2s] ἐπερωτάω[vdaa2s] ὁ[damp] ἀκούω[vpxaamp] τίς[rqans] λαλέω[viaa1s] αὐτός[rpdmp] ἴδε[i] οὗτος[rdnmp] οἶδα[vixa3p] ὅς[rranp] λέγω[viaa1s] ἐγώ[rpn-s]. **v.22** οὗτος[rdanp] δέ[c] αὐτός[rpgms] λέγω[vpaagms] εἷς[nnms] ὁ[dgmp] ὑπηρέτης[ngmp] παρίστημι[vpxanms] δίδωμι[viaa3s] ῥάπισμα[nans] ὁ[ddms] Ἰησοῦς[ndms] λέγω[vpaanms] οὕτω[bo] ἀποκρίνομαι[vipn2s] ὁ[ddms] ἀρχιερεύς[ndms]. **v.23** ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] εἰ[qo] κακῶς[bo] λαλέω[viaa1s] μαρτυρέω[vdaa2s] περί[p] ὁ[dgns] κακός[agnsn] εἰ[qo] δέ[c] καλῶς[bo] τίς[rqans] ἐγώ[rpa-s] δέρω[vipa2s]. **v.24** ἀποστέλλω[viaa3s] οὖν[c] αὐτός[rpams] ὁ[dnms] Ἄννας[nnms] δέω[vpxpams] πρός[p] Καϊάφας[nams] ὁ[dams] ἀρχιερεύς[nams]. **v.25** εἰμί[viix3s] δέ[c] Σίμων[nnms] Πέτρος[nnms] ἵστημι[vpxanms] καί[c] θερμαίνομαι[vppmnms] λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] μή[xo] καί[c] σύ[rpn-s] ἐκ[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] εἰμί[vipx2s] ἀρνέομαι[viad3s] ἐκεῖνος[rdnms] καί[c] λέγω[viaa3s] οὐ[xo] εἰμί[vipx1s]. **v.26** λέγω[vipa3s] εἷς[nnms] ἐκ[p] ὁ[dgmp] δοῦλος[ngmp] ὁ[dgms] ἀρχιερεύς[ngms] συγγενής[anmsn] εἰμί[vppxnms] ὅς[rrgms] ἀποκόπτω[viaa3s] Πέτρος[nnms] ὁ[dans] ὠτίον[nans] οὐ[xo] ἐγώ[rpn-s] σύ[rpa-s] ὁράω[viaa1s] ἐν[p] ὁ[ddms] κῆπος[ndms] μετά[p] αὐτός[rpgms].

ἐφώνησεν. Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ 28
πραιτώριον, ἦν δὲ πρωΐᾳ, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραι-
τώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. ἐξῆλθεν 29
οὖν ὁ Πιλάτος πρὸς αὐτούς, καὶ εἶπε, Τίνα κατηγορίαν φέρετε
κατὰ τοῦ ἀνθρώπου τούτου· ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Εἰ 30
μὴ ἦν οὗτος κακὸποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. εἶ- 31
πεν οὖν αὐτοῖς ὁ Πιλάτος, Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν
νόμον ὑμῶν κρίνατε αὐτόν. εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμῖν
οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα, ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πλη- 32
ρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.
Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος, καὶ ἐφώνησε 33
τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων·
ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι 34
σοι εἶπον περὶ ἐμοῦ· ἀπεκρίθη ὁ Πιλάτος, Μήτι ἐγὼ Ἰουδαῖός 35
εἰμι· τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί, τί
ἐποίησας· ἀπεκρίθη ὁ Ἰησοῦς, Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν 36
ἐκ τοῦ κόσμου τούτου, εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία
ἡ ἐμή, οἱ ὑπηρέται ἄν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ
τοῖς Ἰουδαίοις, νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.
εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος, Οὐκοῦν βασιλεὺς εἶ σύ· ἀπεκρίθη ὁ 37
Ἰησοῦς, Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ. ἐγὼ εἰς τοῦτο γεγέν-

---

v.27 πάλιν[bo] οὖν[c] ἀρνέομαι[viad3s] ὁ[dnms] Πέτρος[nnms] καί[c] εὐθέως[bo] ἀλέκτωρ[nnms] φωνέω[viaa3s]. **v.28** ἄγω[vipa3p] οὖν[c] ὁ[dams] Ἰησοῦς[nams] ἀπό[p] ὁ[dgms] Καϊάφας[ngms] εἰς[p] ὁ[dans] πραιτώριον[nans] εἰμί[viix3s] δέ[c] πρωΐα[nnfs] καί[c] αὐτός[rpnmp] οὐ[xo] εἰσέρχομαι[viaa3p] εἰς[p] ὁ[dans] πραιτώριον[nans] ἵνα[c] μή[xo] μιαίνω[vsap3p] ἀλλά[c] ἵνα[c] ἐσθίω[vsaa3p] ὁ[dans] πάσχα[ta]. **v.29** ἐξέρχομαι[viaa3s] οὖν[c] ὁ[dnms] Πιλᾶτος[nnms] πρός[p] αὐτός[rpamp] καί[c] λέγω[viaa3s] τίς[rqafs] κατηγορία[nafs] φέρω[vipa2p] κατά[p] ὁ[dgms] ἄνθρωπος[ngms] οὗτος[rdgms]. **v.30** ἀποκρίνομαι[viad3p] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] εἰ[qo] μή[xo] εἰμί[viix3s] οὗτος[rdnms] κακοποιός[anmsn] οὐ[xo] ἄν[xo] σύ[rpd-s] παραδίδωμι[viaa1p] αὐτός[rpams]. **v.31** λέγω[viaa3s] οὖν[c] αὐτός[rpdmp] ὁ[dnms] Πιλᾶτος[nnms] λαμβάνω[vdaa2p] αὐτός[rpams] σύ[rpn-p] καί[c] κατά[p] ὁ[dams] νόμος[nams] σύ[rpg-p] κρίνω[vdaa2p] αὐτός[rpams] λέγω[viaa3p] οὖν[c] αὐτός[rpdms] ὁ[dnmp] Ἰουδαῖος[anmpn] ἐγώ[rpd-p] οὐ[xo] ἔξεστι[vipq3s] ἀποκτείνω[vnaa] οὐδείς[aamsn]. **v.32** ἵνα[c] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] Ἰησοῦς[ngms] πληρόω[vsap3s] ὅς[rrams] λέγω[viaa3s] σημαίνω[vppanms] ποῖος[rqdms] θάνατος[ndms] μέλλω[viia3s] ἀποθνῄσκω[vnpa]. **v.33** εἰσέρχομαι[viaa3s] οὖν[c] εἰς[p] ὁ[dans] πραιτώριον[nans] πάλιν[bo] ὁ[dnms] Πιλᾶτος[nnms] καί[c] φωνέω[viaa3s] ὁ[dams] Ἰησοῦς[nams] καί[c] λέγω[viaa3s] αὐτός[rpdms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.34** ἀποκρίνομαι[viad3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἀπό[p] ἑαυτοῦ[rxgms] σύ[rpn-s] οὗτος[rdans] λέγω[vipa2s] ἤ[xo] ἄλλος[anmpn] σύ[rpd-s] λέγω[viaa3p] περί[p] ἐγώ[rpg-s]. **v.35** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Πιλᾶτος[nnms] μήτι[xo] ἐγώ[rpn-s] Ἰουδαῖος[anmsn] εἰμί[vipx1s] ὁ[dnns] ἔθνος[nnns] ὁ[dnns] σός[rsnns] καί[c] ὁ[dnmp] ἀρχιερεύς[nnmp] παραδίδωμι[viaa3p] σύ[rpa-s] ἐγώ[rpd-s] τίς[rqans] ποιέω[viaa2s]. **v.36** ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] οὐ[xo] εἰμί[vipx3s] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] εἰ[qo] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] εἰμί[viix3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] ὁ[dnmp] ὑπηρέτης[nnmp] ἄν[xo] ὁ[dnmp] ἐμός[rpd-s] ἀγωνίζομαι[viin3p] ἵνα[c] μή[xo] παραδίδωμι[vsap1s] ὁ[ddmp] Ἰουδαῖος[admpn] νῦν[bo] δέ[c] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dnfs] ἐμός[rsnfs] οὐ[xo] εἰμί[vipx3s] ἐντεῦθεν[bo].

νημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω
τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς.
38 λέγει αὐτῷ ὁ Πιλάτος, Τί ἐστιν ἀλήθεια· Καὶ τοῦτο εἰπών, πάλιν
ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς, Ἐγὼ οὐδεμίαν
39 αἰτίαν εὑρίσκω ἐν αὐτῷ. ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν
ἀπολύσω ἐν τῷ πάσχα, βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασι-
40 λέα τῶν Ἰουδαίων· ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες,
Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν, ἦν δὲ ὁ Βαραββᾶς λῃστής.
19, 2 Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε. καὶ
οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ
3 τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν, καὶ
ἔλεγον, Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ ἐδίδουν αὐτῷ ῥα-
4 πίσματα. ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς,
Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰ-
5 τίαν εὑρίσκω. ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον
στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐτοῖς, Ἴδε, ὁ
6 ἄνθρωπος. ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται,
ἐκραύγασαν λέγοντες, Σταύρωσον, σταύρωσον. λέγει αὐτοῖς ὁ
Πιλάτος, Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε, ἐγὼ γὰρ οὐχ εὑ-
7 ρίσκω ἐν αὐτῷ αἰτίαν. ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμεῖς

---

v.37 λέγω[viaa3s] οὖν[c] αὐτός[rpdms] ὁ[dnms] Πιλᾶτος[nnms] οὐκοῦν[bo] βασιλεύς[nnms] εἰμί[vipx2s] σύ[rpn-s] ἀποκρίνομαι[viad3s] ὁ[dnms] Ἰησοῦς[nnms] σύ[rpn-s] λέγω[vipa2s] ὅτι[c] βασιλεύς[nnms] εἰμί[vipx1s] ἐγώ[rpn-s] ἐγώ[rpn-s] εἰς[p] οὗτος[rdans] γεννάω[vixp1s] καί[c] εἰς[p] οὗτος[rdans] ἔρχομαι[vixa1s] εἰς[p] ὁ[dams] κόσμος[nams] ἵνα[c] μαρτυρέω[vsaa1s] ὁ[ddfs] ἀλήθεια[ndfs] πᾶς[anmsn] ὁ[dnms] εἰμί[vppxnms] ἐκ[p] ὁ[dgfs] ἀλήθεια[ngfs] ἀκούω[vipa3s] ἐγώ[rpg-s] ὁ[dgfs] φωνή[ngfs]. **v.38** λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Πιλᾶτος[nnms] τίς[rqnns] εἰμί[vipx3s] ἀλήθεια[nnfs] καί[c] οὗτος[rdans] λέγω[vpaanms] πάλιν[bo] ἐξέρχομαι[viaa3s] πρός[p] ὁ[damp] Ἰουδαῖος[aampn] καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἐγώ[rpn-s] οὐδείς[aafsn] αἰτία[nafs] εὑρίσκω[vipa1s] ἐν[p] αὐτός[rpdms]. **v.39** εἰμί[vipx3s] δέ[c] συνήθεια[nnfs] σύ[rpd-p] ἵνα[c] εἷς[nams] σύ[rpd-p] ἀπολύω[vsaa1s] ἐν[p] ὁ[ddms] πάσχα[ta] βούλομαι[vipn2p] οὖν[c] σύ[rpd-p] ἀπολύω[vsaa1s] ὁ[dams] βασιλεύς[nams] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.40** κραυγάζω[viaa3p] οὖν[c] πάλιν[bo] πᾶς[anmpn] λέγω[vppanmp] μή[xo] οὗτος[rdams] ἀλλά[c] ὁ[dams] Βαραββᾶς[nams] εἰμί[viix3s] δέ[c] ὁ[dnms] Βαραββᾶς[nnms] λῃστής[nnms]. **19. v.1** τότε[bo] οὖν[c] λαμβάνω[viaa3s] ὁ[dnms] Πιλᾶτος[nnms] ὁ[dams] Ἰησοῦς[nams] καί[c] μαστιγόω[viaa3s]. **v.2** καί[c] ὁ[dnmp] στρατιώτης[nnmp] πλέκω[vpaanmp] στέφανος[nams] ἐκ[p] ἄκανθα[ngfp] ἐπιτίθημι[viaa3p] αὐτός[rpgms] ὁ[ddfs] κεφαλή[ndfs] καί[c] ἱμάτιον[nans] πορφυροῦς[aansn] περιβάλλω[viaa3p] αὐτός[rpams]. **v.3** καί[c] λέγω[viia3p] χαίρω[vdpa2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn] καί[c] δίδωμι[viia3p] αὐτός[rpdms] ῥάπισμα[nanp]. **v.4** ἐξέρχομαι[viaa3s] οὖν[c] πάλιν[bo] ἔξω[bo] ὁ[dnms] Πιλᾶτος[nnms] καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἴδε[i] ἄγω[vipa1s] σύ[rpd-p] αὐτός[rpams] ἔξω[bo] ἵνα[c] γινώσκω[vsaa2p] ὅτι[c] ἐν[p] αὐτός[rpdms] οὐδείς[aafsn] αἰτία[nafs] εὑρίσκω[vipa1s]. **v.5** ἐξέρχομαι[viaa3s] οὖν[c] ὁ[dnms] Ἰησοῦς[nnms] ἔξω[bo] φορέω[vppanms] ὁ[dams] ἀκάνθινος[aamsn] στέφανος[nams] καί[c] ὁ[dans] πορφυροῦς[aansn] ἱμάτιον[nans] καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] ἴδε[i] ὁ[dnms] ἄνθρωπος[nnms]. **v.6** ὅτε[bo] οὖν[c] ὁράω[viaa3p] αὐτός[rpams] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] ὑπηρέτης[nnmp] κραυγάζω[viaa3p] λέγω[vppanmp] σταυρόω[vdaa2s] σταυρόω[vdaa2s] λέγω[vipa3s] αὐτός[rpdmp] ὁ[dnms] Πιλᾶτος[nnms] λαμβάνω[vdaa2p] αὐτός[rpams] σύ[rpn-p] καί[c] σταυρόω[vdaa2p] ἐγώ[rpn-s] γάρ[c] οὐ[xo] εὑρίσκω[vipa1s] ἐν[p] αὐτός[rpdms] αἰτία[nafs].

νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι
ἑαυτὸν υἱὸν τοῦ Θεοῦ ἐποίησεν. ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος 8
τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, καὶ εἰσῆλθεν εἰς τὸ πραι- 9
τώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ, Πόθεν εἶ σύ· ὁ δὲ Ἰησοῦς
ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. λέγει οὖν αὐτῷ ὁ Πιλάτος, Ἐ- 10
μοὶ οὐ λαλεῖς· οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ
ἐξουσίαν ἔχω ἀπολῦσαι σε· ἀπεκρίθη ὁ Ἰησοῦς, Οὐκ εἶχες ἐξ- 11
ουσίαν οὐδεμίαν κατ᾽ ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν,
διὰ τοῦτο ὁ παραδιδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει. ἐκ τού- 12
του ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν. οἱ δὲ Ἰουδαῖοι ἔκραζον
λέγοντες, Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος,
πᾶς ὁ βασιλέα αὑτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι. ὁ οὖν Πι- 13
λάτος ἀκούσας τοῦτον τὸν λόγον ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ
ἐκάθισεν ἐπὶ τοῦ βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον,
Ἑβραϊστὶ δὲ Γαββαθα, ἦν δὲ Παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ 14
ὡσεὶ ἕκτη, καὶ λέγει τοῖς Ἰουδαίοις, Ἴδε, ὁ βασιλεὺς ὑμῶν. οἱ 15
δὲ ἐκραύγασαν, Ἆρον, ἆρον, σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ
Πιλάτος, Τὸν βασιλέα ὑμῶν σταυρώσω· ἀπεκρίθησαν οἱ ἀρχιε-
ρεῖς, Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. τότε οὖν παρέδωκεν 16
αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀ-
πήγαγον, καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ ἐξῆλθεν εἰς τὸν λε- 17

---

σάρκα ἀναστήσειν τὸν Χριστόν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐ-
31 τοῦ, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι
οὐ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε
32 διαφθοράν. τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, οὗ πάντες
33 ἡμεῖς ἐσμεν μάρτυρες. τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς, τήν
τε ἐπαγγελίαν τοῦ Ἁγίου Πνεύματος λαβὼν παρὰ τοῦ πατρός,
34 ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. οὐ γὰρ Δαβὶδ
ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός, Εἶπεν ὁ Κύριος τῷ

---

v.24 ὅς[rrams] ὁ[dnms] θεός[nnms] ἀνίστημι[viaa3s] λύω[vpaanms] ὁ[dafp] ὠδίν[nafp] ὁ[dgms] θάνατος[ngms] καθότι[bo] οὐ[xo] εἰμί[viix3s] δυνατός[annsn] κρατέω[vnpp] αὐτός[rpams] ὑπό[p] αὐτός[rpgms]. **v.25** Δαυίδ[tp] γάρ[c] λέγω[vipa3s] εἰς[p] αὐτός[rpams] προοράω[viim1s] ὁ[dams] κύριος[nams] ἐνώπιον[bo] ἐγώ[rpg-s] διά[p] πᾶς[agmsn] ὅτι[c] ἐκ[p] δεξιός[agmpn] ἐγώ[rpg-s] εἰμί[vipx3s] ἵνα[c] μή[xo] σαλεύω[vsap1s]. **v.26** διά[p] οὗτος[rdans] εὐφραίνω[viap3s] ὁ[dnfs] καρδία[nnfs] ἐγώ[rpg-s] καί[c] ἀγαλλιάω[viad3s] ὁ[dnfs] γλῶσσα[nnfs] ἐγώ[rpg-s] ἔτι[bo] δέ[c] καί[c] ὁ[dnfs] σάρξ[nnfs] ἐγώ[rpg-s] κατασκηνόω[vifa3s] ἐπί[p] ἐλπίς[ndfs]. **v.27** ὅτι[c] οὐ[xo] ἐγκαταλείπω[vifa2s] ὁ[dafs] ψυχή[nafs] ἐγώ[rpg-s] εἰς[p] ᾅδης[ngms] οὐδέ[bo] δίδωμι[vifa2s] ὁ[dams] ὅσιος[aamsn] σύ[rpg-s] ὁράω[vnaa] διαφθορά[nafs]. **v.28** γνωρίζω[viaa2s] ἐγώ[rpd-s] ὁδός[nafp] ζωή[ngfs] πληρόω[vifa2s] ἐγώ[rpa-s] εὐφροσύνη[ngfs] μετά[p] ὁ[dgns] πρόσωπον[ngns] σύ[rpg-s]. **v.29** ἀνήρ[nvmp] ἀδελφός[nvmp] ἔξεστι[vppqnns] λέγω[vnaa] μετά[p] παρρησία[ngfs] πρός[p] σύ[rpa-p] περί[p] ὁ[dgms] πατριάρχης[ngms] Δαυίδ[tp] ὅτι[c] καί[c] τελευτάω[viaa3s] καί[c] θάπτω[viap3s] καί[c] ὁ[dnns] μνῆμα[nnns] αὐτός[rpgms] εἰμί[vipx3s] ἐν[p] ἐγώ[rpd-p] ἄχρι[p] ὁ[dgfs] ἡμέρα[ngfs] οὗτος[rdgfs]. **v.30** προφήτης[nnms] οὖν[c] ὑπάρχω[vppanms] καί[c] οἶδα[vpxanms] ὅτι[c] ὅρκος[ndms] ὀμνύω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] θεός[nnms] ἐκ[p] καρπός[ngms] ὁ[dgfs] ὀσφύς[ngfs] αὐτός[rpgms] ὁ[dans] κατά[p] σάρξ[nafs] ἀνίστημι[vnfa] ὁ[dams] Χριστός[nams] καθίζω[vnaa] ἐπί[p] ὁ[dgms] θρόνος[ngms] αὐτός[rpgms]. **v.31** προοράω[vpaanms] λαλέω[viaa3s] περί[p] ὁ[dgfs] ἀνάστασις[ngfs] ὁ[dgms] Χριστός[ngms] ὅτι[c] ὅς[xo] καταλείπω[viap3s] ὁ[dnfs] ψυχή[nnfs] αὐτός[rpgms] εἰς[p] ᾅδης[ngms] οὐδέ[bo] ὁ[dnfs] σάρξ[nnfs] αὐτός[rpgms] ὁράω[viaa3s] διαφθορά[nafs]. **v.32** οὗτος[rdams] ὁ[dams] Ἰησοῦς[nams] ἀνίστημι[viaa3s] ὁ[dnms] θεός[nnms] ὅς[rrgms] πᾶς[anmpn] ἐγώ[rpn-p] εἰμί[vipx1p] μάρτυς[nnmp]. **v.33** ὁ[ddfs] δεξιός[adfsn] οὖν[c] ὁ[dgms] θεός[ngms] ὑψόω[vpapnms] ὁ[dafs] τέ[xo] ἐπαγγελία[nafs] ὁ[dgns] ἅγιος[agnsn] πνεῦμα[ngns] λαμβάνω[vpaanms] παρά[p] ὁ[dgms] πατήρ[ngms] ἐκχέω[viaa3s] οὗτος[rdans] ὅς[rrans] νῦν[bo] σύ[rpn-p] βλέπω[vipa2p] καί[c] ἀκούω[vipa2p].

Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς 35
σου ὑποπόδιον τῶν ποδῶν σου. ἀσφαλῶς οὖν γινωσκέτω πᾶς 36
οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποί-
ησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. Ἀκούσαντες δὲ 37
κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς
λοιποὺς ἀποστόλους, Τί ποιήσομεν, ἄνδρες ἀδελφοί· Πέτρος 38
δὲ ἔφη πρὸς αὐτούς, Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος
ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ
λήψεσθε τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος. ὑμῖν γάρ ἐστιν ἡ 39
ἐπαγγελία, καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακράν,
ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν. ἑτέροις τε λό- 40
γοις πλείοσι διεμαρτύρετο καὶ παρεκάλει λέγων, Σώθητε ἀπὸ
τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. οἱ μὲν οὖν ἀσμένως ἀποδε- 41
ξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ
ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. ἦσαν δὲ προσκαρτεροῦν- 42
τες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει
τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς. Ἐγένετο δὲ πάσῃ ψυχῇ φό- 43
βος, πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο.
πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό, καὶ εἶχον ἅπαντα 44
κοινά, καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διε- 45
μέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχε. καθ᾽ ἡμέραν τε 46

---

v.34 οὐ[xo] γάρ[c] Δαυίδ[tp] ἀναβαίνω[viaa3s] εἰς[p] ὁ[damp] οὐρανός[namp] λέγω[vipa3s] δέ[c] αὐτός[rpnms] λέγω[viaa3s] ὁ[dnms] κύριος[nnms] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-s] κάθημαι[vdpn2s] ἐκ[p] δεξιός[agmpn] ἐγώ[rpg-s]. **v.35** ἕως[c] ἄν[xo] τίθημι[vsaa1s] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-s] ὑποπόδιον[nans] ὁ[dgmp] πούς[ngmp] σύ[rpg-s]. **v.36** ἀσφαλῶς[bo] οὖν[c] γινώσκω[vdpa3s] πᾶς[anmsn] οἶκος[nnms] Ἰσραήλ[tp] ὅτι[c] καί[c] κύριος[nams] καί[c] Χριστός[nams] αὐτός[rpams] ὁ[dnms] θεός[nnms] ποιέω[viaa3s] οὗτος[rdams] ὁ[dams] Ἰησοῦς[nams] ὅς[rrams] σύ[rpn-p] σταυρόω[viaa2p]. **v.37** ἀκούω[vpaanmp] δέ[c] κατανύσσομαι[viap3p] ὁ[ddfs] καρδία[ndfs] λέγω[viaa3p] τέ[xo] πρός[p] ὁ[dams] Πέτρος[nams] καί[c] ὁ[damp] λοιπός[aampn] ἀπόστολος[namp] τίς[rqans] ποιέω[vifa1p] ἀνήρ[nvmp] ἀδελφός[nvmp]. **v.38** Πέτρος[nnms] δέ[c] φημί[viix3s] πρός[p] αὐτός[rpamp] μετανοέω[vdaa2p] καί[c] βαπτίζω[vdap3s] ἕκαστος[anmsn] σύ[rpg-p] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] Ἰησοῦς[ngms] Χριστός[ngms] εἰς[p] ἄφεσις[nafs] ἁμαρτία[ngfp] καί[c] λαμβάνω[vifd2p] ὁ[dafs] δωρεά[nafs] ὁ[dgns] ἅγιος[agnsn] πνεῦμα[ngns]. **v.39** σύ[rpd-p] γάρ[c] εἰμί[vipx3s] ὁ[dnfs] ἐπαγγελία[nnfs] καί[c] ὁ[ddnp] τέκνον[ndnp] σύ[rpg-p] καί[c] πᾶς[admpn] ὁ[ddmp] εἰς[p] μακρός[bo] ὅσος[rcamp] ἄν[xo] προσκαλέομαι[vsad3s] κύριος[nnms] ὁ[dnms] θεός[nnms] ἐγώ[rpg-p]. **v.40** ἕτερος[admpn] τέ[xo] λόγος[ndmp] πολύς[admpc] διαμαρτύρομαι[viin3s] καί[c] παρακαλέω[viia3s] λέγω[vppanms] σῴζω[vdap2p] ἀπό[p] ὁ[dgfs] γενεά[ngfs] ὁ[dgfs] σκολιός[agfsn] οὗτος[rdgfs]. **v.41** ὁ[dnmp] μέν[xo] οὖν[c] ἀσμένως[bo] ἀποδέχομαι[vpadnmp] ὁ[dams] λόγος[nams] αὐτός[rpgms] βαπτίζω[viap3p] καί[c] προστίθημι[viap3p] ὁ[ddfs] ἡμέρα[ndfs] ἐκεῖνος[rddfs] ψυχή[nnfp] ὡσεί[bo] τρισχίλιοι[nnfp]. **v.42** εἰμί[viix3p] δέ[c] προσκαρτερέω[vppanmp] ὁ[ddfs] διδαχή[ndfs] ὁ[dgmp] ἀπόστολος[ngmp] καί[c] ὁ[ddfs] κοινωνία[ndfs] καί[c] ὁ[ddfs] κλάσις[ndfs] ὁ[dgms] ἄρτος[ngms] καί[c] ὁ[ddfp] προσευχή[ndfp]. **v.43** γίνομαι[viad3s] δέ[c] πᾶς[adfsn] ψυχή[ndfs] φόβος[nnms] πολύς[annpn] τέ[xo] τέρας[nnnp] καί[c] σημεῖον[nnnp] διά[p] ὁ[dgmp] ἀπόστολος[ngmp] γίνομαι[viin3s]. **v.44** πᾶς[anmpn] δέ[c] ὁ[dnmp] πιστεύω[vppanmp] εἰμί[viix3p] ἐπί[p] ὁ[dans] αὐτός[rpans] καί[c] ἔχω[viia3p] ἅπας[aanpn] κοινός[aanpn]. **v.45** καί[c] ὁ[danp] κτῆμα[nanp] καί[c] ὁ[dafp] ὕπαρξις[nafp] πιπράσκω[viia3p] καί[c] διαμερίζω[viia3p] αὐτός[rpanp] πᾶς[admpn] καθότι[bo] ἄν[xo] τι-σρινμσ χρεία[nafs] ἔχω[viia3s].

προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ᾽ οἶ-
κον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι
47 καρδίας, αἰνοῦντες τὸν Θεόν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν
λαόν. ὁ δὲ Κύριος προσετίθει τοὺς σωζομένους καθ᾽ ἡμέραν τῇ
ἐκκλησίᾳ.

3 Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν
2 ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην. καί τις ἀνὴρ χωλὸς
ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ᾽
ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην Ὡραίαν, τοῦ
3 αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. ὃς
ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα
4 ἐλεημοσύνην. ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ,
5 εἶπε, Βλέψον εἰς ἡμᾶς. ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι
6 παρ᾽ αὐτῶν λαβεῖν. εἶπε δὲ Πέτρος, Ἀργύριον καὶ χρυσίον οὐχ
ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. ἐν τῷ ὀνόματι Ἰησοῦ
7 Χριστοῦ τοῦ Ναζωραίου, ἔγειραι καὶ περιπάτει. καὶ πιάσας
αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε, παραχρῆμα δὲ ἐστερεώθησαν
8 αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά. καὶ ἐξαλλόμενος ἔστη καὶ πε-
ριεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερόν, περιπατῶν καὶ
9 ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν. καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς
10 περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν, ἐπεγίνωσκόν τε αὐτὸν

---

v.46 κατά[p] ἡμέρα[nafs] τέ[xo] προσκαρτερέω[vppanmp] ὁμοθυμαδόν[bo] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] κλάω[vppanmp] τέ[xo] κατά[p] οἶκος[nams] ἄρτος[nams] μεταλαμβάνω[viia3p] τροφή[ngfs] ἐν[p] ἀγαλλίασις[ndfs] καί[c] ἀφελότης[ndfs] καρδία[ngfs]. **v.47** αἰνέω[vppanmp] ὁ[dams] θεός[nams] καί[c] ἔχω[vppanmp] χάρις[nafs] πρός[p] ὅλος[aamsn] ὁ[dams] λαός[nams] ὁ[dnms] δέ[c] κύριος[nnms] προστίθημι[viia3s] ὁ[damp] σῴζω[vpppamp] κατά[p] ἡμέρα[nafs] ὁ[ddfs] ἐκκλησία[ndfs]. **3. v.1** ἐπί[p] ὁ[dans] αὐτός[rpans] δέ[c] Πέτρος[nnms] καί[c] Ἰωάννης[nnms] ἀναβαίνω[viia3p] εἰς[p] ὁ[dans] ἱερόν[nans] ἐπί[p] ὁ[dafs] ὥρα[nafs] ὁ[dgfs] προσευχή[ngfs] ὁ[dafs] ἔνατος[aafsn]. **v.2** καί[c] τι-σρινμσ ἀνήρ[nnms] χωλός[anmsn] ἐκ[p] κοιλία[ngfs] μήτηρ[ngfs] αὐτός[rpgms] ὑπάρχω[vppanms] βαστάζω[viip3s] ὅς[rrams] τίθημι[viia3p] κατά[p] ἡμέρα[nafs] πρός[p] ὁ[dafs] θύρα[nafs] ὁ[dgns] ἱερόν[ngns] ὁ[dafs] λέγω[vpppafs] ὡραῖος[aafsn] ὁ[dgms] αἰτέω[vnpa] ἐλεημοσύνη[nafs] παρά[p] ὁ[dgmp] εἰσπορεύομαι[vppngmp] εἰς[p] ὁ[dans] ἱερόν[nans]. **v.3** ὅς[rrnms] ὁράω[vpaanms] Πέτρος[nams] καί[c] Ἰωάννης[nams] μέλλω[vppaamp] εἴσειμι[vnpx] εἰς[p] ὁ[dans] ἱερόν[nans] ἐρωτάω[viia3s] ἐλεημοσύνη[nafs]. **v.4** ἀτενίζω[vpaanms] δέ[c] Πέτρος[nnms] εἰς[p] αὐτός[rpams] σύν[p] ὁ[ddms] Ἰωάννης[ndms] λέγω[viaa3s] βλέπω[vdaa2s] εἰς[p] ἐγώ[rpa-p]. **v.5** ὁ[dnms] δέ[c] ἐπέχω[viia3s] αὐτός[rpdmp] προσδοκάω[vppanms] τι-σ-ριανσ παρά[p] αὐτός[rpgmp] λαμβάνω[vnaa]. **v.6** λέγω[viaa3s] δέ[c] Πέτρος[nnms] ἀργύριον[nans] καί[c] χρυσίον[nans] οὐ[xo] ὑπάρχω[vipa3s] ἐγώ[rpd-s] ὅς[rrans] δέ[c] ἔχω[vipa1s] οὗτος[rdans] σύ[rpd-s] δίδωμι[vipa1s] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] Ναζωραῖος[ngms] ἐγείρω[vdam2s] καί[c] περιπατέω[vdpa2s]. **v.7** καί[c] πιάζω[vpaanms] αὐτός[rpams] ὁ[dgfs] δεξιός[agfsn] χείρ[ngfs] ἐγείρω[viaa3s] παραχρῆμα[bo] δέ[c] στερεόω[viap3p] αὐτός[rpgms] ὁ[dnfp] βάσις[nnfp] καί[c] ὁ[dnnp] σφυρόν[nnnp]. **v.8** καί[c] ἐξάλλομαι[vppnnms] ἵστημι[viaa3s] καί[c] περιπατέω[viia3s] καί[c] εἰσέρχομαι[viaa3s] σύν[p] αὐτός[rpdmp] εἰς[p] ὁ[dans] ἱερόν[nans] περιπατέω[vppanms] καί[c] ἅλλομαι[vppnnms] καί[c] αἰνέω[vppanms] ὁ[dams] θεός[nams]. **v.9** καί[c] ὁράω[viaa3s] αὐτός[rpams] πᾶς[anmsn] ὁ[dnms] λαός[nnms] περιπατέω[vppaams] καί[c] αἰνέω[vppaams] ὁ[dams] θεός[nams].

ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ
πύλῃ τοῦ ἱεροῦ, καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ
τῷ συμβεβηκότι αὐτῷ. Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν 11
Πέτρον καὶ Ἰωάννην, συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ
τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος, ἔκθαμβοι. ἰδὼν δὲ Πέτρος 12
ἀπεκρίνατο πρὸς τὸν λαόν, Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε
ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πε-
ποιηκόσι τοῦ περιπατεῖν αὐτόν· ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ 13
καὶ Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ἐδόξασε τὸν παῖδα αὐ-
τοῦ Ἰησοῦν, ὃν ὑμεῖς παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ
πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. ὑμεῖς δὲ 14
τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα
χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ 15
Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. καὶ ἐπὶ 16
τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε
ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐ-
τῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν. καὶ νῦν, 17
ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχον-
τες ὑμῶν. ὁ δὲ Θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων 18
τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν Χριστόν, ἐπλήρωσεν οὕτω.
μετανοήσατε οὖν καὶ ἐπιστρέψατε, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν 19
τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώ-

---

v.10 ἐπιγινώσκω[viia3p] τέ[xo] αὐτός[rpams] ὅτι[c] οὗτος[rdnms] εἰμί[viix3s] ὁ[dnms] πρός[p] ὁ[dafs] ἐλεημοσύνη[nafs] κάθημαι[vppnnms] ἐπί[p] ὁ[ddfs] ὡραῖος[adfsn] πύλη[ndfs] ὁ[dgns] ἱερόν[ngns] καί[c] πίμπλημι[viap3p] θάμβος[ngns] καί[c] ἔκστασις[ngfs] ἐπί[p] ὁ[ddns] συμβαίνω[vpxadns] αὐτός[rpdms]. **v.11** κρατέω[vppagms] δέ[c] ὁ[dgms] ἰάομαι[vpapgms] χωλός[agmpn] ὁ[dams] Πέτρος[nams] καί[c] Ἰωάννης[nams] συντρέχω[viaa3s] πρός[p] αὐτός[rpamp] πᾶς[anmsn] ὁ[dnms] λαός[nnms] ἐπί[p] ὁ[ddfs] στοά[ndfs] ὁ[ddfs] καλέω[vpppdfs] Σολομών[ngms] ἔκθαμβος[anmpn]. **v.12** ὁράω[vpaanms] δέ[c] Πέτρος[nnms] ἀποκρίνομαι[viad3s] πρός[p] ὁ[dams] λαός[nams] ἀνήρ[nvmp] Ἰσραηλίτης[nvmp] τίς[rqans] θαυμάζω[vipa2p] ἐπί[p] οὗτος[rddns] ἤ[xo] ἐγώ[rpd-p] τίς[rqans] ἀτενίζω[vipa2p] ὡς[bo] ἴδιος[adfsn] δύναμις[ndfs] ἤ[xo] εὐσέβεια[ndfs] ποιέω[vpxadmp] ὁ[dgms] περιπατέω[vnpa] αὐτός[rpams]. **v.13** ὁ[dnms] θεός[nnms] Ἀβραάμ[tp] καί[c] Ἰσαάκ[tp] καί[c] Ἰακώβ[tp] ὁ[dnms] θεός[nnms] ὁ[dgmp] πατήρ[ngmp] ἐγώ[rpg-p] δοξάζω[viaa3s] ὁ[dams] παῖς[nams] αὐτός[rpgms] Ἰησοῦς[nams] ὅς[rrams] σύ[rpn-p] παραδίδωμι[viaa2p] καί[c] ἀρνέομαι[viad2p] αὐτός[rpams] κατά[p] πρόσωπον[nans] Πιλᾶτος[ngms] κρίνω[vpaagms] ἐκεῖνος[rdgms] ἀπολύω[vnpa]. **v.14** σύ[rpn-p] δέ[c] ὁ[dams] ἅγιος[aamsn] καί[c] δίκαιος[aamsn] ἀρνέομαι[viad2p] καί[c] αἰτέω[viam2p] ἀνήρ[nams] φονεύς[nams] χαρίζομαι[vnap] σύ[rpd-p]. **v.15** ὁ[dams] δέ[c] ἀρχηγός[nams] ὁ[dgfs] ζωή[ngfs] ἀποκτείνω[viaa2p] ὅς[rrams] ὁ[dnms] θεός[nnms] ἐγείρω[viaa3s] ἐκ[p] νεκρός[agmpn] ὅς[rrgms] ἐγώ[rpn-p] μάρτυς[nnmp] εἰμί[vipx1p]. **v.16** καί[c] ἐπί[p] ὁ[ddfs] πίστις[ndfs] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgms] οὗτος[rdams] ὅς[rrams] θεωρέω[vipa2p] καί[c] οἶδα[vixa2p] στερεόω[viaa3s] ὁ[dnns] ὄνομα[nnns] αὐτός[rpgms] καί[c] ὁ[dnfs] πίστις[nnfs] ὁ[dnfs] διά[p] αὐτός[rpgms] δίδωμι[viaa3s] αὐτός[rpdms] ὁ[dafs] ὁλοκληρία[nafs] οὗτος[rdafs] ἀπέναντι[bo] πᾶς[agmpn] σύ[rpg-p]. **v.17** καί[c] νῦν[bo] ἀδελφός[nvmp] οἶδα[vixa1s] ὅτι[c] κατά[p] ἄγνοια[nafs] πράσσω[viaa2p] ὥσπερ[bo] καί[c] ὁ[dnmp] ἄρχων[nnmp] σύ[rpg-p]. **v.18** ὁ[dnms] δέ[c] θεός[nnms] ὅς[rranp] προκαταγγέλλω[viaa3s] διά[p] στόμα[ngns] πᾶς[agmpn] ὁ[dgmp] προφήτης[ngmp] αὐτός[rpgms] πάσχω[vnaa] ὁ[dams] Χριστός[nams] πληρόω[viaa3s] οὕτω[bo].

20 που τοῦ Κυρίου, καὶ ἀποστείλῃ τὸν προκεκηρυγμένον ὑμῖν
21 Ἰησοῦν Χριστόν, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων
ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος
22 πάντων ἁγίων αὐτοῦ προφητῶν ἀπ᾽ αἰῶνος. Μωσῆς μὲν γὰρ
πρὸς τούς πατέρας εἶπεν ὅτι Προφήτην ὑμῖν ἀναστήσει Κύριος
ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε
23 κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. ἔσται δέ, πᾶσα ψυχή,
ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται
24 ἐκ τοῦ λαοῦ. καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ
τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ προκατήγγειλαν τὰς ἡμέρας
25 ταύτας. ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης ἧς
διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ,
Καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς
26 γῆς. ὑμῖν πρῶτον ὁ Θεός, ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰη-
σοῦν, ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν
ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

4 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαόν, ἐπέστησαν αὐτοῖς οἱ ἱε-
2 ρεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι, διαπονού-
μενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαόν, καὶ καταγγέλλειν ἐν τῷ
3 Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν. καὶ ἐπέβαλον αὐτοῖς τὰς
χεῖρας, καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον, ἦν γὰρ ἑσπέρα

---

v.19 μετανοέω[vdaa2p] οὖν[c] καί[c] ἐπιστρέφω[vdaa2p] εἰς[p] ὁ[dans] ἐξαλείφω[vnap] σύ[rpg-p] ὁ[dafp] ἁμαρτία[nafp] ὅπως[bo] ἄν[xo] ἔρχομαι[vsaa3p] καιρός[nnmp] ἀνάψυξις[ngfs] ἀπό[p] πρόσωπον[ngns] ὁ[dgms] κύριος[ngms]. **v.20** καί[c] ἀποστέλλω[vsaa3s] ὁ[dams] προκηρύσσω[vpxpams] σύ[rpd-p] Ἰησοῦς[nams] Χριστός[nams]. **v.21** ὅς[rrams] δεῖ[vipq3s] οὐρανός[nams] μέν[xo] δέχομαι[vnad] ἄχρι[p] χρόνος[ngmp] ἀποκατάστασις[ngfs] πᾶς[agnpn] ὅς[rrgnp] λαλέω[viaa3s] ὁ[dnms] θεός[nnms] διά[p] στόμα[ngns] πᾶς[agmpn] ἅγιος[agmpn] αὐτός[rpgms] προφήτης[ngmp] ἀπό[p] αἰών[ngms]. **v.22** Μωϋσῆς[nnms] μέν[xo] γάρ[c] πρός[p] ὁ[damp] πατήρ[namp] λέγω[viaa3s] ὅτι[c] προφήτης[nams] σύ[rpd-p] ἀνίστημι[vifa3s] κύριος[nnms] ὁ[dnms] θεός[nnms] σύ[rpg-p] ἐκ[p] ὁ[dgmp] ἀδελφός[ngmp] σύ[rpg-p] ὡς[bo] ἐγώ[rpa-s] αὐτός[rpgms] ἀκούω[vifd2p] κατά[p] πᾶς[aanpn] ὅσος[rcanp] ἄν[xo] λαλέω[vsaa3s] πρός[p] σύ[rpa-p]. **v.23** εἰμί[vifx3s] δέ[c] πᾶς[anfsn] ψυχή[nnfs] ὅστις[rrnfs] ἄν[xo] μή[xo] ἀκούω[vsaa3s] ὁ[dgms] προφήτης[ngms] ἐκεῖνος[rdgms] ἐξολεθρεύω[vifp3s] ἐκ[p] ὁ[dgms] λαός[ngms]. **v.24** καί[c] πᾶς[anmpn] δέ[c] ὁ[dnmp] προφήτης[nnmp] ἀπό[p] Σαμουήλ[tp] καί[c] ὁ[dgmp] καθεξῆς[bo] ὅσος[rcnmp] λαλέω[viaa3p] καί[c] προκαταγγέλλω[viaa3p] ὁ[dafp] ἡμέρα[nafp] οὗτος[rdafp]. **v.25** σύ[rpn-p] εἰμί[vipx2p] υἱός[nnmp] ὁ[dgmp] προφήτης[ngmp] καί[c] ὁ[dgfs] διαθήκη[ngfs] ὅς[rrgfs] διατίθημι[viam3s] ὁ[dnms] θεός[nnms] πρός[p] ὁ[damp] πατήρ[namp] ἐγώ[rpg-p] λέγω[vppanms] πρός[p] Ἀβραάμ[tp] καί[c] ὁ[ddns] σπέρμα[ndns] σύ[rpg-s] ἐνευλογέω[vifp3p] πᾶς[anfpn] ὁ[dnfp] πατριά[nnfp] ὁ[dgfs] γῆ[ngfs]. **v.26** σύ[rpd-p] πρῶτος[bo] ὁ[dnms] θεός[nnms] ἀνίστημι[vpaanms] ὁ[dams] παῖς[nams] αὐτός[rpgms] Ἰησοῦς[nams] ἀποστέλλω[viaa3s] αὐτός[rpams] εὐλογέω[vppaams] σύ[rpa-p] ἐν[p] ὁ[ddms] ἀποστρέφω[vnpa] ἕκαστος[aamsn] ἀπό[p] ὁ[dgfp] πονηρία[ngfp] σύ[rpg-p]. **4. v.1** λαλέω[vppagmp] δέ[c] αὐτός[rpgmp] πρός[p] ὁ[dams] λαός[nams] ἐφίστημι[viaa3p] αὐτός[rpdmp] ὁ[dnmp] ἱερεύς[nnmp] καί[c] ὁ[dnms] στρατηγός[nnms] ὁ[dgns] ἱερόν[ngns] καί[c] ὁ[dnmp] Σαδδουκαῖος[nnmp]. **v.2** διαπονέομαι[vppnnmp] διά[p] ὁ[dans] διδάσκω[vnpa] αὐτός[rpamp] ὁ[dams] λαός[nams] καί[c] καταγγέλλω[vnpa] ἐν[p] ὁ[ddms] Ἰησοῦς[ndms] ὁ[dafs] ἀνάστασις[nafs] ὁ[dafs] ἐκ[p] νεκρός[agmpn].

ἤδη. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ 4
ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε. Ἐγένετο 5
δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρε-
σβυτέρους καὶ γραμματεῖς. εἰς Ἱερουσαλήμ, καὶ Ἄνναν τὸν 6
ἀρχιερέα, καὶ Καϊάφαν, καὶ Ἰωάννην, καὶ Ἀλέξανδρον, καὶ ὅ-
σοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. καὶ στήσαντες αὐτοὺς ἐν τῷ 7
μέσῳ, ἐπυνθάνοντο, Ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιή-
σατε τοῦτο ὑμεῖς· τότε Πέτρος πλησθεὶς Πνεύματος Ἁγίου εἶπε 8
πρὸς αὐτούς, Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ,
εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀ- 9
σθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ 10
παντὶ τῷ λαῷ Ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Να-
ζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν,
ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. οὗτός ἐστιν ὁ 11
λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος
εἰς κεφαλὴν γωνίας. καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία, 12
οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν
ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. Θεωροῦντες δὲ τὴν τοῦ 13
Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄν-
θρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν
τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. τὸν δὲ ἄνθρωπον βλέποντες 14

---

v.3 καί[c] ἐπιβάλλω[viaa3p] αὐτός[rpdmp] ὁ[dafp] χείρ[nafp] καί[c] τίθημι[viam3p] εἰς[p] τήρησις[nafs] εἰς[p] ὁ[dafs] αὔριον[bo] εἰμί[viix3s] γάρ[c] ἑσπέρα[nnfs] ἤδη[bo]. **v.4** πολύς[anmpn] δέ[c] ὁ[dgmp] ἀκούω[vpaagmp] ὁ[dams] λόγος[nams] πιστεύω[viaa3p] καί[c] γίνομαι[viao3s] ὁ[dnms] ἀριθμός[nnms] ὁ[dgmp] ἀνήρ[ngmp] ὡσεί[bo] χιλιάς[nnfp] πέντε[tn]. **v.5** γίνομαι[viad3s] δέ[c] ἐπί[p] ὁ[dafs] αὔριον[bo] συνάγω[vnap] αὐτός[rpgmp] ὁ[damp] ἄρχων[namp] καί[c] πρεσβύτερος[aampn] καί[c] γραμματεύς[namp]. **v.6** εἰς[p] Ἱερουσαλήμ[tp] καί[c] Ἄννας[nams] ὁ[dams] ἀρχιερεύς[nams] καί[c] Καϊάφας[nams] καί[c] Ἰωάννης[nams] καί[c] Ἀλέξανδρος[nams] καί[c] ὅσος[rcnmp] εἰμί[viix3p] ἐκ[p] γένος[ngns] ἀρχιερατικός[agnsn]. **v.7** καί[c] ἵστημι[vpaanmp] αὐτός[rpamp] ἐν[p] ὁ[ddns] μέσος[adnsn] πυνθάνομαι[viin3p] ἐν[p] ποῖος[rqdfs] δύναμις[ndfs] ἤ[xo] ἐν[p] ποῖος[rqdns] ὄνομα[ndns] ποιέω[viaa2p] οὗτος[rdans] σύ[rpn-p]. **v.8** τότε[bo] Πέτρος[nnms] πίμπλημι[vpapnms] πνεῦμα[ngns] ἅγιος[agnsn] λέγω[viaa3s] πρός[p] αὐτός[rpamp] ἄρχων[nvmp] ὁ[dgms] λαός[ngms] καί[c] πρεσβύτερος[avmpn] ὁ[dgms] Ἰσραήλ[tp]. **v.9** εἰ[qo] ἐγώ[rpn-p] σήμερον[bo] ἀνακρίνω[vipp1p] ἐπί[p] εὐεργεσία[ndfs] ἄνθρωπος[ngms] ἀσθενής[agmsn] ἐν[p] τίς[rqdms] οὗτος[rdnms] σῴζω[vixp3s]. **v.10** γνωστός[annsn] εἰμί[vdpx3s] πᾶς[admpn] σύ[rpd-p] καί[c] πᾶς[admsn] ὁ[ddms] λαός[ndms] Ἰσραήλ[tp] ὅτι[c] ἐν[p] ὁ[ddns] ὄνομα[ndns] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] Ναζωραῖος[ngms] ὅς[rrams] σύ[rpn-p] σταυρόω[viaa2p] ὅς[rrams] ὁ[dnms] θεός[nnms] ἐγείρω[viaa3s] ἐκ[p] νεκρός[agmpn] ἐν[p] οὗτος[rddns] οὗτος[rdnms] παρίστημι[vixa3s] ἐνώπιον[bo] σύ[rpg-p] ὑγιής[anmsn]. **v.11** οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] λίθος[nnms] ὁ[dnms] ἐξουθενέω[vpapnms] ὑπό[p] σύ[rpg-p] ὁ[dgmp] οἰκοδομέω[vppagmp] ὁ[dnms] γίνομαι[vpadnms] εἰς[p] κεφαλή[nafs] γωνία[ngfs]. **v.12** καί[c] οὐ[xo] εἰμί[vipx3s] ἐν[p] ἄλλος[admsn] οὐδείς[admsn] ὁ[dnfs] σωτηρία[nnfs] οὔτε[c] γάρ[c] ὄνομα[nnns] εἰμί[vipx3s] ἕτερος[annsn] ὑπό[p] ὁ[dams] οὐρανός[nams] ὁ[dnns] δίδωμι[vpxpnns] ἐν[p] ἄνθρωπος[ndmp] ἐν[p] ὅς[rrdns] δεῖ[vipq3s] σῴζω[vnap] ἐγώ[rpa-p]. **v.13** θεωρέω[vppanmp] δέ[c] ὁ[dafs] ὁ[dgms] Πέτρος[ngms] παρρησία[nafs] καί[c] Ἰωάννης[ngms] καί[c] καταλαμβάνω[vpamnmp] ὅτι[c] ἄνθρωπος[nnmp] ἀγράμματος[anmpn] εἰμί[vipx3p] καί[c] ἰδιώτης[nnmp] θαυμάζω[viia3p] ἐπιγινώσκω[viia3p] τέ[xo] αὐτός[rpamp] ὅτι[c] σύν[p] ὁ[ddms] Ἰησοῦς[ndms] εἰμί[viix3p].

σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.
15 κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλον
16 πρὸς ἀλλήλους, λέγοντες, Τί ποιήσομεν τοῖς ἀνθρώποις τού-
τοις· ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι᾽ αὐτῶν, πᾶσι τοῖς
κατοικοῦσιν Ἰερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσα-
17 σθαι. ἀλλ᾽ ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ
ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μη-
18 δενὶ ἀνθρώπων. καὶ καλέσαντες αὐτούς, παρήγγειλαν αὐτοῖς
τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ
19 Ἰησοῦ. ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτοὺς
εἶπον, Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλ-
20 λον ἢ τοῦ Θεοῦ, κρίνατε. οὐ δυνάμεθα γὰρ ἡμεῖς, ἃ εἴδομεν
21 καὶ ἠκούσαμεν, μὴ λαλεῖν. οἱ δὲ προσαπειλησάμενοι ἀπέ-
λυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτούς,
διὰ τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι.
22 ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος ἐφ᾽ ὃν ἐγεγό-
23 νει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως. Ἀπολυθέντες δὲ ἦλθον πρὸς
τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ
24 οἱ πρεσβύτεροι εἶπον. οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν
φωνὴν πρὸς τὸν Θεόν, καὶ εἶπον, Δέσποτα, σὺ ὁ Θεὸς ὁ ποι-
ήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα

---

v.14 ὁ[dams] δέ[c] ἄνθρωπος[nams] βλέπω[vppanmp] σύν[p] αὐτός[rpdmp] ἵστημι[vpxaams] ὁ[dams] θεραπεύω[vpxpams] οὐδείς[aansn] ἔχω[viia3p] ἀντεῖπον[vnaa]. **v.15** κελεύω[vpaanmp] δέ[c] αὐτός[rpamp] ἔξω[bo] ὁ[dgns] συνέδριον[ngns] ἀπέρχομαι[vnaa] συμβάλλω[viaa3p] πρός[p] ἀλλήλων[reamp]. **v.16** λέγω[vppanmp] τίς[rqans] ποιέω[vifa1p] ὁ[ddmp] ἄνθρωπος[ndmp] οὗτος[rddmp] ὅτι[c] μέν[xo] γάρ[c] γνωστός[annsn] σημεῖον[nnns] γίνομαι[vixa3s] διά[p] αὐτός[rpgmp] πᾶς[admpn] ὁ[ddmp] κατοικέω[vppadmp] Ἰερουσαλήμ[tp] φανερός[annsn] καί[c] οὐ[xo] δύναμαι[vipn1p] ἀρνέομαι[vnad]. **v.17** ἀλλά[c] ἵνα[c] μή[xo] ἐπί[p] πολύς[aansc] διανέμω[vsap3s] εἰς[p] ὁ[dams] λαός[nams] ἀπειλή[ndfs] ἀπειλέω[vsam1p] αὐτός[rpdmp] μηκέτι[bo] λαλέω[vnpa] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] οὗτος[rddns] μηδείς[admsn] ἄνθρωπος[ngmp]. **v.18** καί[c] καλέω[vpaanmp] αὐτός[rpamp] παραγγέλλω[viaa3p] αὐτός[rpdmp] ὁ[dans] καθόλου[bo] μή[xo] φθέγγομαι[vnpn] μηδέ[c] διδάσκω[vnpa] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] ὁ[dgms] Ἰησοῦς[ngms]. **v.19** ὁ[dnms] δέ[c] Πέτρος[nnms] καί[c] Ἰωάννης[nnms] ἀποκρίνομαι[vpaonmp] πρός[p] αὐτός[rpamp] λέγω[viaa3p] εἰ[qo] δίκαιος[annsn] εἰμί[vipx3s] ἐνώπιον[bo] ὁ[dgms] θεός[ngms] σύ[rpg-p] ἀκούω[vnpa] μᾶλλον[bo] ἤ[xo] ὁ[dgms] θεός[ngms] κρίνω[vdaa2p]. **v.20** οὐ[xo] δύναμαι[vipn1p] γάρ[c] ἐγώ[rpn-p] ὅς[rranp] ὁράω[viaa1p] καί[c] ἀκούω[viaa1p] μή[xo] λαλέω[vnpa]. **v.21** ὁ[dnmp] δέ[c] προσαπειλέω[vpamnmp] ἀπολύω[viaa3p] αὐτός[rpamp] μηδείς[aansn] εὑρίσκω[vppanmp] ὁ[dans] πῶς[bo] κολάζω[vsam3p] αὐτός[rpamp] διά[p] ὁ[dams] λαός[nams] ὅτι[c] πᾶς[anmpn] δοξάζω[viia3p] ὁ[dams] θεός[nams] ἐπί[p] ὁ[ddns] γίνομαι[vpxadns]. **v.22** ἔτος[ngnp] γάρ[c] εἰμί[viix3s] πολύς[agnpc] τεσσεράκοντα[tn] ὁ[dnms] ἄνθρωπος[nnms] ἐπί[p] ὅς[rrams] γίνομαι[viya3s] ὁ[dnns] σημεῖον[nnns] οὗτος[rdnns] ὁ[dgfs] ἴασις[ngfs]. **v.23** ἀπολύω[vpapnmp] δέ[c] ἔρχομαι[viaa3p] πρός[p] ὁ[damp] ἴδιος[aampn] καί[c] ἀπαγγέλλω[viaa3p] ὅσος[rcanp] πρός[p] αὐτός[rpamp] ὁ[dnmp] ἀρχιερεύς[nnmp] καί[c] ὁ[dnmp] πρεσβύτερος[anmpn] λέγω[viaa3p].

τὰ ἐν αὐτοῖς, ὁ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου εἰπών, Ἱ- 25
νατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά. παρέστησαν 26
οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ
κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, συνήχθησαν 27
γὰρ ἐπ᾽ ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας,
Ἡρῴδης τε καὶ Πόντιος Πιλάτος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ,
ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. 28
καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς 29
δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου, ἐν 30
τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα
γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. καὶ 31
δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ
ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἐλάλουν τὸν λόγον
τοῦ Θεοῦ μετὰ παρρησίας. Τοῦ δὲ πλήθους τῶν πιστευσάντων 32
ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδ᾽ εἷς τι τῶν ὑπαρχόντων
αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ᾽ ἦν αὐτοῖς ἅπαντα κοινά. καὶ 33
μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀ-
ναστάσεως τοῦ Κυρίου Ἰησοῦ, χάρις τε μεγάλη ἦν ἐπὶ πάντας
αὐτούς. οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς, ὅσοι γὰρ κτή- 34
τορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς

---

v.24 ὁ^{dnmp} δέ^{c} ἀκούω^{vpaanmp} ὁμοθυμαδόν^{bo} αἴρω^{viaa3p} φωνή^{nafs} πρός^{p} ὁ^{dams} θεός^{nams} καί^{c} λέγω^{viaa3p} δεσπότης^{nvms} σύ$^{rpn-s}$ ὁ^{dnms} θεός^{nnms} ὁ^{dnms} ποιέω^{vpaanms} ὁ^{dams} οὐρανός^{nams} καί^{c} ὁ^{dafs} γῆ^{nafs} καί^{c} ὁ^{dafs} θάλασσα^{nafs} καί^{c} πᾶς^{aanpn} ὁ^{danp} ἐν^{p} αὐτός^{rpdnp}. **v.25** ὁ^{dnms} διά^{p} στόμα^{ngns} Δαυίδ^{tp} ὁ^{dgms} παῖς^{ngms} σύ$^{rpg-s}$ λέγω^{vpaanms} ἱνατί^{bo} φρυάσσω^{viaa3p} ἔθνος^{nnnp} καί^{c} λαός^{nnmp} μελετάω^{viaa3p} κενός^{aanpn}. **v.26** παρίστημι^{viaa3p} ὁ^{dnmp} βασιλεύς^{nnmp} ὁ^{dgfs} γῆ^{ngfs} καί^{c} ὁ^{dnmp} ἄρχων^{nnmp} συνάγω^{viap3p} ἐπί^{p} ὁ^{dans} αὐτός^{rpans} κατά^{p} ὁ^{dgms} κύριος^{ngms} καί^{c} κατά^{p} ὁ^{dgms} Χριστός^{ngms} αὐτός^{rpgms}. **v.27** συνάγω^{viap3p} γάρ^{c} ἐπί^{p} ἀλήθεια^{ngfs} ἐπί^{p} ὁ^{dams} ἅγιος^{aamsn} παῖς^{nams} σύ$^{rpg-s}$ Ἰησοῦς^{nams} ὅς^{rrams} χρίω^{viaa2s} Ἡρῴδης^{nnms} τέ^{xo} καί^{c} Πόντιος^{nnms} Πιλᾶτος^{nnms} σύν^{p} ἔθνος^{ndnp} καί^{c} λαός^{ndmp} Ἰσραήλ^{tp}. **v.28** ποιέω^{vnaa} ὅσος^{rcanp} ὁ^{dnfs} χείρ^{nnfs} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dnfs} βουλή^{nnfs} σύ$^{rpg-s}$ προορίζω^{viaa3s} γίνομαι^{vnad}. **v.29** καί^{c} ὁ^{danp} νῦν^{bo} κύριος^{nvms} ἐφοράω^{vdaa2s} ἐπί^{p} ὁ^{dafp} ἀπειλή^{nafp} αὐτός^{rpgmp} καί^{c} δίδωμι^{vdaa2s} ὁ^{ddmp} δοῦλος^{ndmp} σύ$^{rpg-s}$ μετά^{p} παρρησία^{ngfs} πᾶς^{agfsn} λαλέω^{vnpa} ὁ^{dams} λόγος^{nams} σύ$^{rpg-s}$. **v.30** ἐν^{p} ὁ^{ddms} ὁ^{dafs} χείρ^{nafs} σύ$^{rpg-s}$ ἐκτείνω^{vnpa} σύ$^{rpa-s}$ εἰς^{p} ἴασις^{nafs} καί^{c} σημεῖον^{nnnp} καί^{c} τέρας^{nnnp} γίνομαι^{vnpn} διά^{p} ὁ^{dgns} ὄνομα^{ngns} ὁ^{dgms} ἅγιος^{agmsn} παῖς^{ngms} σύ$^{rpg-s}$ Ἰησοῦς^{ngms}. **v.31** καί^{c} δέομαι^{vpaogmp} αὐτός^{rpgmp} σαλεύω^{viap3s} ὁ^{dnms} τόπος^{nnms} ἐν^{p} ὅς^{rrdms} εἰμί^{viix3p} συνάγω^{vpxpnmp} καί^{c} πίμπλημι^{viap3p} ἅπας^{anmpn} πνεῦμα^{ngns} ἅγιος^{agnsn} καί^{c} λαλέω^{viia3p} ὁ^{dams} λόγος^{nams} ὁ^{dgms} θεός^{ngms} μετά^{p} παρρησία^{ngfs}. **v.32** ὁ^{dgns} δέ^{c} πλῆθος^{ngns} ὁ^{dgmp} πιστεύω^{vpaagmp} εἰμί^{viix3s} ὁ^{dnfs} καρδία^{nnfs} καί^{c} ὁ^{dnfs} ψυχή^{nnfs} εἷς^{nnfs} καί^{c} οὐδέ^{bo} εἷς^{nnms} τι-σριανσ ὁ^{dgnp} ὑπάρχω^{vppagnp} αὐτός^{rpdms} λέγω^{viia3s} ἴδιος^{aamsn} εἰμί^{vnpx} ἀλλά^{c} εἰμί^{viix3s} αὐτός^{rpdmp} ἅπας^{annpn} κοινός^{annpn}. **v.33** καί^{c} μέγας^{adfsn} δύναμις^{ndfs} ἀποδίδωμι^{viia3p} ὁ^{dans} μαρτύριον^{nans} ὁ^{dnmp} ἀπόστολος^{nnmp} ὁ^{dgfs} ἀνάστασις^{ngfs} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} χάρις^{nnfs} τέ^{xo} μέγας^{anfsn} εἰμί^{viix3s} ἐπί^{p} πᾶς^{aampn} αὐτός^{rpamp}.

35 τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀπο-
36 στόλων, διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχεν. Ἰωσῆς
δέ, ὁ ἐπικληθεὶς Βαρνάβᾶς ὑπὸ τῶν ἀποστόλων ὅ ἐστι, μεθερ-
μηνευόμενον, υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει,
37 ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε
παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

5 Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι, σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐ-
2 τοῦ, ἐπώλησε κτῆμα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνει-
δυίας καὶ τῆς γυναικὸς αὐτοῦ, καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς
3 πόδας τῶν ἀποστόλων ἔθηκεν. εἶπε δὲ Πέτρος, Ἀνανία, δι-
ατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ
Πνεῦμα τὸ Ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου·
4 οὐχὶ μένον σοὶ ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε·
τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο· οὐκ ἐψεύσω
5 ἀνθρώποις ἀλλὰ τῷ Θεῷ. ἀκούων δὲ Ἀνανίας τοὺς λόγους
τούτους, πεσὼν ἐξέψυξε, καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας
6 τοὺς ἀκούοντας ταῦτα. ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν
7 αὐτόν καὶ ἐξενέγκαντες ἔθαψαν. Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν
διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν.
8 ἀπεκρίθη δὲ αὐτῃ˜῾ ὁ Πέτρος, Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον

---

v.34 οὐδέ[bo] γάρ[c] ἐνδεής[anmsn] τι-σρινμσ ὑπάρχω[viia3s] ἐν[p] αὐτός[rpdmp] ὅσος[rcnmp] γάρ[c] κτήτωρ[nnmp] χωρίον[ngnp] ἤ[xo] οἰκία[ngfp] ὑπάρχω[viia3p] πωλέω[vppanmp] φέρω[viia3p] ὁ[dafp] τιμή[nafp] ὁ[dgmp] πιπράσκω[vpppgmp]. **v.35** καί[c] τίθημι[viia3p] παρά[p] ὁ[damp] πούς[namp] ὁ[dgmp] ἀπόστολος[ngmp] διαδίδωμι[viip3s] δέ[c] ἕκαστος[admsn] καθότι[bo] ἄν[xo] τι-σρινμσ χρεία[nafs] ἔχω[viia3s]. **v.36** Ἰωσῆς[nnms] δέ[c] ὁ[dnms] ἐπικαλέω[vpapnms] Βαρναβᾶς[nnms] ὑπό[p] ὁ[dgmp] ἀπόστολος[ngmp] ὅς[rrnns] εἰμί[vipx3s] μεθερμηνεύω[vpppnns] υἱός[nnms] παράκλησις[ngfs] Λευίτης[nnms] Κύπριος[nnms] ὁ[ddns] γένος[ndns]. **v.37** ὑπάρχω[vppagms] αὐτός[rpdms] ἀγρός[ngms] πωλέω[vpaanms] φέρω[viaa3s] ὁ[dans] χρῆμα[nans] καί[c] τίθημι[viaa3s] παρά[p] ὁ[damp] πούς[namp] ὁ[dgmp] ἀπόστολος[ngmp]. **5. v.1** ἀνήρ[nnms] δέ[c] τι--σρινμσ Ἀνανίας[nnms] ὄνομα[ndns] σύν[p] Σάπφιρα[ndfs] ὁ[ddfs] γυνή[ndfs] αὐτός[rpgms] πωλέω[viaa3s] κτῆμα[nans]. **v.2** καί[c] νοσφίζω[viam3s] ἀπό[p] ὁ[dgfs] τιμή[ngfs] συνοράω[vpxagfs] καί[c] ὁ[dgfs] γυνή[ngfs] αὐτός[rpgms] καί[c] φέρω[vpaanms] μέρος[nans] τι-σριανσ παρά[p] ὁ[damp] πούς[namp] ὁ[dgmp] ἀπόστολος[ngmp] τίθημι[viaa3s]. **v.3** λέγω[viaa3s] δέ[c] Πέτρος[nnms] Ἀνανίας[nvms] διά&τίς[xo] πληρόω[viaa3s] ὁ[dnms] Σατανᾶς[nnms] ὁ[dafs] καρδία[nafs] σύ[rpg-s] ψεύδομαι[vnad] σύ[rpa-s] ὁ[dans] πνεῦμα[nans] ὁ[dans] ἅγιος[aansn] καί[c] νοσφίζω[vnam] ἀπό[p] ὁ[dgfs] τιμή[ngfs] ὁ[dgns] χωρίον[ngns]. **v.4** οὐχί[xo] μένω[vppanns] σύ[rpd-s] μένω[viia3s] καί[c] πιπράσκω[vpapnns] ἐν[p] ὁ[ddfs] σός[rsdfs] ἐξουσία[ndfs] ὑπάρχω[viia3s] τίς[rqans] ὅτι[c] τίθημι[viam2s] ἐν[p] ὁ[ddfs] καρδία[ndfs] σύ[rpg-s] ὁ[dans] πρᾶγμα[nans] οὗτος[rdans] οὐ[xo] ψεύδομαι[viad2s] ἄνθρωπος[ndmp] ἀλλά[c] ὁ[ddms] θεός[ndms]. **v.5** ἀκούω[vppanms] δέ[c] Ἀνανίας[nnms] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] πίπτω[vpaanms] ἐκψύχω[viaa3s] καί[c] γίνομαι[viad3s] φόβος[nnms] μέγας[anmsn] ἐπί[p] πᾶς[aampn] ὁ[damp] ἀκούω[vppaamp] οὗτος[rdanp]. **v.6** ἀνίστημι[vpaanmp] δέ[c] ὁ[dnmp] νέος[anmpc] συστέλλω[viaa3p] αὐτός[rpams] καί[c] ἐκφέρω[vpaanmp] θάπτω[viaa3p]. **v.7** γίνομαι[viad3s] δέ[c] ὡς[bo] ὥρα[ngfp] τρεῖς[ngfp] διάστημα[nnns] καί[c] ὁ[dnfs] γυνή[nnfs] αὐτός[rpgms] μή[xo] οἶδα[vpxanfs] ὁ[dans] γίνομαι[vpxaans] εἰσέρχομαι[viaa3s].

ἀπέδοσθε. ἡ δὲ εἶπε, Ναί, τοσούτου. ὁ δὲ Πέτρος εἶπε πρὸς 9
αὐτήν, Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου·
ἰδού, οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ
ἐξοίσουσί σε. ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, 10
καὶ ἐξέψυξεν, εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν,
καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. καὶ ἐγένετο 11
φόβος μέγας ἐφ᾽ ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀ-
κούοντας ταῦτα. Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο 12
σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά, καὶ ἦσαν ὁμοθυμαδὸν ἅ-
παντες ἐν τῇ στοᾷ Σολομῶντος. τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα 13
κολλᾶσθαι αὐτοῖς, ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός, μᾶλλον δὲ 14
προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυ-
ναικῶν, ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ 15
τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν
ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν 16
πέριξ πόλεων εἰς Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμέ-
νους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαν-
τες. Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ ἡ οὖσα 17
αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον 18
τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν
τηρήσει δημοσίᾳ. ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε 19

---

v.8 ἀποκρίνομαι[viad3s] δέ[c] αὐτός[rpdfs] ὁ[dnms] Πέτρος[nnms] λέγω[vdaa2s] ἐγώ[rpd-s] εἰ[qo] τοσοῦτος[rdgns] ὁ[dans] χωρίον[nans] ἀποδίδωμι[viam2p] ὁ[dnfs] δέ[c] λέγω[viaa3s] ναί[xo] τοσοῦτος[rdgns]. **v.9** ὁ[dnms] δέ[c] Πέτρος[nnms] λέγω[viaa3s] πρός[p] αὐτός[rpafs] τίς[rqnns] ὅτι[c] συμφωνέω[viap3s] σύ[rpd-p] πειράζω[vnaa] ὁ[dans] πνεῦμα[nans] κύριος[ngms] ἰδού[vdaa2s] ὁ[dnmp] πούς[nnmp] ὁ[dgmp] θάπτω[vpaagmp] ὁ[dams] ἀνήρ[nams] σύ[rpg-s] ἐπί[p] ὁ[ddfs] θύρα[ndfs] καί[c] ἐκφέρω[vifa3p] σύ[rpa-s]. **v.10** πίπτω[viaa3s] δέ[c] παραχρῆμα[bo] παρά[p] ὁ[damp] πούς[namp] αὐτός[rpgms] καί[c] ἐκψύχω[viaa3s] εἰσέρχομαι[vpaanmp] δέ[c] ὁ[dnmp] νεανίσκος[nnmp] εὑρίσκω[viaa3p] αὐτός[rpafs] νεκρός[aafsn] καί[c] ἐκφέρω[vpaanmp] θάπτω[viaa3p] πρός[p] ὁ[dams] ἀνήρ[nams] αὐτός[rpgfs]. **v.11** καί[c] γίνομαι[viad3s] φόβος[nnms] μέγας[anmsn] ἐπί[p] ὅλος[aafsn] ὁ[dafs] ἐκκλησία[nafs] καί[c] ἐπί[p] πᾶς[aampn] ὁ[damp] ἀκούω[vppaamp] οὗτος[rdanp]. **v.12** διά[p] δέ[c] ὁ[dgfp] χείρ[ngfp] ὁ[dgmp] ἀπόστολος[ngmp] γίνομαι[viin3s] σημεῖον[nnnp] καί[c] τέρας[nnnp] ἐν[p] ὁ[ddms] λαός[ndms] πολύς[annpn] καί[c] εἰμί[viix3p] ὁμοθυμαδόν[bo] ἅπας[anmpn] ἐν[p] ὁ[ddfs] στοά[ndfs] Σολομών[ngms]. **v.13** ὁ[dgmp] δέ[c] λοιπός[agmpn] οὐδείς[anfsn] τολμάω[viia3s] κολλάω[vnpp] αὐτός[rpdmp] ἀλλά[c] μεγαλύνω[viia3s] αὐτός[rpamp] ὁ[dnms] λαός[nnms]. **v.14** μᾶλλον[bo] δέ[c] προστίθημι[viip3p] πιστεύω[vppanmp] ὁ[ddms] κύριος[ndms] πλῆθος[nnnp] ἀνήρ[ngmp] τέ[xo] καί[c] γυνή[ngfp]. **v.15** ὥστε[c] κατά[p] ὁ[dafp] πλατύς[nafp] ἐκφέρω[vnpa] ὁ[damp] ἀσθενής[aampn] καί[c] τίθημι[vnpa] ἐπί[p] κλίνη[ngfp] καί[c] κράβαττος[ngmp] ἵνα[c] ἔρχομαι[vppngms] Πέτρος[ngms] κἄν[qo] ὁ[dnfs] σκιά[nnfs] ἐπισκιάζω[vsaa3s] τι-σριδμσ αὐτός[rpgmp]. **v.16** συνέρχομαι[viin3s] δέ[c] καί[c] ὁ[dnns] πλῆθος[nnns] ὁ[dgfp] πέριξ[bo] πόλις[ngfp] εἰς[p] Ἱερουσαλήμ[tp] φέρω[vppanmp] ἀσθενής[aampn] καί[c] ὀχλέω[vpppamp] ὑπό[p] πνεῦμα[ngnp] ἀκάθαρτος[agnpn] ὅστις[rrnmp] θεραπεύω[viip3p] ἅπας[anmpn]. **v.17** ἀνίστημι[vpaanms] δέ[c] ὁ[dnms] ἀρχιερεύς[nnms] καί[c] πᾶς[anmpn] ὁ[dnmp] σύν[p] αὐτός[rpdms] ὁ[dnfs] εἰμί[vppxnfs] αἵρεσις[nnfs] ὁ[dgmp] Σαδδουκαῖος[ngmp] πίμπλημι[viap3p] ζῆλος[ngms]. **v.18** καί[c] ἐπιβάλλω[viaa3p] ὁ[dafp] χείρ[nafp] αὐτός[rpgmp] ἐπί[p] ὁ[damp] ἀπόστολος[namp] καί[c] τίθημι[viam3p] αὐτός[rpamp] ἐν[p] τήρησις[ndfs] δημόσιος[adfsn].

20 τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε, Πορεύεσθε,
καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς
21 ζωῆς ταύτης. ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ
ἱερόν, καὶ ἐδίδασκον. παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ
σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν
τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον, ἀχθῆ-
22 ναι αὐτούς. οἱ δὲ ὑπηρέται παραγενόμενοι οὐχ εὗρον αὐτοὺς
23 ἐν τῇ φυλακῇ, ἀναστρέψαντες δὲ ἀπήγγειλαν, λέγοντες, ὅτι
Τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ,
καὶ τοὺς φύλακας ἔξω ἑστῶτας πρὸ τῶν θυρῶν, ἀνοίξαντες δέ,
24 ἔσω οὐδένα εὕρομεν. ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους
ὅ τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διη-
25 πόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο. παραγενόμενος δέ
τις ἀπήγγειλεν αὐτοῖς λέγων ὅτι Ἰδού, οἱ ἄνδρες οὓς ἔθεσθε ἐν
τῇ φυλακῇ εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν.
26 τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἤγαγεν αὐτούς,
27 οὐ μετὰ βίας, ἐφοβοῦντο γὰρ τὸν λαόν, ἵνα μὴ λιθασθῶσιν. ἀ-
γαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ. καὶ ἐπηρώτησεν
28 αὐτοὺς ὁ ἀρχιερεύς, λέγων, Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑ-
μῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ· καὶ ἰδοὺ πεπληρώκατε
τὴν Ἰερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ᾽

---

v.19 ἄγγελος[nnms] δέ[c] κύριος[ngms] διά[p] ὁ[dgfs] νύξ[ngfs] ἀνοίγω[viaa3s] ὁ[dafp] θύρα[nafp] ὁ[dgfs] φυλακή[ngfs] ἐξάγω[vpaanms] τέ[xo] αὐτός[rpamp] λέγω[viaa3s]. **v.20** πορεύομαι[vdpn2p] καί[c] ἵστημι[vpapnmp] λαλέω[vdpa2p] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] ὁ[ddms] λαός[ndms] πᾶς[aanpn] ὁ[danp] ῥῆμα[nanp] ὁ[dgfs] ζωή[ngfs] οὗτος[rdgfs]. **v.21** ἀκούω[vpaanmp] δέ[c] εἰσέρχομαι[viaa3p] ὑπό[p] ὁ[dams] ὄρθρος[nams] εἰς[p] ὁ[dans] ἱερόν[nans] καί[c] διδάσκω[viia3p] παραγίνομαι[vpadnms] δέ[c] ὁ[dnms] ἀρχιερεύς[nnms] καί[c] ὁ[dnmp] σύν[p] αὐτός[rpdms] συγκαλέω[viaa3p] ὁ[dans] συνέδριον[nans] καί[c] πᾶς[aafsn] ὁ[dafs] γερουσία[nafs] ὁ[dgmp] υἱός[ngmp] Ἰσραήλ[tp] καί[c] ἀποστέλλω[viaa3p] εἰς[p] ὁ[dans] δεσμωτήριον[nans] ἄγω[vnap] αὐτός[rpamp]. **v.22** ὁ[dnmp] δέ[c] ὑπηρέτης[nnmp] παραγίνομαι[vpadnmp] οὐ[xo] εὑρίσκω[viaa3p] αὐτός[rpamp] ἐν[p] ὁ[ddfs] φυλακή[ndfs] ἀναστρέφω[vpaanmp] δέ[c] ἀπαγγέλλω[viaa3p]. **v.23** λέγω[vppanmp] ὅτι[c] ὁ[dans] μέν[xo] δεσμωτήριον[nans] εὑρίσκω[viaa1p] κλείω[vpxpans] ἐν[p] πᾶς[adfsn] ἀσφάλεια[ndfs] καί[c] ὁ[damp] φύλαξ[namp] ἔξω[bo] ἵστημι[vpxaamp] πρό[p] ὁ[dgfp] θύρα[ngfp] ἀνοίγω[vpaanmp] δέ[c] ἔσω[bo] οὐδείς[aamsn] εὑρίσκω[viaa1p]. **v.24** ὡς[bo] δέ[c] ἀκούω[viaa3p] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] ὁ[dnms] τέ[xo] ἱερεύς[nnms] καί[c] ὁ[dnms] στρατηγός[nnms] ὁ[dgns] ἱερόν[ngns] καί[c] ὁ[dnmp] ἀρχιερεύς[nnmp] διαπορέω[viia3p] περί[p] αὐτός[rpgmp] τίς[rqnns] ἄν[xo] γίνομαι[voad3s] οὗτος[rdnns]. **v.25** παραγίνομαι[vpadnms] δέ[c] τι-σρινμσ ἀπαγγέλλω[viaa3s] αὐτός[rpdmp] λέγω[vppanms] ὅτι[c] ἰδού[vdaa2s] ὁ[dnmp] ἀνήρ[nnmp] ὅς[rramp] τίθημι[viam2p] ἐν[p] ὁ[ddfs] φυλακή[ndfs] εἰμί[vipx3p] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] ἵστημι[vpxanmp] καί[c] διδάσκω[vppanmp] ὁ[dams] λαός[nams]. **v.26** τότε[bo] ἀπέρχομαι[vpaanms] ὁ[dnms] στρατηγός[nnms] σύν[p] ὁ[ddmp] ὑπηρέτης[ndmp] ἄγω[viaa3s] αὐτός[rpamp] οὐ[xo] μετά[p] βία[ngfs] φοβέομαι[viin3p] γάρ[c] ὁ[dams] λαός[nams] ἵνα[c] μή[xo] λιθάζω[vsap3p]. **v.27** ἄγω[vpaanmp] δέ[c] αὐτός[rpamp] ἵστημι[viaa3p] ἐν[p] ὁ[ddns] συνέδριον[ndns] καί[c] ἐπερωτάω[viaa3s] αὐτός[rpamp] ὁ[dnms] ἀρχιερεύς[nnms].

ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. ἀποκριθεὶς δὲ ὁ Πέτρος 29
καὶ οἱ ἀπόστολοι εἶπον, Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώ-
ποις. ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς 30
διεχειρίσασθε, κρεμάσαντες ἐπὶ ξύλου. τοῦτον ὁ Θεὸς ἀρχη- 31
γὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ
Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυ- 32
ρες τῶν ῥημάτων τούτων, καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, ὃ ἔδωκεν
ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Οἱ δὲ ἀκούσαντες διεπρίοντο, 33
καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς. ἀναστὰς δέ τις ἐν τῷ συνε- 34
δρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος, τίμιος
παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τί τοὺς ἀποστόλους ποιῆ-
σαι. εἶπέ τε πρὸς αὐτούς, Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυ- 35
τοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν. πρὸ γὰρ 36
τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ
προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων, ὃς ἀνῃρέθη,
καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησα~ν καὶ ἐγένοντο εἰς
οὐδέν. μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέ- 37
ραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ἱκανὸν ὀπίσω αὐτοῦ,
κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπί-
σθησαν. καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων 38
τούτων, καὶ ἐάσατε αὐτούς, ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ

---

v.28 λέγω[vppanms] οὐ[xo] παραγγελία[ndfs] παραγγέλλω[viaa1p] σύ[rpd-p] μή[xo] διδάσκω[vnpa] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] οὗτος[rddns] καί[c] ἰδού[vdaa2s] πληρόω[vixa2p] ὁ[dafs] Ἰερουσαλήμ[tp] ὁ[dgfs] διδαχή[ngfs] σύ[rpg-p] καί[c] βούλομαι[vipn2p] ἐπάγω[vnaa] ἐπί[p] ἐγώ[rpa-p] ὁ[dans] αἷμα[nans] ὁ[dgms] ἄνθρωπος[ngms] οὗτος[rdgms]. **v.29** ἀποκρίνομαι[vpaonms] δέ[c] ὁ[dnms] Πέτρος[nnms] καί[c] ὁ[dnmp] ἀπόστολος[nnmp] λέγω[viaa3p] πειθαρχέω[vnpa] δεῖ[vipq3s] θεός[ndms] μᾶλλον[bo] ἤ[xo] ἄνθρωπος[ndmp]. **v.30** ὁ[dnms] θεός[nnms] ὁ[dgmp] πατήρ[ngmp] ἐγώ[rpg-p] ἐγείρω[viaa3s] Ἰησοῦς[nams] ὅς[rrams] σύ[rpn-p] διαχειρίζω[viam2p] κρεμάννυμι[vpaanmp] ἐπί[p] ξύλον[ngns]. **v.31** οὗτος[rdams] ὁ[dnms] θεός[nnms] ἀρχηγός[nams] καί[c] σωτήρ[nams] ὑψόω[viaa3s] ὁ[ddfs] δεξιός[adfsn] αὐτός[rpgms] δίδωμι[vnaa] μετάνοια[nafs] ὁ[ddms] Ἰσραήλ[tp] καί[c] ἄφεσις[nafs] ἁμαρτία[ngfp]. **v.32** καί[c] ἐγώ[rpn-p] εἰμί[vipx1p] αὐτός[rpgms] μάρτυς[nnmp] ὁ[dgnp] ῥῆμα[ngnp] οὗτος[rdgnp] καί[c] ὁ[dans] πνεῦμα[nans] δέ[c] ὁ[dans] ἅγιος[aansn] ὅς[rrans] δίδωμι[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[ddmp] πειθαρχέω[vppadmp] αὐτός[rpdms]. **v.33** ὁ[dnmp] δέ[c] ἀκούω[vpaanmp] διαπρίω[viip3p] καί[c] βουλεύομαι[viin3p] ἀναιρέω[vnaa] αὐτός[rpamp]. **v.34** ἀνίστημι[vpaanms] δέ[c] τι--σρινμσ ἐν[p] ὁ[ddns] συνέδριον[ndns] Φαρισαῖος[nnms] ὄνομα[ndns] Γαμαλιήλ[tp] νομοδιδάσκαλος[nnms] τίμιος[anmsn] πᾶς[admsn] ὁ[ddms] λαός[ndms] κελεύω[viaa3s] ἔξω[bo] βραχύς[aansn] τίς[rians] ὁ[damp] ἀπόστολος[namp] ποιέω[vnaa]. **v.35** λέγω[viaa3s] τέ[xo] πρός[p] αὐτός[rpamp] ἀνήρ[nvmp] Ἰσραηλίτης[nvmp] προσέχω[vdpa2p] ἑαυτοῦ[rxdmp] ἐπί[p] ὁ[ddmp] ἄνθρωπος[ndmp] οὗτος[rddmp] τίς[rqans] μέλλω[vipa2p] πράσσω[vnpa]. **v.36** πρό[p] γάρ[c] οὗτος[rdgfp] ὁ[dgfp] ἡμέρα[ngfp] ἀνίστημι[viaa3s] Θευδᾶς[nnms] λέγω[vppanms] εἰμί[vnpx] τι-σριαμσ ἑαυτοῦ[rxams] ὅς[rrdms] προσκολλάω[viap3s] ἀριθμός[nnms] ἀνήρ[ngmp] ὡσεί[bo] τετρακόσιοι[ngnp] ὅς[rrnms] ἀναιρέω[viap3s] καί[c] πᾶς[anmpn] ὅσος[rcnmp] πείθω[viip3p] αὐτός[rpdms] διαλύω[viap3p] καί[c] γίνομαι[viad3p] εἰς[p] οὐδείς[aansn]. **v.37** μετά[p] οὗτος[rdams] ἀνίστημι[viaa3s] Ἰούδας[nnms] ὁ[dnms] Γαλιλαῖος[nnms] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] ὁ[dgfs] ἀπογραφή[ngfs] καί[c] ἀφίστημι[viaa3s] λαός[nams] ἱκανός[aamsn] ὀπίσω[bo] αὐτός[rpgms] κἀκεῖνος[rdnms] ἀπόλλυμι[viam3s] καί[c] πᾶς[anmpn] ὅσος[rcnmp] πείθω[viip3p] αὐτός[rpdms] διασκορπίζω[viap3p].

39 αὕτη ἡ τὸ ἔργον τοῦτο, καταλυθήσεται, εἰ δὲ ἐκ Θεοῦ ἐστιν,
οὐ δύνασθε καταλῦσαι αὐτό, μήποτε καὶ θεομάχοι εὑρεθῆτε.
40 ἐπείσθησαν δὲ αὐτῷ, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους
δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ,
41 καὶ ἀπέλυσαν αὐτούς. οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ
προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατη-
42 ξιώθησαν ἀτιμασθῆναι. πᾶσάν τε ἡμέραν, ἐν τῷ ἱερῷ καὶ κατ᾽
οἶκον, οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν
τὸν Χριστόν.

6 Ἐν δὲ ταῖς ἡμέραις ταύταις, πληθυνόντων τῶν μαθητῶν, ἐ-
γένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι
παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν.
2 προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον,
Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ Θε-
3 οῦ, διακονεῖν τραπέζαις. ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας
ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος Ἁγίου καὶ
4 σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. ἡμεῖς δὲ
τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.
5 καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους, καὶ ἐξελέ-
ξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος Ἁγίου,
καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ

---

v.38 καί[c] ὁ[danp] νῦν[bo] λέγω[vipa1s] σύ[rpd-p] ἀφίστημι[vdaa2p] ἀπό[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] οὗτος[rdgmp] καί[c] ἐάω[vdaa2p] αὐτός[rpamp] ὅτι[c] ἐάν[qo] εἰμί[vspx3s] ἐκ[p] ἄνθρωπος[ngmp] ὁ[dnfs] βουλή[nnfs] οὗτος[rdnfs] ἤ[xo] ὁ[dnns] ἔργον[nnns] οὗτος[rdnns] καταλύω[vifp3s]. **v.39** εἰ[qo] δέ[c] ἐκ[p] θεός[ngms] εἰμί[vipx3s] οὐ[xo] δύναμαι[vipn2p] καταλύω[vnaa] αὐτός[rpans] μήποτε[bo] καί[c] θεομάχος[anmpn] εὑρίσκω[vsap2p]. **v.40** πείθω[viap3p] δέ[c] αὐτός[rpdms] καί[c] προσκαλέομαι[vpadnmp] ὁ[damp] ἀπόστολος[namp] δέρω[vpaanmp] παραγγέλλω[viaa3p] μή[xo] λαλέω[vnpa] ἐπί[p] ὁ[ddns] ὄνομα[ndns] ὁ[dgms] Ἰησοῦς[ngms] καί[c] ἀπολύω[viaa3p] αὐτός[rpamp]. **v.41** ὁ[dnmp] μέν[xo] οὖν[c] πορεύομαι[viin3p] χαίρω[vppanmp] ἀπό[p] πρόσωπον[ngns] ὁ[dgns] συνέδριον[ngns] ὅτι[c] ὑπέρ[p] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgms] καταξιόω[viap3p] ἀτιμάζω[vnap]. **v.42** πᾶς[aafsn] τέ[xo] ἡμέρα[nafs] ἐν[p] ὁ[ddns] ἱερόν[ndns] καί[c] κατά[p] οἶκος[nams] οὐ[xo] παύω[viim3p] διδάσκω[vppanmp] καί[c] εὐαγγελίζω[vppmnmp] Ἰησοῦς[nams] ὁ[dams] Χριστός[nams]. **6. v.1** ἐν[p] δέ[c] ὁ[ddfp] ἡμέρα[ndfp] οὗτος[rddfp] πληθύνω[vppagmp] ὁ[dgmp] μαθητής[ngmp] γίνομαι[viad3s] γογγυσμός[nnms] ὁ[dgmp] Ἑλληνιστής[ngmp] πρός[p] ὁ[damp] Ἑβραῖος[aampn] ὅτι[c] παραθεωρέω[viip3p] ἐν[p] ὁ[ddfs] διακονία[ndfs] ὁ[ddfs] καθημερινός[adfsn] ὁ[dnfp] χήρα[nnfp] αὐτός[rpgmp]. **v.2** προσκαλέομαι[vpadnmp] δέ[c] ὁ[dnmp] δώδεκα[tn] ὁ[dans] πλῆθος[nans] ὁ[dgmp] μαθητής[ngmp] λέγω[viaa3p] οὐ[xo] ἀρεστός[annsn] εἰμί[vipx3s] ἐγώ[rpa-p] καταλείπω[vpaaamp] ὁ[dams] λόγος[nams] ὁ[dgms] θεός[ngms] διακονέω[vnpa] τράπεζα[ndfp]. **v.3** ἐπισκέπτομαι[vdad2p] οὖν[c] ἀδελφός[nvmp] ἀνήρ[namp] ἐκ[p] σύ[rpg-p] μαρτυρέω[vpppamp] ἑπτά[tn] πλήρης[aampn] πνεῦμα[ngns] ἅγιος[agnsn] καί[c] σοφία[ngfs] ὅς[rramp] καθίστημι[vifa1p] ἐπί[p] ὁ[dgfs] χρεία[ngfs] οὗτος[rdgfs]. **v.4** ἐγώ[rpn-p] δέ[c] ὁ[ddfs] προσευχή[ndfs] καί[c] ὁ[ddfs] διακονία[ndfs] ὁ[dgms] λόγος[ngms] προσκαρτερέω[vifa1p].

Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν 6
ἐνώπιον τῶν ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς
τὰς χεῖρας. Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ 7
ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος
τῶν ἱερέων ὑπήκουον τῇ πίστει. Στέφανος δὲ πλήρης πίστεως 8
καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. ἀ- 9
νέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερ-
τίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας
καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ. καὶ οὐκ ἴσχυον ἀντιστῆ- 10
ναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. τότε ὑπέβαλον ἄνδρας 11
λέγοντας ὅτι Ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα
εἰς Μωσῆν καὶ τὸν Θεόν. συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς 12
πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπα-
σαν αὐτόν, καὶ ἤγαγον εἰς τὸ συνέδριον, ἔστησάν τε μάρτυρας 13
ψευδεῖς λέγοντας, Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλά-
σφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου,
ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος 14
καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν
ἡμῖν Μωϋσῆς. καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζό- 15
μενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον

---

v.5 καί[c] ἀρέσκω[viaa3s] ὁ[dnms] λόγος[nnms] ἐνώπιον[bo] πᾶς[agnsn] ὁ[dgns] πλῆθος[ngns] καί[c] ἐκλέγω[viam3p] Στέφανος[nams] ἀνήρ[nams] πλήρης[aamsn] πίστις[ngfs] καί[c] πνεῦμα[ngns] ἅγιος[agnsn] καί[c] Φίλιππος[nams] καί[c] Πρόχορος[nams] καί[c] Νικάνωρ[nams] καί[c] Τίμων[nams] καί[c] Παρμενᾶς[nams] καί[c] Νικόλαος[nams] προσήλυτος[nams] Ἀντιοχεύς[nams]. **v.6** ὅς[rramp] ἵστημι[viaa3p] ἐνώπιον[bo] ὁ[dgmp] ἀπόστολος[ngmp] καί[c] προσεύχομαι[vpadnmp] ἐπιτίθημι[viaa3p] αὐτός[rpdmp] ὁ[dafp] χείρ[nafp]. **v.7** καί[c] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] θεός[ngms] αὐξάνω[viia3s] καί[c] πληθύνω[viip3s] ὁ[dnms] ἀριθμός[nnms] ὁ[dgmp] μαθητής[ngmp] ἐν[p] Ἰερουσαλήμ[tp] σφόδρα[bo] πολύς[anmsn] τέ[xo] ὄχλος[nnms] ὁ[dgmp] ἱερεύς[ngmp] ὑπακούω[viia3p] ὁ[ddfs] πίστις[ndfs]. **v.8** Στέφανος[nnms] δέ[c] πλήρης[anmsn] πίστις[ngfs] καί[c] δύναμις[ngfs] ποιέω[viia3s] τέρας[nanp] καί[c] σημεῖον[nanp] μέγας[aanpn] ἐν[p] ὁ[ddms] λαός[ndms]. **v.9** ἀνίστημι[viaa3p] δέ[c] τι-σ-ρινμπ ὁ[dgmp] ἐκ[p] ὁ[dgfs] συναγωγή[ngfs] ὁ[dgfs] λέγω[vpppgfs] Λιβερτῖνος[ngmp] καί[c] Κυρηναῖος[ngmp] καί[c] Ἀλεξανδρεύς[ngmp] καί[c] ὁ[dgmp] ἀπό[p] Κιλικία[ngfs] καί[c] Ἀσία[ngfs] συζητέω[vppanmp] ὁ[ddms] Στέφανος[ndms]. **v.10** καί[c] οὐ[xo] ἰσχύω[viia3p] ἀνθίστημι[vnaa] ὁ[ddfs] σοφία[ndfs] καί[c] ὁ[ddns] πνεῦμα[ndns] ὅς[rrdns] λαλέω[viia3s]. **v.11** τότε[bo] ὑποβάλλω[viaa3p] ἀνήρ[namp] λέγω[vppaamp] ὅτι[c] ἀκούω[vixa1p] αὐτός[rpgms] λαλέω[vppagms] ῥῆμα[nanp] βλάσφημος[aanpn] εἰς[p] Μωϋσῆς[nams] καί[c] ὁ[dams] θεός[nams]. **v.12** συγκινέω[viaa3p] τέ[xo] ὁ[dams] λαός[nams] καί[c] ὁ[damp] πρεσβύτερος[aampn] καί[c] ὁ[damp] γραμματεύς[namp] καί[c] ἐφίστημι[vpaanmp] συναρπάζω[viaa3p] αὐτός[rpams] καί[c] ἄγω[viaa3p] εἰς[p] ὁ[dans] συνέδριον[nans]. **v.13** ἵστημι[viaa3p] τέ[xo] μάρτυς[namp] ψευδής[aampn] λέγω[vppaamp] ὁ[dnms] ἄνθρωπος[nnms] οὗτος[rdnms] οὐ[xo] παύω[vipm3s] ῥῆμα[nanp] βλάσφημος[aanpn] λαλέω[vppanms] κατά[p] ὁ[dgms] τόπος[ngms] ὁ[dgms] ἅγιος[agmsn] οὗτος[rdgms] καί[c] ὁ[dgms] νόμος[ngms]. **v.14** ἀκούω[vixa1p] γάρ[c] αὐτός[rpgms] λέγω[vppagms] ὅτι[c] Ἰησοῦς[nnms] ὁ[dnms] Ναζωραῖος[nnms] οὗτος[rdnms] καταλύω[vifa3s] ὁ[dams] τόπος[nams] οὗτος[rdams] καί[c] ἀλλάσσω[vifa3s] ὁ[danp] ἔθος[nanp] ὅς[rranp] παραδίδωμι[viaa3s] ἐγώ[rpd-p] Μωϋσῆς[nnms].

ἀγγέλου.
7, 2 Εἶπε δὲ ὁ ἀρχιερεύς, Εἰ ἄρα ταῦτα οὕτως ἔχει· ὁ δὲ ἔφη,
Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. ὁ Θεὸς τῆς δόξης ὤ-
φθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ
3 κατοικῆσαι αὐτὸν ἐν Χαρράν, καὶ εἶπε πρὸς αὐτόν, Ἔξελθε
ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν
4 ἣν ἄν σοι δείξω. τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν
Χαρράν, κἀκεῖθεν, μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, με-
τῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε,
5 καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα πο-
δός, καὶ ἐπηγγείλατο αὐτῷ δοῦναι εἰς κατάσχεσιν αὐτήν, καὶ
6 τῷ σπέρματι αὐτοῦ μετ᾽ αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου. ἐλά-
λησε δὲ οὕτως ὁ Θεός ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν
γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν, ἔτη τε-
7 τρακόσια. καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ
Θεός, καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ
8 τόπῳ τούτῳ. καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ οὕτως
ἐγέννησε τὸν Ἰσαάκ, καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ,
καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.
9 καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυ-
10 πτον, καὶ ἦν ὁ Θεὸς μετ᾽ αὐτοῦ, καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν

---

v.15 καί[c] ἀτενίζω[vpaanmp] εἰς[p] αὐτός[rpams] ἅπας[anmpn] ὁ[dnmp] καθέζομαι[vppnnmp] ἐν[p] ὁ[ddns] συνέδριον[ndns] ὁράω[viaa3p] ὁ[dans] πρόσωπον[nans] αὐτός[rpgms] ὡσεί[bo] πρόσωπον[nans] ἄγγελος[ngms].

ποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει,
παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν 20
τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ, ὁ οὖν διδάσκων ἕτε- 21
ρον, σεαυτὸν οὐ διδάσκεις· ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις·
ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις· ὁ βδελυσσόμενος τὰ εἴδωλα, 22
ἱεροσυλεῖς· ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ 23
νόμου τὸν Θεὸν ἀτιμάζεις· τὸ γὰρ ὄνομα τοῦ Θεοῦ διʹ ὑμᾶς 24
βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καθὼς γέγραπται. περιτομὴ μὲν 25
γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης νόμου ᾖς,
ἡ περιτομή σου ἀκροβυστία γέγονεν. ἐὰν οὖν ἡ ἀκροβυστία τὰ 26
δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς

---

v.13 οὐ[xo] γάρ[c] ὁ[dnmp] ἀκροατής[nnmp] ὁ[dgms] νόμος[ngms] δίκαιος[anmpn] παρά[p] ὁ[ddms] θεός[ndms] ἀλλά[c] ὁ[dnmp] ποιητής[nnmp] ὁ[dgms] νόμος[ngms] δικαιόω[vifp3p]. **v.14** ὅταν[c] γάρ[c] ἔθνος[nnnp] ὁ[dnnp] μή[xo] νόμος[nams] ἔχω[vppannp] φύσις[ndfs] ὁ[danp] ὁ[dgms] νόμος[ngms] ποιέω[vspa3s] οὗτος[rdnmp] νόμος[nams] μή[xo] ἔχω[vppanmp] ἑαυτοῦ[rxdmp] εἰμί[vipx3p] νόμος[nnms]. **v.15** ὅστις[rrnmp] ἐνδείκνυμι[vipm3p] ὁ[dans] ἔργον[nans] ὁ[dgms] νόμος[ngms] γραπτός[aansn] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] αὐτός[rpgmp] συμμαρτυρέω[vppagfs] αὐτός[rpgmp] ὁ[dgfs] συνείδησις[ngfs] καί[c] μεταξύ[bo] ἀλλήλων[regmp] ὁ[dgmp] λογισμός[ngmp] κατηγορέω[vppagmp] ἤ[xo] καί[c] ἀπολογέομαι[vppngmp]. **v.16** ἐν[p] ἡμέρα[ndfs] ὅτε[bo] κρίνω[vifa3s] ὁ[dnms] θεός[nnms] ὁ[danp] κρυπτός[aanpn] ὁ[dgmp] ἄνθρωπος[ngmp] κατά[p] ὁ[dans] εὐαγγέλιον[nans] ἐγώ[rpg-s] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.17** ἴδε[i] σύ[rpn-s] Ἰουδαῖος[anmsn] ἐπονομάζω[vipp2s] καί[c] ἐπαναπαύομαι[vipn2s] ὁ[ddms] νόμος[ndms] καί[c] καυχάομαι[vipn2s] ἐν[p] θεός[ndms]. **v.18** καί[c] γινώσκω[vipa2s] ὁ[dans] θέλημα[nans] καί[c] δοκιμάζω[vipa2s] ὁ[danp] διαφέρω[vppaanp] κατηχέω[vpppnms] ἐκ[p] ὁ[dgms] νόμος[ngms]. **v.19** πείθω[vixa2s] τέ[xo] σεαυτοῦ[rxams] ὁδηγός[nams] εἰμί[vnpx] τυφλός[agmpn] φῶς[nans] ὁ[dgmp] ἐν[p] σκότος[ndns]. **v.20** παιδευτής[nafs] ἄφρων[agmpn] διδάσκαλος[nams] νήπιος[agmpn] ἔχω[vppaams] ὁ[dafs] μόρφωσις[nafs] ὁ[dgfs] γνῶσις[ngfs] καί[c] ὁ[dgfs] ἀλήθεια[ngfs] ἐν[p] ὁ[ddms] νόμος[ndms]. **v.21** ὁ[dnms] οὖν[c] διδάσκω[vppanms] ἕτερος[aamsn] σεαυτοῦ[rxams] οὐ[xo] διδάσκω[vipa2s] ὁ[dnms] κηρύσσω[vppanms] μή[xo] κλέπτω[vnpa] κλέπτω[vipa2s]. **v.22** ὁ[dnms] λέγω[vppanms] μή[xo] μοιχεύω[vnpa] μοιχεύω[vipa2s] ὁ[dnms] βδελύσσομαι[vppnnms] ὁ[danp] εἴδωλον[nanp] ἱεροσυλέω[vipa2s]. **v.23** ὅς[rrnms] ἐν[p] νόμος[ndms] καυχάομαι[vipn2s] διά[p] ὁ[dgfs] παράβασις[ngfs] ὁ[dgms] νόμος[ngms] ὁ[dams] θεός[nams] ἀτιμάζω[vipa2s]. **v.24** ὁ[dnns] γάρ[c] ὄνομα[nnns] ὁ[dgms] θεός[ngms] διά[p] σύ[rpa-p] βλασφημέω[vipp3s] ἐν[p] ὁ[ddnp] ἔθνος[ndnp] καθώς[bo] γράφω[vixp3s]. **v.25** περιτομή[nnfs] μέν[xo] γάρ[c] ὠφελέω[vipa3s] ἐάν[qo] νόμος[nams] πράσσω[vspa2s] ἐάν[qo] δέ[c] παραβάτης[nnms] νόμος[ngms] εἰμί[vspx2s] ὁ[dnfs] περιτομή[nnfs] σύ[rpg-s] ἀκροβυστία[nnfs] γίνομαι[vixa3s].

27 περιτομὴν λογισθήσεται· καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία,
τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παρα-
28 βάτην νόμου· οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν
29 τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ᾽ ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος,
καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος
οὐκ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ.

3 Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς πε-
2 ριτομῆς· πολὺ κατὰ πάντα τρόπον, πρῶτον μὲν γὰρ ὅτι ἐπι-
3 στεύθησαν τὰ λόγια τοῦ Θεοῦ. τί γὰρ εἰ ἠπίστησάν τινες· μὴ
4 ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει· μὴ γένοιτο,
γινέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης, καθὼς
γέγραπται, Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς
5 ἐν τῷ κρίνεσθαί σε. εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην
συνίστησι, τί ἐροῦμεν· μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀρ-
6 γήν· κατὰ ἄνθρωπον λέγω. μὴ γένοιτο, ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς
7 τὸν κόσμον· εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι
ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς
8 κρίνομαι· καὶ μή καθὼς βλασφημούμεθα, καὶ καθώς φασί τι-
νες ἡμᾶς λέγειν ὅτι, Ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά·
9 ὧν τὸ κρίμα ἔνδικόν ἐστι. Τί οὖν· προεχόμεθα· οὐ πάντως,
προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ᾽ ἁ-

---

v.26 ἐάν^{qo} οὖν^{c} ὁ^{dnfs} ἀκροβυστία^{nnfs} ὁ^{danp} δικαίωμα^{nanp} ὁ^{dgms} νόμος^{ngms} φυλάσσω^{vspa3s} οὐχί^{xo} ὁ^{dnfs} ἀκροβυστία^{nnfs} αὐτός^{rpgms} εἰς^{p} περιτομή^{nafs} λογίζομαι^{vifp3s}. **v.27** καί^{c} κρίνω^{vifa3s} ὁ^{dnfs} ἐκ^{p} φύσις^{ngfs} ἀκροβυστία^{nnfs} ὁ^{dams} νόμος^{nams} τελέω^{vppanfs} σύ$^{rpa-s}$ ὁ^{dams} διά^{p} γράμμα^{ngns} καί^{c} περιτομή^{ngfs} παραβάτης^{nams} νόμος^{ngms}. **v.28** οὐ^{xo} γάρ^{c} ὁ^{dnms} ἐν^{p} ὁ^{ddns} φανερός^{adnsn} Ἰουδαῖος^{anmsn} εἰμί^{vipx3s} οὐδέ^{bo} ὁ^{dnfs} ἐν^{p} ὁ^{ddns} φανερός^{adnsn} ἐν^{p} σάρξ^{ndfs} περιτομή^{nnfs}. **v.29** ἀλλά^{c} ὁ^{dnms} ἐν^{p} ὁ^{ddns} κρυπτός^{adnsn} Ἰουδαῖος^{anmsn} καί^{c} περιτομή^{nnfs} καρδία^{ngfs} ἐν^{p} πνεῦμα^{ndns} οὐ^{xo} γράμμα^{ndns} ὅς^{rrgms} ὁ^{dnms} ἔπαινος^{nnms} οὐ^{xo} ἐκ^{p} ἄνθρωπος^{ngmp} ἀλλά^{c} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms}. **3. v.1** τίς^{rqnns} οὖν^{c} ὁ^{dnns} περισσός^{annsn} ὁ^{dgms} Ἰουδαῖος^{agmsn} ἤ^{xo} τίς^{rqnfs} ὁ^{dnfs} ὠφέλεια^{nnfs} ὁ^{dgfs} περιτομή^{ngfs}. **v.2** πολύς^{annsn} κατά^{p} πᾶς^{aamsn} τρόπος^{nams} πρῶτος^{bo} μέν^{xo} γάρ^{c} ὅτι^{c} πιστεύω^{viap3p} ὁ^{danp} λόγιον^{nanp} ὁ^{dgms} θεός^{ngms}. **v.3** τίς^{rqnns} γάρ^{c} εἰ^{qo} ἀπιστέω^{viaa3p} τι-σρινμπ μή^{xo} ὁ^{dnfs} ἀπιστία^{nnfs} αὐτός^{rpgmp} ὁ^{dafs} πίστις^{nafs} ὁ^{dgms} θεός^{ngms} καταργέω^{vifa3s}. **v.4** μή^{xo} γίνομαι^{voad3s} γίνομαι^{vdpn3s} δέ^{c} ὁ^{dnms} θεός^{nnms} ἀληθής^{anmsn} πᾶς^{anmsn} δέ^{c} ἄνθρωπος^{nnms} ψεύστης^{nnms} καθώς^{bo} γράφω^{vixp3s} ὅπως^{bo} ἄν^{xo} δικαιόω^{vsap2s} ἐν^{p} ὁ^{ddmp} λόγος^{ndmp} σύ$^{rpg-s}$ καί^{c} νικάω^{vsaa2s} ἐν^{p} ὁ^{ddms} κρίνω^{vnpp} σύ$^{rpa-s}$. **v.5** εἰ^{qo} δέ^{c} ὁ^{dnfs} ἀδικία^{nnfs} ἐγώ$^{rpg-p}$ θεός^{ngms} δικαιοσύνη^{nafs} συνίστημι^{vipa3s} τίς^{rqans} λέγω^{vifa1p} μή^{xo} ἄδικος^{anmsn} ὁ^{dnms} θεός^{nnms} ὁ^{dnms} ἐπιφέρω^{vppanms} ὁ^{dafs} ὀργή^{nafs} κατά^{p} ἄνθρωπος^{nams} λέγω^{vipa1s}. **v.6** μή^{xo} γίνομαι^{voad3s} ἐπεί^{c} πῶς^{bo} κρίνω^{vifa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dams} κόσμος^{nams}. **v.7** εἰ^{qo} γάρ^{c} ὁ^{dnfs} ἀλήθεια^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} ὁ^{ddns} ἐμός^{rsdns} ψεῦσμα^{ndns} περισσεύω^{viaa3s} εἰς^{p} ὁ^{dafs} δόξα^{nafs} αὐτός^{rpgms} τίς^{rqans} ἔτι^{bo} κἀγώ$^{rpn-s}$ ὡς^{bo} ἁμαρτωλός^{anmsn} κρίνω^{vipp1s}. **v.8** καί^{c} μή^{xo} καθώς^{bo} βλασφημέω^{vipp1p} καί^{c} καθώς^{bo} φημί^{vipx3p} τι-σρινμπ ἐγώ$^{rpa-p}$ λέγω^{vnpa} ὅτι^{c} ποιέω^{vsaa1p} ὁ^{danp} κακός^{aanpn} ἵνα^{c} ἔρχομαι^{vsaa3s} ὁ^{dnnp} ἀγαθός^{annpn} ὅς^{rrgmp} ὁ^{dnns} κρίμα^{nnns} ἔνδικος^{annsn} εἰμί^{vipx3s}.

μαρτίαν εἶναι, καθὼς γέγραπται ὅτι Οὐκ ἔστι δίκαιος οὐδὲ εἷς, 10
οὐκ ἔστιν ὁ συνίων, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν, πάντες ἐξ- 11, 12
έκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ
ἔστιν ἕως ἑνός, τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσ- 13
σαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν 14
τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι 15
αἷμα, σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁ- 16, 17
δὸν εἰρήνης οὐκ ἔγνωσαν, οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν 18
ὀφθαλμῶν αὐτῶν. Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν 19
τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται
πᾶς ὁ κόσμος τῷ Θεῷ, διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται 20
πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ, διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.
νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται, μαρτυ- 21
ρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, δικαιοσύνη δὲ 22
Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας
τοὺς πιστεύοντας, οὐ γάρ ἐστι διαστολή, πάντες γὰρ ἥμαρτον 23
καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν 24
τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ,
ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον, διὰ τῆς πίστεως, ἐν τῷ αὐτοῦ 25
αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν

---

v.9 τίς[rqnns] οὖν[c] προέχω[vipn1p] οὐ[xo] πάντως[bo] προαιτιάομαι[viad1p] γάρ[c] Ἰουδαῖος[aampn] τέ[xo] καί[c] Ἕλλην[namp] πᾶς[aampn] ὑπό[p] ἁμαρτία[nafs] εἰμί[vnpx]. **v.10** καθώς[bo] γράφω[vixp3s] ὅτι[c] οὐ[xo] εἰμί[vipx3s] δίκαιος[anmsn] οὐδέ[bo] εἷς[nnms]. **v.11** οὐ[xo] εἰμί[vipx3s] ὁ[dnms] συνίημι[vppanms] οὐ[xo] εἰμί[vipx3s] ὁ[dnms] ἐκζητέω[vppanms] ὁ[dams] θεός[nams]. **v.12** πᾶς[anmpn] ἐκκλίνω[viaa3p] ἅμα[bo] ἀχρειόω[viap3p] οὐ[xo] εἰμί[vipx3s] ποιέω[vppanms] χρηστότης[nafs] οὐ[xo] εἰμί[vipx3s] ἕως[c] εἷς[ngms]. **v.13** τάφος[nnms] ἀνοίγω[vpxpnms] ὁ[dnms] λάρυγξ[nnms] αὐτός[rpgmp] ὁ[ddfp] γλῶσσα[ndfp] αὐτός[rpgmp] δολιόω[viia3p] ἰός[nnms] ἀσπίς[ngfp] ὑπό[p] ὁ[danp] χεῖλος[nanp] αὐτός[rpgmp]. **v.14** ὅς[rrgmp] ὁ[dnns] στόμα[nnns] ἀρά[ngfs] καί[c] πικρία[ngfs] γέμω[vipa3s]. **v.15** ὀξύς[anmpn] ὁ[dnmp] πούς[nnmp] αὐτός[rpgmp] ἐκχέω[vnaa] αἷμα[nans]. **v.16** σύντριμμα[nnns] καί[c] ταλαιπωρία[nnfs] ἐν[p] ὁ[ddfp] ὁδός[ndfp] αὐτός[rpgmp]. **v.17** καί[c] ὁδός[nafs] εἰρήνη[ngfs] οὐ[xo] γινώσκω[viaa3p]. **v.18** οὐ[xo] εἰμί[vipx3s] φόβος[nnms] θεός[ngms] ἀπέναντι[bo] ὁ[dgmp] ὀφθαλμός[ngmp] αὐτός[rpgmp]. **v.19** οἶδα[vixa1p] δέ[c] ὅτι[c] ὅσος[rcanp] ὁ[dnms] νόμος[nnms] λέγω[vipa3s] ὁ[ddmp] ἐν[p] ὁ[ddms] νόμος[ndms] λαλέω[vipa3s] ἵνα[c] πᾶς[annsn] στόμα[nnns] φράσσω[vsap3s] καί[c] ὑπόδικος[anmsn] γίνομαι[vsad3s] πᾶς[anmsn] ὁ[dnms] κόσμος[nnms] ὁ[ddms] θεός[ndms]. **v.20** διότι[c] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] οὐ[xo] δικαιόω[vifp3s] πᾶς[anfsn] σάρξ[nnfs] ἐνώπιον[bo] αὐτός[rpgms] διά[p] γάρ[c] νόμος[ngms] ἐπίγνωσις[nnfs] ἁμαρτία[ngfs]. **v.21** νυνί[bo] δέ[c] χωρίς[bo] νόμος[ngms] δικαιοσύνη[nnfs] θεός[ngms] φανερόω[vixp3s] μαρτυρέω[vpppnfs] ὑπό[p] ὁ[dgms] νόμος[ngms] καί[c] ὁ[dgmp] προφήτης[ngmp]. **v.22** δικαιοσύνη[nnfs] δέ[c] θεός[ngms] διά[p] πίστις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms] εἰς[p] πᾶς[aampn] καί[c] ἐπί[p] πᾶς[aampn] ὁ[damp] πιστεύω[vppaamp] οὐ[xo] γάρ[c] εἰμί[vipx3s] διαστολή[nnfs]. **v.23** πᾶς[anmpn] γάρ[c] ἁμαρτάνω[viaa3p] καί[c] ὑστερέω[vipp3p] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgms] θεός[ngms]. **v.24** δικαιόω[vpppnmp] δωρεάν[bo] ὁ[ddfs] αὐτός[rpgms] χάρις[ndfs] διά[p] ὁ[dgfs] ἀπολύτρωσις[ngfs] ὁ[dgfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms].

26 τῶν προγεγονότων ἁμαρτημάτων, ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ, πρὸς
ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι
27 αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ. ποῦ οὖν
ἡ καύχησις· ἐξεκλείσθη. διὰ ποίου νόμου· τῶν ἔργων· οὐχί,
28 ἀλλὰ διὰ νόμου πίστεως. λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι
29 ἄνθρωπον, χωρὶς ἔργων νόμου. ἢ Ἰουδαίων ὁ Θεὸς μόνον·
30 οὐχὶ δὲ καὶ ἐθνῶν· ναὶ καὶ ἐθνῶν, ἐπείπερ εἷς ὁ Θεός, ὃς
δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πί-
31 στεως. νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως· μὴ γένοιτο,
ἀλλὰ νόμον ἱστῶμεν.
4 Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ
2 σάρκα· εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα,
3 ἀλλ᾽ οὐ πρὸς τὸν Θεόν. τί γὰρ ἡ γραφὴ λέγει· Ἐπίστευσε δὲ
4 Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τῷ δὲ
ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ τὸ
5 ὀφείλημα. τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δι-
καιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην.
6 καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ
7 Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων, Μακάριοι ὧν ἀφέ-
8 θησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. μακά-
9 ριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. ὁ μακαρισμὸς

---

v.25 ὅς[rrams] προτίθημι[viam3s] ὁ[dnms] θεός[nnms] ἱλαστήριος[nans] διά[p] ὁ[dgfs] πίστις[ngfs] ἐν[p] ὁ[ddns] αὐτός[rpgms] αἷμα[ndns] εἰς[p] ἔνδειξις[nafs] ὁ[dgfs] δικαιοσύνη[ngfs] αὐτός[rpgms] διά[p] ὁ[dafs] πάρεσις[nafs] ὁ[dgnp] προγίνομαι[vpxagnp] ἁμάρτημα[ngnp]. **v.26** ἐν[p] ὁ[ddfs] ἀνοχή[ndfs] ὁ[dgms] θεός[ngms] πρός[p] ἔνδειξις[nafs] ὁ[dgfs] δικαιοσύνη[ngfs] αὐτός[rpgms] ἐν[p] ὁ[ddms] νῦν[bo] καιρός[ndms] εἰς[p] ὁ[dans] εἰμί[vnpx] αὐτός[rpams] δίκαιος[aamsn] καί[c] δικαιόω[vppaams] ὁ[dams] ἐκ[p] πίστις[ngfs] Ἰησοῦς[ngms]. **v.27** ποῦ[xo] οὖν[c] ὁ[dnfs] καύχησις[nnfs] ἐκκλείω[viap3s] διά[p] ποῖος[rqgms] νόμος[ngms] ὁ[dgnp] ἔργον[ngnp] οὐχί[xo] ἀλλά[c] διά[p] νόμος[ngms] πίστις[ngfs]. **v.28** λογίζομαι[vipn1p] οὖν[c] πίστις[ndfs] δικαιόω[vnpp] ἄνθρωπος[nams] χωρίς[bo] ἔργον[ngnp] νόμος[ngms]. **v.29** ἤ[xo] Ἰουδαῖος[agmpn] ὁ[dnms] θεός[nnms] μόνος[bo] οὐχί[xo] δέ[c] καί[c] ἔθνος[ngnp] ναί[xo] καί[c] ἔθνος[ngnp]. **v.30** ἐπείπερ[c] εἷς[nnms] ὁ[dnms] θεός[nnms] ὅς[rrnms] δικαιόω[vifa3s] περιτομή[nafs] ἐκ[p] πίστις[ngfs] καί[c] ἀκροβυστία[nafs] διά[p] ὁ[dgfs] πίστις[ngfs]. **v.31** νόμος[nams] οὖν[c] καταργέω[vipa1p] διά[p] ὁ[dgfs] πίστις[ngfs] μή[xo] γίνομαι[voad3s] ἀλλά[c] νόμος[nams] ἵστημι[vipa1p]. **4. v.1** τίς[rqans] οὖν[c] λέγω[vifa1p] Ἀβραάμ[tp] ὁ[dams] πατήρ[nams] ἐγώ[rpg-p] εὑρίσκω[vnxa] κατά[p] σάρξ[nafs]. **v.2** εἰ[qo] γάρ[c] Ἀβραάμ[tp] ἐκ[p] ἔργον[ngnp] δικαιόω[viap3s] ἔχω[vipa3s] καύχημα[nans] ἀλλά[c] οὐ[xo] πρός[p] ὁ[dams] θεός[nams]. **v.3** τίς[rqans] γάρ[c] ὁ[dnfs] γραφή[nnfs] λέγω[vipa3s] πιστεύω[viaa3s] δέ[c] Ἀβραάμ[tp] ὁ[ddms] θεός[ndms] καί[c] λογίζομαι[viap3s] αὐτός[rpdms] εἰς[p] δικαιοσύνη[nafs]. **v.4** ὁ[ddms] δέ[c] ἐργάζομαι[vppndms] ὁ[dnms] μισθός[nnms] οὐ[xo] λογίζομαι[vipn3s] κατά[p] χάρις[nafs] ἀλλά[c] κατά[p] ὁ[dans] ὀφείλημα[nans]. **v.5** ὁ[ddms] δέ[c] μή[xo] ἐργάζομαι[vppndms] πιστεύω[vppadms] δέ[c] ἐπί[p] ὁ[dams] δικαιόω[vppaams] ὁ[dams] ἀσεβής[aamsn] λογίζομαι[vipn3s] ὁ[dnfs] πίστις[nnfs] αὐτός[rpgms] εἰς[p] δικαιοσύνη[nafs]. **v.6** καθάπερ[bo] καί[c] Δαυίδ[tp] λέγω[vipa3s] ὁ[dams] μακαρισμός[nams] ὁ[dgms] ἄνθρωπος[ngms] ὅς[rrdms] ὁ[dnms] θεός[nnms] λογίζομαι[vipn3s] δικαιοσύνη[nafs] χωρίς[bo] ἔργον[ngnp]. **v.7** μακάριος[anmpn] ὅς[rrgmp] ἀφίημι[viap3p] ὁ[dnfp] ἀνομία[nnfp] καί[c] ὅς[rrgmp] ἐπικαλύπτω[viap3p] ὁ[dnfp] ἁμαρτία[nnfp]. **v.8** μακάριος[anmsn] ἀνήρ[nnms] ὅς[rrdms] ὅς[xo] μή[xo] λογίζομαι[vsad3s] κύριος[nnms] ἁμαρτία[nafs].

οὖν οὗτος ἐπὶ τὴν περιτομήν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν· λέ-
γομεν γὰρ ὅτι Ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.
πῶς οὖν ἐλογίσθη· ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ· οὐκ ἐν 10
περιτομῇ, ἀλλ᾽ ἐν ἀκροβυστίᾳ, καὶ σημεῖον ἔλαβε περιτομῆς, 11
σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ,
εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι᾽ ἀκρο-
βυστίας, εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην, καὶ 12
πατέρα περιτομῆς τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς
στοιχοῦσι τοῖς ἴχνεσι τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς
ἡμῶν Ἀβραάμ. οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ τῷ 13
σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλ-
λὰ διὰ δικαιοσύνης πίστεως. εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, 14
κεκένωται ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία, ὁ γὰρ νόμος 15
ὀργὴν κατεργάζεται, οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις.
διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν 16
ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον ἀλλὰ
καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν. καθὼς 17
γέγραπται ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε κατέναντι οὗ
ἐπίστευσε Θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ καλοῦν-
τος τὰ μὴ ὄντα ὡς ὄντα. ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσεν, 18
εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημέ-

---

v.9 ὁ[dnms] μακαρισμός[nnms] οὖν[c] οὗτος[rdnms] ἐπί[p] ὁ[dafs] περιτομή[nafs] ἤ[xo] καί[c] ἐπί[p] ὁ[dafs] ἀκροβυστία[nafs] λέγω[vipa1p] γάρ[c] ὅτι[c] λογίζομαι[viap3s] ὁ[ddms] Ἀβραάμ[tp] ὁ[dnfs] πίστις[nnfs] εἰς[p] δικαιοσύνη[nafs]. **v.10** πῶς[bo] οὖν[c] λογίζομαι[viap3s] ἐν[p] περιτομή[ndfs] εἰμί[vppxdms] ἤ[xo] ἐν[p] ἀκροβυστία[ndfs] οὐ[xo] ἐν[p] περιτομή[ndfs] ἀλλά[c] ἐν[p] ἀκροβυστία[ndfs]. **v.11** καί[c] σημεῖον[nans] λαμβάνω[viaa3s] περιτομή[ngfs] σφραγίς[nafs] ὁ[dgfs] δικαιοσύνη[ngfs] ὁ[dgfs] πίστις[ngfs] ὁ[dgfs] ἐν[p] ὁ[ddfs] ἀκροβυστία[ndfs] εἰς[p] ὁ[dans] εἰμί[vnpx] αὐτός[rpams] πατήρ[nams] πᾶς[agmpn] ὁ[dgmp] πιστεύω[vppagmp] διά[p] ἀκροβυστία[ngfs] εἰς[p] ὁ[dans] λογίζομαι[vnap] καί[c] αὐτός[rpdmp] ὁ[dafs] δικαιοσύνη[nafs]. **v.12** καί[c] πατήρ[nams] περιτομή[ngfs] ὁ[ddmp] οὐ[xo] ἐκ[p] περιτομή[ngfs] μόνος[bo] ἀλλά[c] καί[c] ὁ[ddmp] στοιχέω[vppadmp] ὁ[ddnp] ἴχνος[ndnp] ὁ[dgfs] ἐν[p] ὁ[ddfs] ἀκροβυστία[ndfs] πίστις[ngfs] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-p] Ἀβραάμ[tp]. **v.13** οὐ[xo] γάρ[c] διά[p] νόμος[ngms] ὁ[dnfs] ἐπαγγελία[nnfs] ὁ[ddms] Ἀβραάμ[tp] ἤ[xo] ὁ[ddns] σπέρμα[ndns] αὐτός[rpgms] ὁ[dnns] κληρονόμος[nams] αὐτός[rpams] εἰμί[vnpx] ὁ[dgms] κόσμος[ngms] ἀλλά[c] διά[p] δικαιοσύνη[ngfs] πίστις[ngfs]. **v.14** εἰ[qo] γάρ[c] ὁ[dnmp] ἐκ[p] νόμος[ngms] κληρονόμος[nnmp] κενόω[vixp3s] ὁ[dnfs] πίστις[nnfs] καί[c] καταργέω[vixp3s] ὁ[dnfs] ἐπαγγελία[nnfs]. **v.15** ὁ[dnms] γάρ[c] νόμος[nnms] ὀργή[nafs] κατεργάζομαι[vipn3s] ὅς[bo] γάρ[c] οὐ[xo] εἰμί[vipx3s] νόμος[nnms] οὐδέ[bo] παράβασις[nnfs]. **v.16** διά[p] οὗτος[rdans] ἐκ[p] πίστις[ngfs] ἵνα[c] κατά[p] χάρις[nafs] εἰς[p] ὁ[dans] εἰμί[vnpx] βέβαιος[aafsn] ὁ[dafs] ἐπαγγελία[nafs] πᾶς[adnsn] ὁ[ddns] σπέρμα[ndns] οὐ[xo] ὁ[ddns] ἐκ[p] ὁ[dgms] νόμος[ngms] μόνος[bo] ἀλλά[c] καί[c] ὁ[ddns] ἐκ[p] πίστις[ngfs] Ἀβραάμ[tp] ὅς[rrnms] εἰμί[vipx3s] πατήρ[nnms] πᾶς[agmpn] ἐγώ[rpg-p]. **v.17** καθώς[bo] γράφω[vixp3s] ὅτι[c] πατήρ[nams] πολύς[agnpn] ἔθνος[ngnp] τίθημι[vixa1s] σύ[rpa-s] κατέναντι[bo] ὅς[rrgms] πιστεύω[viaa3s] θεός[ngms] ὁ[dgms] ζῳοποιέω[vppagms] ὁ[damp] νεκρός[aampn] καί[c] καλέω[vppagms] ὁ[danp] μή[xo] εἰμί[vppxanp] ὡς[bo] εἰμί[vppxanp].

19 νον, Οὕτως ἔσται τὸ σπέρμα σου. καὶ μὴ ἀσθενήσας τῇ πίστει,
οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον ἑκατονταέ-
20 της που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας, εἰς
δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ᾽ ἐνε-
21 δυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς
22 ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. διὸ καὶ ἐλογί-
23 σθη αὐτῷ εἰς δικαιοσύνην. οὐκ ἐγράφη δὲ δι᾽ αὐτὸν μόνον,
24 ὅτι ἐλογίσθη αὐτῷ, ἀλλὰ καὶ δι᾽ ἡμᾶς, οἷς μέλλει λογίζεσθαι,
τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ
25 νεκρῶν, ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη
διὰ τὴν δικαίωσιν ἡμῶν.
5 Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν
2 διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ τὴν προσαγω-
γὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν,
3 καὶ καυχώμεθα ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. οὐ μόνον δέ,
ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑ-
4 πομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ
5 ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ
ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος Ἁγίου τοῦ
6 δοθέντος ἡμῖν. ἔτι γὰρ Χριστός, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ
7 καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. μόλις γὰρ ὑπὲρ δικαίου τις

---

v.18 ὅς[rrnms] παρά[p] ἐλπίς[nafs] ἐπί[p] ἐλπίς[ndfs] πιστεύω[viaa3s] εἰς[p] ὁ[dans] γίνομαι[vnad] αὐτός[rpams] πατήρ[nams] πολύς[agnpn] ἔθνος[ngnp] κατά[p] ὁ[dans] λέγω[vpxpans] οὕτω[bo] εἰμί[vifx3s] ὁ[dnns] σπέρμα[nnns] σύ[rpg-s]. **v.19** καί[c] μή[xo] ἀσθενέω[vpaanms] ὁ[ddfs] πίστις[ndfs] ὅς[xo] κατανοέω[viaa3s] ὁ[dans] ἑαυτοῦ[rxgms] σῶμα[nans] ἤδη[bo] νεκρόω[vpxpans] ἑκατονταετής[anmsn] πού[xo] ὑπάρχω[vppanms] καί[c] ὁ[dafs] νέκρωσις[nafs] ὁ[dgfs] μήτρα[ngfs] Σάρρα[ngfs]. **v.20** εἰς[p] δέ[c] ὁ[dafs] ἐπαγγελία[nafs] ὁ[dgms] θεός[ngms] οὐ[xo] διακρίνω[viap3s] ὁ[ddfs] ἀπιστία[ndfs] ἀλλά[c] ἐνδυναμόω[viap3s] ὁ[ddfs] πίστις[ndfs] δίδωμι[vpaanms] δόξα[nafs] ὁ[ddms] θεός[ndms]. **v.21** καί[c] πληροφορέω[vpapnms] ὅτι[c] ὅς[rrans] ἐπαγγέλλομαι[vixn3s] δυνατός[anmsn] εἰμί[vipx3s] καί[c] ποιέω[vnaa]. **v.22** διό[c] καί[c] λογίζομαι[viap3s] αὐτός[rpdms] εἰς[p] δικαιοσύνη[nafs]. **v.23** οὐ[xo] γράφω[viap3s] δέ[c] διά[p] αὐτός[rpams] μόνος[bo] ὅτι[c] λογίζομαι[viap3s] αὐτός[rpdms]. **v.24** ἀλλά[c] καί[c] διά[p] ἐγώ[rpa-p] ὅς[rrdmp] μέλλω[vipa3s] λογίζομαι[vnpp] ὁ[ddmp] πιστεύω[vppadmp] ἐπί[p] ὁ[dams] ἐγείρω[vpaaams] Ἰησοῦς[nams] ὁ[dams] κύριος[nams] ἐγώ[rpg-p] ἐκ[p] νεκρός[agmpn]. **v.25** ὅς[rrnms] παραδίδωμι[viap3s] διά[p] ὁ[danp] παράπτωμα[nanp] ἐγώ[rpg-p] καί[c] ἐγείρω[viap3s] διά[p] ὁ[dafs] δικαίωσις[nafs] ἐγώ[rpg-p]. **5. v.1** δικαιόω[vpapnmp] οὖν[c] ἐκ[p] πίστις[ngfs] εἰρήνη[nafs] ἔχω[vipa1p] πρός[p] ὁ[dams] θεός[nams] διά[p] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.2** διά[p] ὅς[rrgms] καί[c] ὁ[dafs] προσαγωγή[nafs] ἔχω[vixa1p] ὁ[ddfs] πίστις[ndfs] εἰς[p] ὁ[dafs] χάρις[nafs] οὗτος[rdafs] ἐν[p] ὅς[rrdfs] ἵστημι[vixa1p] καί[c] καυχάομαι[vipn1p] ἐπί[p] ἐλπίς[ndfs] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgms] θεός[ngms]. **v.3** οὐ[xo] μόνος[bo] δέ[c] ἀλλά[c] καί[c] καυχάομαι[vipn1p] ἐν[p] ὁ[ddfp] θλῖψις[ndfp] οἶδα[vpxanmp] ὅτι[c] ὁ[dnfs] θλῖψις[nnfs] ὑπομονή[nafs] κατεργάζομαι[vipn3s]. **v.4** ὁ[dnfs] δέ[c] ὑπομονή[nnfs] δοκιμή[nafs] ὁ[dnfs] δέ[c] δοκιμή[nnfs] ἐλπίς[nafs]. **v.5** ὁ[dnfs] δέ[c] ἐλπίς[nnfs] οὐ[xo] καταισχύνω[vipa3s] ὅτι[c] ὁ[dnfs] ἀγάπη[nnfs] ὁ[dgms] θεός[ngms] ἐκχέω[vixp3s] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] ἐγώ[rpg-p] διά[p] πνεῦμα[ngns] ἅγιος[agnsn] ὁ[dgns] δίδωμι[vpapgns] ἐγώ[rpd-p]. **v.6** ἔτι[bo] γάρ[c] Χριστός[nnms] εἰμί[vppxgmp] ἐγώ[rpg-p] ἀσθενής[agmpn] κατά[p] καιρός[nams] ὑπέρ[p] ἀσεβής[agmpn] ἀποθνῄσκω[viaa3s].

ἀποθανεῖται, ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθα-
νεῖν. συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι 8
ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πολλῷ 9
οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα
δι᾽ αὐτοῦ ἀπὸ τῆς ὀργῆς. εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν 10
τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλ-
λαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ, οὐ μόνον δέ, ἀλλὰ καὶ 11
καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
δι᾽ οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν. Διὰ τοῦτο, ὥσπερ δι᾽ ἑ- 12
νὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς
ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνα-
τος διῆλθεν, ἐφ᾽ ᾧ πάντες ἥμαρτον, ἄχρι γὰρ νόμου ἁμαρτία 13
ἦν ἐν κόσμῳ, ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου. ἀλλ᾽ 14
ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως καὶ ἐπὶ τοὺς
μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς
ἐστι τύπος τοῦ μέλλοντος. ἀλλ᾽ οὐχ ὡς τὸ παράπτωμα, οὕτω 15
καὶ τὸ χάρισμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ
ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν
χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς
ἐπερίσσευσε. καὶ οὐχ ὡς δι᾽ ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα, 16
τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ

---

v.7 μόλις[bo] γάρ[c] ὑπέρ[p] δίκαιος[agmsn] τι-σρινμσ ἀποθνῄσκω[vifd3s] ὑπέρ[p] γάρ[c] ὁ[dgms] ἀγαθός[agmsn] τάχα[bo] τι-σρινμσ καί[c] τολμάω[vipa3s] ἀποθνῄσκω[vnaa]. **v.8** συνίστημι[vipa3s] δέ[c] ὁ[dafs] ἑαυτοῦ[rxgms] ἀγάπη[nafs] εἰς[p] ἐγώ[rpa-p] ὁ[dnms] θεός[nnms] ὅτι[c] ἔτι[bo] ἁμαρτωλός[agmpn] εἰμί[vppxgmp] ἐγώ[rpg-p] Χριστός[nnms] ὑπέρ[p] ἐγώ[rpg-p] ἀποθνῄσκω[viaa3s]. **v.9** πολύς[admsn] οὖν[c] μᾶλλον[bo] δικαιόω[vpapnmp] νῦν[bo] ἐν[p] ὁ[ddns] αἷμα[ndns] αὐτός[rpgms] σῴζω[vifp1p] διά[p] αὐτός[rpgms] ἀπό[p] ὁ[dgfs] ὀργή[ngfs]. **v.10** εἰ[qo] γάρ[c] ἐχθρός[anmpn] εἰμί[vppxnmp] καταλλάσσω[viap1p] ὁ[ddms] θεός[ndms] διά[p] ὁ[dgms] θάνατος[ngms] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] πολύς[admsn] μᾶλλον[bo] καταλλάσσω[vpapnmp] σῴζω[vifp1p] ἐν[p] ὁ[ddfs] ζωή[ndfs] αὐτός[rpgms]. **v.11** οὐ[xo] μόνος[bo] δέ[c] ἀλλά[c] καί[c] καυχάομαι[vppnnmp] ἐν[p] ὁ[ddms] θεός[ndms] διά[p] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] διά[p] ὅς[rrgms] νῦν[bo] ὁ[dafs] καταλλαγή[nafs] λαμβάνω[viaa1p]. **v.12** διά[p] οὗτος[rdans] ὥσπερ[bo] διά[p] εἷς[ngms] ἄνθρωπος[ngms] ὁ[dnfs] ἁμαρτία[nnfs] εἰς[p] ὁ[dams] κόσμος[nams] εἰσέρχομαι[viaa3s] καί[c] διά[p] ὁ[dgfs] ἁμαρτία[ngfs] ὁ[dnms] θάνατος[nnms] καί[c] οὕτω[bo] εἰς[p] πᾶς[aampn] ἄνθρωπος[namp] ὁ[dnms] θάνατος[nnms] διέρχομαι[viaa3s] ἐπί[p] ὅς[rrdns] πᾶς[anmpn] ἁμαρτάνω[viaa3p]. **v.13** ἄχρι[p] γάρ[c] νόμος[ngms] ἁμαρτία[nnfs] εἰμί[viix3s] ἐν[p] κόσμος[ndms] ἁμαρτία[nnfs] δέ[c] οὐ[xo] ἐλλογέω[vipp3s] μή[xo] εἰμί[vppxgms] νόμος[ngms]. **v.14** ἀλλά[c] βασιλεύω[viaa3s] ὁ[dnms] θάνατος[nnms] ἀπό[p] Ἀδάμ[tp] μέχρι[bo] Μωϋσῆς[ngms] καί[c] ἐπί[p] ὁ[damp] μή[xo] ἁμαρτάνω[vpaaamp] ἐπί[p] ὁ[ddns] ὁμοίωμα[ndns] ὁ[dgfs] παράβασις[ngfs] Ἀδάμ[tp] ὅς[rrnms] εἰμί[vipx3s] τύπος[nnms] ὁ[dgms] μέλλω[vppagms]. **v.15** ἀλλά[c] οὐ[xo] ὡς[bo] ὁ[dnns] παράπτωμα[nnns] οὕτω[bo] καί[c] ὁ[dnns] χάρισμα[nnns] εἰ[qo] γάρ[c] ὁ[ddns] ὁ[dgms] εἷς[ngms] παράπτωμα[ndns] ὁ[dnmp] πολύς[anmpn] ἀποθνῄσκω[viaa3p] πολύς[admsn] μᾶλλον[bo] ὁ[dnfs] χάρις[nnfs] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dnfs] δωρεά[nnfs] ἐν[p] χάρις[ndfs] ὁ[ddfs] ὁ[dgms] εἷς[ngms] ἄνθρωπος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms] εἰς[p] ὁ[damp] πολύς[aampn] περισσεύω[viaa3s].

17 πολλῶν παραπτωμάτων εἰς δικαίωμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς πα-
ραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον
οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης
λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.
18 ἄρα οὖν ὡς δι᾽ ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς
κατάκριμα, οὕτω καὶ δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώ-
19 πους εἰς δικαίωσιν ζωῆς. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ
ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ
διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.
20 νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα, οὗ δὲ ἐ-
21 πλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, ἵνα ὥσπερ
ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασι-
λεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ
τοῦ Κυρίου ἡμῶν.

6 Τί οὖν ἐροῦμεν· ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλε-
2 ονάσῃ· μὴ γένοιτο. οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι
3 ζήσομεν ἐν αὐτῇ· ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χρι-
4 στὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συνετάφη-
μεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ
ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω
5 καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. εἰ γὰρ σύμφυ-
τοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς

---

v.16 καί[c] οὐ[xo] ὡς[bo] διά[p] εἷς[ngms] ἁμαρτάνω[vpaagms] ὁ[dnns] δώρημα[nnns] ὁ[dnns] μέν[xo] γάρ[c] κρίμα[nnns] ἐκ[p] εἷς[ngms] εἰς[p] κατάκριμα[nans] ὁ[dnns] δέ[c] χάρισμα[nnns] ἐκ[p] πολύς[agnpn] παράπτωμα[ngnp] εἰς[p] δικαίωμα[nans]. **v.17** εἰ[qo] γάρ[c] ὁ[ddns] ὁ[dgms] εἷς[ngms] παράπτωμα[ndns] ὁ[dnms] θάνατος[nnms] βασιλεύω[viaa3s] διά[p] ὁ[dgms] εἷς[ngms] πολύς[admsn] μᾶλλον[bo] ὁ[dnmp] ὁ[dafs] περισσεία[nafs] ὁ[dgfs] χάρις[ngfs] καί[c] ὁ[dgfs] δωρεά[ngfs] ὁ[dgfs] δικαιοσύνη[ngfs] λαμβάνω[vppanmp] ἐν[p] ζωή[ndfs] βασιλεύω[vifa3p] διά[p] ὁ[dgms] εἷς[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.18** ἄρα[xo] οὖν[c] ὡς[bo] διά[p] εἷς[ngms] παράπτωμα[ngns] εἰς[p] πᾶς[aampn] ἄνθρωπος[namp] εἰς[p] κατάκριμα[nans] οὕτω[bo] καί[c] διά[p] εἷς[ngms] δικαίωμα[ngns] εἰς[p] πᾶς[aampn] ἄνθρωπος[namp] εἰς[p] δικαίωσις[nafs] ζωή[ngfs]. **v.19** ὥσπερ[bo] γάρ[c] διά[p] ὁ[dgfs] παρακοή[ngfs] ὁ[dgms] εἷς[ngms] ἄνθρωπος[ngms] ἁμαρτωλός[anmpn] καθίστημι[viap3p] ὁ[dnmp] πολύς[anmpn] οὕτω[bo] καί[c] διά[p] ὁ[dgfs] ὑπακοή[ngfs] ὁ[dgms] εἷς[ngms] δίκαιος[anmpn] καθίστημι[vifp3p] ὁ[dnmp] πολύς[anmpn]. **v.20** νόμος[nnms] δέ[c] παρεισέρχομαι[viaa3s] ἵνα[c] πλεονάζω[vsaa3s] ὁ[dnns] παράπτωμα[nnns] ὅς[bo] δέ[c] πλεονάζω[viaa3s] ὁ[dnfs] ἁμαρτία[nnfs] ὑπερπερισσεύω[viaa3s] ὁ[dnfs] χάρις[nnfs]. **v.21** ἵνα[c] ὥσπερ[bo] βασιλεύω[viaa3s] ὁ[dnfs] ἁμαρτία[nnfs] ἐν[p] ὁ[ddms] θάνατος[ndms] οὕτω[bo] καί[c] ὁ[dnfs] χάρις[nnfs] βασιλεύω[vsaa3s] διά[p] δικαιοσύνη[ngfs] εἰς[p] ζωή[nafs] αἰώνιος[aafsn] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p]. **6. v.1** τίς[rqans] οὖν[c] λέγω[vifa1p] ἐπιμένω[vifa1p] ὁ[ddfs] ἁμαρτία[ndfs] ἵνα[c] ὁ[dnfs] χάρις[nnfs] πλεονάζω[vsaa3s]. **v.2** μή[xo] γίνομαι[voad3s] ὅστις[rrnmp] ἀποθνῄσκω[viaa1p] ὁ[ddfs] ἁμαρτία[ndfs] πῶς[bo] ἔτι[bo] ζάω[vifa1p] ἐν[p] αὐτός[rpdfs]. **v.3** ἤ[xo] ἀγνοέω[vipa2p] ὅτι[c] ὅσος[rcnmp] βαπτίζω[viap1p] εἰς[p] Χριστός[nams] Ἰησοῦς[nams] εἰς[p] ὁ[dams] θάνατος[nams] αὐτός[rpgms] βαπτίζω[viap1p]. **v.4** συνθάπτω[viap1p] οὖν[c] αὐτός[rpdms] διά[p] ὁ[dgns] βάπτισμα[ngns] εἰς[p] ὁ[dams] θάνατος[nams] ἵνα[c] ὥσπερ[bo] ἐγείρω[viap3s] Χριστός[nnms] ἐκ[p] νεκρός[agmpn] διά[p] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgms] πατήρ[ngms] οὕτω[bo] καί[c] ἐγώ[rpn-p] ἐν[p] καινότης[ndfs] ζωή[ngfs] περιπατέω[vsaa1p].

ἀναστάσεως ἐσόμεθα, τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν 6
ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρ-
τίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ, ὁ γὰρ ἀποθανὼν 7
δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. εἰ δὲ ἀπεθάνομεν σὺν Χρι- 8
στῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ, εἰδότες ὅτι Χριστὸς 9
ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει, θάνατος αὐτοῦ οὐκέτι
κυριεύει. ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ 10
δὲ ζῇ, ζῇ τῷ Θεῷ. οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς 11
μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ
Κυρίῳ ἡμῶν. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑ- 12
μῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτη˜ͅ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ,
μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλ- 13
λὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ
μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. ἁμαρτία γὰρ ὑμῶν οὐ 14
κυριεύσει, οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν. Τί οὖν· 15
ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν· μὴ
γένοιτο. οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς 16
ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνα-
τον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην· χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε 17
δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρε-
δόθητε τύπον διδαχῆς, ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, 18

---

v.5 εἰ[qo] γάρ[c] σύμφυτος[anmpn] γίνομαι[vixa1p] ὁ[ddns] ὁμοίωμα[ndns] ὁ[dgms] θάνατος[ngms] αὐτός[rpgms] ἀλλά[c] καί[c] ὁ[dgfs] ἀνάστασις[ngfs] εἰμί[vifx1p]. **v.6** οὗτος[rdans] γινώσκω[vppanmp] ὅτι[c] ὁ[dnms] παλαιός[anmsn] ἐγώ[rpg-p] ἄνθρωπος[nnms] συσταυρόω[viap3s] ἵνα[c] καταργέω[vsap3s] ὁ[dnns] σῶμα[nnns] ὁ[dgfs] ἁμαρτία[ngfs] ὁ[dgms] μηκέτι[bo] δουλεύω[vnpa] ἐγώ[rpa-p] ὁ[ddfs] ἁμαρτία[ndfs]. **v.7** ὁ[dnms] γάρ[c] ἀποθνῄσκω[vpaanms] δικαιόω[vixp3s] ἀπό[p] ὁ[dgfs] ἁμαρτία[ngfs]. **v.8** εἰ[qo] δέ[c] ἀποθνῄσκω[viaa1p] σύν[p] Χριστός[ndms] πιστεύω[vipa1p] ὅτι[c] καί[c] συζάω[vifa1p] αὐτός[rpdms]. **v.9** οἶδα[vpxanmp] ὅτι[c] Χριστός[nnms] ἐγείρω[vpapnms] ἐκ[p] νεκρός[agmpn] οὐκέτι[bo] ἀποθνῄσκω[vipa3s] θάνατος[nnms] αὐτός[rpgms] οὐκέτι[bo] κυριεύω[vipa3s]. **v.10** ὅς[rrans] γάρ[c] ἀποθνῄσκω[viaa3s] ὁ[ddfs] ἁμαρτία[ndfs] ἀποθνῄσκω[viaa3s] ἐφάπαξ[bo] ὅς[rrans] δέ[c] ζάω[vipa3s] ζάω[vipa3s] ὁ[ddms] θεός[ndms]. **v.11** οὕτω[bo] καί[c] σύ[rpn-p] λογίζομαι[vdpn2p] ἑαυτοῦ[rxamp] νεκρός[aampn] μέν[xo] εἰμί[vnpx] ὁ[ddfs] ἁμαρτία[ndfs] ζάω[vppaamp] δέ[c] ὁ[ddms] θεός[ndms] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-p]. **v.12** μή[xo] οὖν[c] βασιλεύω[vdpa3s] ὁ[dnfs] ἁμαρτία[nnfs] ἐν[p] ὁ[ddns] θνητός[adnsn] σύ[rpg-p] σῶμα[ndns] εἰς[p] ὁ[dans] ὑπακούω[vnpa] αὐτός[rpdfs] ἐν[p] ὁ[ddfp] ἐπιθυμία[ndfp] αὐτός[rpgns]. **v.13** μηδέ[c] παρίστημι[vdpa2p] ὁ[danp] μέλος[nanp] σύ[rpg-p] ὅπλον[nanp] ἀδικία[ngfs] ὁ[ddfs] ἁμαρτία[ndfs] ἀλλά[c] παρίστημι[vdaa2p] ἑαυτοῦ[rxamp] ὁ[ddms] θεός[ndms] ὡς[bo] ἐκ[p] νεκρός[agmpn] ζάω[vppaamp] καί[c] ὁ[danp] μέλος[nanp] σύ[rpg-p] ὅπλον[nanp] δικαιοσύνη[ngfs] ὁ[ddms] θεός[ndms]. **v.14** ἁμαρτία[nnfs] γάρ[c] σύ[rpg-p] οὐ[xo] κυριεύω[vifa3s] οὐ[xo] γάρ[c] εἰμί[vipx2p] ὑπό[p] νόμος[nams] ἀλλά[c] ὑπό[p] χάρις[nafs]. **v.15** τίς[rqnns] οὖν[c] ἁμαρτάνω[vifa1p] ὅτι[c] οὐ[xo] εἰμί[vipx1p] ὑπό[p] νόμος[nams] ἀλλά[c] ὑπό[p] χάρις[nafs] μή[xo] γίνομαι[voad3s]. **v.16** οὐ[xo] οἶδα[vixa2p] ὅτι[c] ὅς[rrdns] παρίστημι[vipa2p] ἑαυτοῦ[rxamp] δοῦλος[namp] εἰς[p] ὑπακοή[nafs] δοῦλος[nnmp] εἰμί[vipx2p] ὅς[rrdns] ὑπακούω[vipa2p] ἤτοι[c] ἁμαρτία[ngfs] εἰς[p] θάνατος[nams] ἤ[xo] ὑπακοή[ngfs] εἰς[p] δικαιοσύνη[nafs]. **v.17** χάρις[nnfs] δέ[c] ὁ[ddms] θεός[ndms] ὅτι[c] εἰμί[viix2p] δοῦλος[nnmp] ὁ[dgfs] ἁμαρτία[ngfs] ὑπακούω[viaa2p] δέ[c] ἐκ[p] καρδία[ngfs] εἰς[p] ὅς[rrams] παραδίδωμι[viap2p] τύπος[nams] διδαχή[ngfs].

19 ἐδουλώθητε τῇ δικαιοσύνῃ. ἀνθρώπινον λέγω διὰ τὴν ἀσθέ-
νειαν τῆς σαρκὸς ὑμῶν, ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν
δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν
παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.
20 ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύ-
21 νῃ. τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε· τὸ
22 γὰρ τέλος ἐκείνων θάνατος. νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς
ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς
23 ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον. τὰ γὰρ ὀψώνια τῆς ἁμαρ-
τίας θάνατος, τὸ δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ
Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.
7 Ἢ ἀγνοεῖτε, ἀδελφοί γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νό-
2 μος κυριεύει τοῦ ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ· ἡ γὰρ ὕπαν-
δρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ,
3 κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. ἄρα οὖν ζῶντος τοῦ
ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ, ἐὰν δὲ
ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι
4 αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ. ὥστε, ἀδελφοί μου,
καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ,
εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρπο-
5 φορήσωμεν τῷ Θεῷ. ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα
τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν

---

v.18 ἐλευθερόω[vpapnmp] δέ[c] ἀπό[p] ὁ[dgfs] ἁμαρτία[ngfs] δουλόω[viap2p] ὁ[ddfs] δικαιοσύνη[ndfs]. **v.19** ἀνθρώπινος[aansn] λέγω[vipa1s] διά[p] ὁ[dafs] ἀσθένεια[nafs] ὁ[dgfs] σάρξ[ngfs] σύ[rpg-p] ὥσπερ[bo] γάρ[c] παρίστημι[viaa2p] ὁ[danp] μέλος[nanp] σύ[rpg-p] δοῦλος[aanpn] ὁ[ddfs] ἀκαθαρσία[ndfs] καί[c] ὁ[ddfs] ἀνομία[ndfs] εἰς[p] ὁ[dafs] ἀνομία[nafs] οὕτω[bo] νῦν[bo] παρίστημι[vdaa2p] ὁ[danp] μέλος[nanp] σύ[rpg-p] δοῦλος[aanpn] ὁ[ddfs] δικαιοσύνη[ndfs] εἰς[p] ἁγιασμός[nams]. **v.20** ὅτε[bo] γάρ[c] δοῦλος[nnmp] εἰμί[viix2p] ὁ[dgfs] ἁμαρτία[ngfs] ἐλεύθερος[anmpn] εἰμί[viix2p] ὁ[ddfs] δικαιοσύνη[ndfs]. **v.21** τίς[rqams] οὖν[c] καρπός[nams] ἔχω[viia2p] τότε[bo] ἐπί[p] ὅς[rrdnp] νῦν[bo] ἐπαισχύνομαι[vipn2p] ὁ[dnns] γάρ[c] τέλος[nnns] ἐκεῖνος[rdgmp] θάνατος[nnms]. **v.22** νυνί[bo] δέ[c] ἐλευθερόω[vpapnmp] ἀπό[p] ὁ[dgfs] ἁμαρτία[ngfs] δουλόω[vpapnmp] δέ[c] ὁ[ddms] θεός[ndms] ἔχω[vipa2p] ὁ[dams] καρπός[nams] σύ[rpg-p] εἰς[p] ἁγιασμός[nams] ὁ[dnns] δέ[c] τέλος[nnns] ζωή[nafs] αἰώνιος[aafsn]. **v.23** ὁ[dnnp] γάρ[c] ὀψώνιον[nnnp] ὁ[dgfs] ἁμαρτία[ngfs] θάνατος[nnms] ὁ[dnns] δέ[c] χάρισμα[nnns] ὁ[dgms] θεός[ngms] ζωή[nnfs] αἰώνιος[anfsn] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-p]. **7. v.1** ἤ[xo] ἀγνοέω[vipa2p] ἀδελφός[nvmp] γινώσκω[vppadmp] γάρ[c] νόμος[nams] λαλέω[vipa1s] ὅτι[c] ὁ[dnms] νόμος[nnms] κυριεύω[vipa3s] ὁ[dgms] ἄνθρωπος[ngms] ἐπί[p] ὅσος[rcams] χρόνος[nams] ζάω[vipa3s]. **v.2** ὁ[dnfs] γάρ[c] ὕπανδρος[anfsn] γυνή[nnfs] ὁ[ddms] ζάω[vppadms] ἀνήρ[ndms] δέω[vixp3s] νόμος[ndms] ἐάν[qo] δέ[c] ἀποθνῄσκω[vsaa3s] ὁ[dnms] ἀνήρ[nnms] καταργέω[vixp3s] ἀπό[p] ὁ[dgms] νόμος[ngms] ὁ[dgms] ἀνήρ[ngms]. **v.3** ἄρα[xo] οὖν[c] ζάω[vppagms] ὁ[dgms] ἀνήρ[ngms] μοιχαλίς[nnfs] χρηματίζω[vifa3s] ἐάν[qo] γίνομαι[vsad3s] ἀνήρ[ndms] ἕτερος[admsn] ἐάν[qo] δέ[c] ἀποθνῄσκω[vsaa3s] ὁ[dnms] ἀνήρ[nnms] ἐλεύθερος[anfsn] εἰμί[vipx3s] ἀπό[p] ὁ[dgms] νόμος[ngms] ὁ[dgms] μή[xo] εἰμί[vnpx] αὐτός[rpafs] μοιχαλίς[nafs] γίνομαι[vpadafs] ἀνήρ[ndms] ἕτερος[admsn]. **v.4** ὥστε[c] ἀδελφός[nvmp] ἐγώ[rpg-s] καί[c] σύ[rpn-p] θανατόω[viap2p] ὁ[ddms] νόμος[ndms] διά[p] ὁ[dgns] σῶμα[ngns] ὁ[dgms] Χριστός[ngms] εἰς[p] ὁ[dans] γίνομαι[vnad] σύ[rpa-p] ἕτερος[admsn] ὁ[ddms] ἐκ[p] νεκρός[agmpn] ἐγείρω[vpapdms] ἵνα[c] καρποφορέω[vsaa1p] ὁ[ddms] θεός[ndms].

εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. νυνὶ δὲ κατηργήθημεν ἀ- 6
πὸ τοῦ νόμου, ἀποθανόντος ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν
ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος.
Τί οὖν ἐροῦμεν· ὁ νόμος ἁμαρτία· μὴ γένοιτο, ἀλλὰ τὴν ἁμαρ- 7
τίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου, τήν τε γὰρ ἐπιθυμίαν οὐκ
ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, Οὐκ ἐπιθυμήσεις, ἀφορμὴν δὲ 8
λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶ-
σαν ἐπιθυμίαν, χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά. ἐγὼ δὲ ἔζων 9
χωρὶς νόμου ποτέ, ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζη-
σεν, ἐγὼ δὲ ἀπέθανον, καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, 10
αὕτη εἰς θάνατον, ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς 11
ἐντολῆς ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινεν. ὥστε ὁ μὲν 12
νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. τὸ οὖν 13
ἀγαθὸν ἐμοὶ γέγονε θάνατος· μὴ γένοιτο. ἀλλὰ ἡ ἁμαρτία, ἵνα
φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον·
ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐν-
τολῆς. οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν, ἐγὼ δὲ 14
σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ κατερ- 15
γάζομαι, οὐ γινώσκω, οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ
μισῶ, τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ 16

---

v.5 ὅτε[bo] γάρ[c] εἰμί[viix1p] ἐν[p] ὁ[ddfs] σάρξ[ndfs] ὁ[dnnp] πάθημα[nnnp] ὁ[dgfp] ἁμαρτία[ngfp] ὁ[dnnp] διά[p] ὁ[dgms] νόμος[ngms] ἐνεργέω[viim3s] ἐν[p] ὁ[ddnp] μέλος[ndnp] ἐγώ[rpg-p] εἰς[p] ὁ[dans] καρποφορέω[vnaa] ὁ[ddms] θάνατος[ndms]. **v.6** νυνί[bo] δέ[c] καταργέω[viap1p] ἀπό[p] ὁ[dgms] νόμος[ngms] ἀποθνῄσκω[vpaagms] ἐν[p] ὅς[rrdms] κατέχω[viip1p] ὥστε[c] δουλεύω[vnpa] ἐγώ[rpa-p] ἐν[p] καινότης[ndfs] πνεῦμα[ngns] καί[c] οὐ[xo] παλαιότης[ndfs] γράμμα[ngns]. **v.7** τίς[rqans] οὖν[c] λέγω[vifa1p] ὁ[dnms] νόμος[nnms] ἁμαρτία[nnfs] μή[xo] γίνομαι[voad3s] ἀλλά[c] ὁ[dafs] ἁμαρτία[nafs] οὐ[xo] γινώσκω[viaa1s] εἰ[qo] μή[xo] διά[p] νόμος[ngms] ὁ[dafs] τέ[xo] γάρ[c] ἐπιθυμία[nafs] οὐ[xo] οἶδα[viya1s] εἰ[qo] μή[xo] ὁ[dnms] νόμος[nnms] λέγω[viia3s] οὐ[xo] ἐπιθυμέω[vifa2s]. **v.8** ἀφορμή[nafs] δέ[c] λαμβάνω[vpaanfs] ὁ[dnfs] ἁμαρτία[nnfs] διά[p] ὁ[dgfs] ἐντολή[ngfs] κατεργάζομαι[viad3s] ἐν[p] ἐγώ[rpd-s] πᾶς[aafsn] ἐπιθυμία[nafs] χωρίς[bo] γάρ[c] νόμος[ngms] ἁμαρτία[nnfs] νεκρός[anfsn]. **v.9** ἐγώ[rpn-s] δέ[c] ζάω[viia1s] χωρίς[bo] νόμος[ngms] ποτέ[xo] ἔρχομαι[vpaagfs] δέ[c] ὁ[dgfs] ἐντολή[ngfs] ὁ[dnfs] ἁμαρτία[nnfs] ἀναζάω[viaa3s] ἐγώ[rpn-s] δέ[c] ἀποθνῄσκω[viaa1s]. **v.10** καί[c] εὑρίσκω[viap3s] ἐγώ[rpd-s] ὁ[dnfs] ἐντολή[nnfs] ὁ[dnfs] εἰς[p] ζωή[nafs] οὗτος[rdnfs] εἰς[p] θάνατος[nams]. **v.11** ὁ[dnfs] γάρ[c] ἁμαρτία[nnfs] ἀφορμή[nafs] λαμβάνω[vpaanfs] διά[p] ὁ[dgfs] ἐντολή[ngfs] ἐξαπατάω[viaa3s] ἐγώ[rpa-s] καί[c] διά[p] αὐτός[rpgfs] ἀποκτείνω[viaa3s]. **v.12** ὥστε[c] ὁ[dnms] μέν[xo] νόμος[nnms] ἅγιος[anmsn] καί[c] ὁ[dnfs] ἐντολή[nnfs] ἅγιος[anfsn] καί[c] δίκαιος[anfsn] καί[c] ἀγαθός[anfsn]. **v.13** ὁ[dnns] οὖν[c] ἀγαθός[annsn] ἐγώ[rpd-s] γίνομαι[vixa3s] θάνατος[nnms] μή[xo] γίνομαι[voad3s] ἀλλά[c] ὁ[dnfs] ἁμαρτία[nnfs] ἵνα[c] φαίνω[vsap3s] ἁμαρτία[nnfs] διά[p] ὁ[dgns] ἀγαθός[agnsn] ἐγώ[rpd-s] κατεργάζομαι[vppnnfs] θάνατος[nams] ἵνα[c] γίνομαι[vsad3s] κατά[p] ὑπερβολή[nafs] ἁμαρτωλός[anfsn] ὁ[dnfs] ἁμαρτία[nnfs] διά[p] ὁ[dgfs] ἐντολή[ngfs]. **v.14** οἶδα[vixa1p] γάρ[c] ὅτι[c] ὁ[dnms] νόμος[nnms] πνευματικός[anmsn] εἰμί[vipx3s] ἐγώ[rpn-s] δέ[c] σαρκικός[anmsn] εἰμί[vipx1s] πιπράσκω[vpxpnms] ὑπό[p] ὁ[dafs] ἁμαρτία[nafs]. **v.15** ὅς[rrans] γάρ[c] κατεργάζομαι[vipn1s] οὐ[xo] γινώσκω[vipa1s] οὐ[xo] γάρ[c] ὅς[rrans] θέλω[vipa1s] οὗτος[rdans] πράσσω[vipa1s] ἀλλά[c] ὅς[rrans] μισέω[vipa1s] οὗτος[rdans] ποιέω[vipa1s].

17 νόμῳ ὅτι καλός. νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ
18 οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τοῦτ᾽
ἔστιν ἐν τῇ σαρκί μου, ἀγαθόν, τὸ γὰρ θέλειν παράκειταί μοι,
19 τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὒχ εὑρίσκω. οὐ γὰρ ὃ θέλω,
20 ποιῶ ἀγαθόν, ἀλλ᾽ ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ
θέλω ἐγώ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ
21 οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι
22 ἐμοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. συνή-
23 δομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, βλέπω
δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ
τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας
24 τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με
25 ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου· ἐυχάριστῶ τῷ
Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. ἄρα οὖν αὐτὸς ἐγὼ
τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.
8 Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ
2 σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. ὁ γὰρ νόμος τοῦ
πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ
3 νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. τὸ γὰρ ἀδύνατον τοῦ
νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱ-
ὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας

---

v.16 εἰ[qo] δέ[c] ὅς[rrans] οὐ[xo] θέλω[vipa1s] οὗτος[rdans] ποιέω[vipa1s] σύμφημι[vipx1s] ὁ[ddms] νόμος[ndms] ὅτι[c] καλός[anmsn]. **v.17** νυνί[bo] δέ[c] οὐκέτι[bo] ἐγώ[rpn-s] κατεργάζομαι[vipn1s] αὐτός[rpans] ἀλλά[c] ὁ[dnfs] οἰκέω[vppanfs] ἐν[p] ἐγώ[rpd-s] ἁμαρτία[nnfs]. **v.18** οἶδα[vixa1s] γάρ[c] ὅτι[c] οὐ[xo] οἰκέω[vipa3s] ἐν[p] ἐγώ[rpd-s] οὗτος[rdnns] εἰμί[vipx3s] ἐν[p] ὁ[ddfs] σάρξ[ndfs] ἐγώ[rpg-s] ἀγαθός[aansn] ὁ[dnns] γάρ[c] θέλω[vnpa] παράκειμαι[vipn3s] ἐγώ[rpd-s] ὁ[dans] δέ[c] κατεργάζομαι[vnpn] ὁ[dans] καλός[aansn] οὐ[xo] εὑρίσκω[vipa1s]. **v.19** οὐ[xo] γάρ[c] ὅς[rrans] θέλω[vipa1s] ποιέω[vipa1s] ἀγαθός[aansn] ἀλλά[c] ὅς[rrans] οὐ[xo] θέλω[vipa1s] κακός[aansn] οὗτος[rdans] πράσσω[vipa1s]. **v.20** εἰ[qo] δέ[c] ὅς[rrans] οὐ[xo] θέλω[vipa1s] ἐγώ[rpn-s] οὗτος[rdans] ποιέω[vipa1s] οὐκέτι[bo] ἐγώ[rpn-s] κατεργάζομαι[vipn1s] αὐτός[rpans] ἀλλά[c] ὁ[dnfs] οἰκέω[vppanfs] ἐν[p] ἐγώ[rpd-s] ἁμαρτία[nnfs]. **v.21** εὑρίσκω[vipa1s] ἄρα[xo] ὁ[dams] νόμος[nams] ὁ[ddms] θέλω[vppadms] ἐγώ[rpd-s] ποιέω[vnpa] ὁ[dans] καλός[aansn] ὅτι[c] ἐγώ[rpd-s] ὁ[dnns] κακός[annsn] παράκειμαι[vipn3s]. **v.22** συνήδομαι[vipn1s] γάρ[c] ὁ[ddms] νόμος[ndms] ὁ[dgms] θεός[ngms] κατά[p] ὁ[dams] ἔσω[bo] ἄνθρωπος[nams]. **v.23** βλέπω[vipa1s] δέ[c] ἕτερος[aamsn] νόμος[nams] ἐν[p] ὁ[ddnp] μέλος[ndnp] ἐγώ[rpg-s] ἀντιστρατεύω[vppnams] ὁ[ddms] νόμος[ndms] ὁ[dgms] νοῦς[ngms] ἐγώ[rpg-s] καί[c] αἰχμαλωτίζω[vppaams] ἐγώ[rpa-s] ὁ[ddms] νόμος[ndms] ὁ[dgfs] ἁμαρτία[ngfs] ὁ[ddms] εἰμί[vppxdms] ἐν[p] ὁ[ddnp] μέλος[ndnp] ἐγώ[rpg-s]. **v.24** ταλαίπωρος[anmsn] ἐγώ[rpn-s] ἄνθρωπος[nnms] τίς[rqnms] ἐγώ[rpa-s] ῥύομαι[vifd3s] ἐκ[p] ὁ[dgns] σῶμα[ngns] ὁ[dgms] θάνατος[ngms] οὗτος[rdgms]. **v.25** εὐχαριστέω[vipa1s] ὁ[ddms] θεός[ndms] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] ἄρα[xo] οὖν[c] αὐτός[rpnms] ἐγώ[rpn-s] ὁ[ddms] μέν[xo] νοῦς[ndms] δουλεύω[vipa1s] νόμος[ndms] θεός[ngms] ὁ[ddfs] δέ[c] σάρξ[ndfs] νόμος[ndms] ἁμαρτία[ngfs]. **8. v.1** οὐδείς[annsn] ἄρα[xo] νῦν[bo] κατάκριμα[nnns] ὁ[ddmp] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] μή[xo] κατά[p] σάρξ[nafs] περιπατέω[vppadmp] ἀλλά[c] κατά[p] πνεῦμα[nans]. **v.2** ὁ[dnms] γάρ[c] νόμος[nnms] ὁ[dgns] πνεῦμα[ngns] ὁ[dgfs] ζωή[ngfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ἐλευθερόω[viaa3s] ἐγώ[rpa-s] ἀπό[p] ὁ[dgms] νόμος[ngms] ὁ[dgfs] ἁμαρτία[ngfs] καί[c] ὁ[dgms] θάνατος[ngms].

κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νό- 4
μου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ
κατὰ πνεῦμα. οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρο- 5
νοῦσιν, οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος. τὸ γὰρ φρόνημα 6
τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰ-
ρήνη, διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν, τῷ γὰρ 7
νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται, οἱ δὲ ἐν 8
σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν 9
σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ
δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ 10
δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ
πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραν- 11
τος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ
νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοι-
κοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν. Ἄρα οὖν, ἀδελφοί, ὀφει- 12
λέται ἐσμέν, οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν, εἰ γὰρ κατὰ 13
σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν, εἰ δὲ πνεύματι τὰς πράξεις
τοῦ σώματος θανατοῦτε, ζήσεσθε. ὅσοι γὰρ Πνεύματι Θεοῦ 14
ἄγονται, οὗτοι εἰσιν υἱοὶ Θεοῦ. οὐ γὰρ ἐλάβετε πνεῦμα δου- 15
λείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ

---

v.3 ὁ[dnns] γάρ[c] ἀδύνατος[annsn] ὁ[dgms] νόμος[ngms] ἐν[p] ὅς[rrdns] ἀσθενέω[viia3s] διά[p] ὁ[dgfs] σάρξ[ngfs] ὁ[dnms] θεός[nnms] ὁ[dams] ἑαυτοῦ[rxgms] υἱός[nams] πέμπω[vpaanms] ἐν[p] ὁμοίωμα[ndns] σάρξ[ngfs] ἁμαρτία[ngfs] καί[c] περί[p] ἁμαρτία[ngfs] κατακρίνω[viaa3s] ὁ[dafs] ἁμαρτία[nafs] ἐν[p] ὁ[ddfs] σάρξ[ndfs]. **v.4** ἵνα[c] ὁ[dans] δικαίωμα[nans] ὁ[dgms] νόμος[ngms] πληρόω[vsap3s] ἐν[p] ἐγώ[rpd-p] ὁ[ddmp] μή[xo] κατά[p] σάρξ[nafs] περιπατέω[vppadmp] ἀλλά[c] κατά[p] πνεῦμα[nans]. **v.5** ὁ[dnmp] γάρ[c] κατά[p] σάρξ[nafs] εἰμί[vppxnmp] ὁ[danp] ὁ[dgfs] σάρξ[ngfs] φρονέω[vipa3p] ὁ[dnmp] δέ[c] κατά[p] πνεῦμα[nans] ὁ[danp] ὁ[dgns] πνεῦμα[ngns]. **v.6** ὁ[dnns] γάρ[c] φρόνημα[nnns] ὁ[dgfs] σάρξ[ngfs] θάνατος[nnms] ὁ[dnns] δέ[c] φρόνημα[nnns] ὁ[dgns] πνεῦμα[ngns] ζωή[nnfs] καί[c] εἰρήνη[nnfs]. **v.7** διότι[c] ὁ[dnns] φρόνημα[nnns] ὁ[dgfs] σάρξ[ngfs] ἔχθρα[nnfs] εἰς[p] θεός[nams] ὁ[ddms] γάρ[c] νόμος[ndms] ὁ[dgms] θεός[ngms] οὐ[xo] ὑποτάσσω[vipp3s] οὐδέ[bo] γάρ[c] δύναμαι[vipn3s]. **v.8** ὁ[dnmp] δέ[c] ἐν[p] σάρξ[ndfs] εἰμί[vppxnmp] θεός[ndms] ἀρέσκω[vnaa] οὐ[xo] δύναμαι[vipn3p]. **v.9** σύ[rpn-p] δέ[c] οὐ[xo] εἰμί[vipx2p] ἐν[p] σάρξ[ndfs] ἀλλά[c] ἐν[p] πνεῦμα[ndns] εἴπερ[qo] πνεῦμα[nnns] θεός[ngms] οἰκέω[vipa3s] ἐν[p] σύ[rpd-p] εἰ[qo] δέ[c] τι-σρινμσ πνεῦμα[nans] Χριστός[ngms] οὐ[xo] ἔχω[vipa3s] οὗτος[rdnms] οὐ[xo] εἰμί[vipx3s] αὐτός[rpgms]. **v.10** εἰ[qo] δέ[c] Χριστός[nnms] ἐν[p] σύ[rpd-p] ὁ[dnns] μέν[xo] σῶμα[nnns] νεκρός[annsn] διά[p] ἁμαρτία[nafs] ὁ[dnns] δέ[c] πνεῦμα[nnns] ζωή[nnfs] διά[p] δικαιοσύνη[nafs]. **v.11** εἰ[qo] δέ[c] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgms] ἐγείρω[vpaagms] Ἰησοῦς[nams] ἐκ[p] νεκρός[agmpn] οἰκέω[vipa3s] ἐν[p] σύ[rpd-p] ὁ[dnms] ἐγείρω[vpaanms] ὁ[dams] Χριστός[nams] ἐκ[p] νεκρός[agmpn] ζῳοποιέω[vifa3s] καί[c] ὁ[danp] θνητός[aanpn] σῶμα[nanp] σύ[rpg-p] διά[p] ὁ[dgns] ἐνοικέω[vppagns] αὐτός[rpgms] πνεῦμα[ngns] ἐν[p] σύ[rpd-p]. **v.12** ἄρα[xo] οὖν[c] ἀδελφός[nvmp] ὀφειλέτης[nnmp] εἰμί[vipx1p] οὐ[xo] ὁ[ddfs] σάρξ[ndfs] ὁ[dgms] κατά[p] σάρξ[nafs] ζάω[vnpa]. **v.13** εἰ[qo] γάρ[c] κατά[p] σάρξ[nafs] ζάω[vipa2p] μέλλω[vipa2p] ἀποθνῄσκω[vnpa] εἰ[qo] δέ[c] πνεῦμα[ndns] ὁ[dafp] πρᾶξις[nafp] ὁ[dgns] σῶμα[ngns] θανατόω[vipa2p] ζάω[vifd2p]. **v.14** ὅσος[rcnmp] γάρ[c] πνεῦμα[ndns] θεός[ngms] ἄγω[vipp3p] οὗτος[rdnmp] εἰμί[vipx3p] υἱός[nnmp] θεός[ngms].

16 κράζομεν, Ἀββᾶ, ὁ πατήρ. αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ
17 πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ, εἰ δὲ τέκνα, καὶ κλη-
ρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ,
18 εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. Λογίζομαι γὰρ
ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν
19 δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ἡ γὰρ ἀποκαραδοκία τῆς
20 κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. τῇ
γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν
21 ὑποτάξαντα, ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσε-
ται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης
22 τῶν τέκνων τοῦ Θεοῦ. οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενά-
23 ζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ
τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυ-
τοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν
24 τοῦ σώματος ἡμῶν. τῇ γὰρ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπο-
25 μένη οὐκ ἔστιν ἐλπίς, ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει. εἰ δὲ ὃ
26 οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. Ὡσαύ-
τως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν,
τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ
27 πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις, ὁ
δὲ ἐρευνῶν τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι

---

v.15 οὐ[xo] γάρ[c] λαμβάνω[viaa2p] πνεῦμα[nans] δουλεία[ngfs] πάλιν[bo] εἰς[p] φόβος[nams] ἀλλά[c] λαμβάνω[viaa2p] πνεῦμα[nans] υἱοθεσία[ngfs] ἐν[p] ὅς[rrdns] κράζω[vipa1p] ἀββά[tp] ὁ[dnms] πατήρ[nnms]. **v.16** αὐτός[rpnns] ὁ[dnns] πνεῦμα[nnns] συμμαρτυρέω[vipa3s] ὁ[ddns] πνεῦμα[ndns] ἐγώ[rpg-p] ὅτι[c] εἰμί[vipx1p] τέκνον[nnnp] θεός[ngms]. **v.17** εἰ[qo] δέ[c] τέκνον[nnnp] καί[c] κληρονόμος[nnmp] κληρονόμος[nnmp] μέν[xo] θεός[ngms] συγκληρονόμος[anmpn] δέ[c] Χριστός[ngms] εἴπερ[qo] συμπάσχω[vipa1p] ἵνα[c] καί[c] συνδοξάζω[vsap1p]. **v.18** λογίζομαι[vipn1s] γάρ[c] ὅτι[c] οὐ[xo] ἄξιος[annpn] ὁ[dnnp] πάθημα[nnnp] ὁ[dgms] νῦν[bo] καιρός[ngms] πρός[p] ὁ[dafs] μέλλω[vppaafs] δόξα[nafs] ἀποκαλύπτω[vnap] εἰς[p] ἐγώ[rpa-p]. **v.19** ὁ[dnfs] γάρ[c] ἀποκαραδοκία[nnfs] ὁ[dgfs] κτίσις[ngfs] ὁ[dafs] ἀποκάλυψις[nafs] ὁ[dgmp] υἱός[ngmp] ὁ[dgms] θεός[ngms] ἀπεκδέχομαι[vipn3s]. **v.20** ὁ[ddfs] γάρ[c] ματαιότης[ndfs] ὁ[dnfs] κτίσις[nnfs] ὑποτάσσω[viap3s] οὐ[xo] ἑκών[anfsn] ἀλλά[c] διά[p] ὁ[dams] ὑποτάσσω[vpaaams] ἐπί[p] ἐλπίς[ndfs]. **v.21** ὅτι[c] καί[c] αὐτός[rpnfs] ὁ[dnfs] κτίσις[nnfs] ἐλευθερόω[vifp3s] ἀπό[p] ὁ[dgfs] δουλεία[ngfs] ὁ[dgfs] φθορά[ngfs] εἰς[p] ὁ[dafs] ἐλευθερία[nafs] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgnp] τέκνον[ngnp] ὁ[dgms] θεός[ngms]. **v.22** οἶδα[vixa1p] γάρ[c] ὅτι[c] πᾶς[anfsn] ὁ[dnfs] κτίσις[nnfs] συστενάζω[vipa3s] καί[c] συνωδίνω[vipa3s] ἄχρι[p] ὁ[dgms] νῦν[bo]. **v.23** οὐ[xo] μόνος[bo] δέ[c] ἀλλά[c] καί[c] αὐτός[rpnmp] ὁ[dafs] ἀπαρχή[nafs] ὁ[dgns] πνεῦμα[ngns] ἔχω[vppanmp] καί[c] ἐγώ[rpn-p] αὐτός[rpnmp] ἐν[p] ἑαυτοῦ[rxdmp] στενάζω[vipa1p] υἱοθεσία[nafs] ἀπεκδέχομαι[vppnnmp] ὁ[dafs] ἀπολύτρωσις[nafs] ὁ[dgns] σῶμα[ngns] ἐγώ[rpg-p]. **v.24** ὁ[ddfs] γάρ[c] ἐλπίς[ndfs] σῴζω[viap1p] ἐλπίς[nnfs] δέ[c] βλέπω[vpppnfs] οὐ[xo] εἰμί[vipx3s] ἐλπίς[nnfs] ὅς[rrans] γάρ[c] βλέπω[vipa3s] τίς[rinms] τίς[rqans] καί[c] ἐλπίζω[vipa3s]. **v.25** εἰ[qo] δέ[c] ὅς[rrans] οὐ[xo] βλέπω[vipa1p] ἐλπίζω[vipa1p] διά[p] ὑπομονή[ngfs] ἀπεκδέχομαι[vipn1p]. **v.26** ὡσαύτως[bo] δέ[c] καί[c] ὁ[dnns] πνεῦμα[nnns] συναντιλαμβάνομαι[vipn3s] ὁ[ddfp] ἀσθένεια[ndfp] ἐγώ[rpg-p] ὁ[dans] γάρ[c] τίς[rqans] προσεύχομαι[vsad1p] καθό[bo] δεῖ[vipq3s] οὐ[xo] οἶδα[vixa1p] ἀλλά[c] αὐτός[rpnns] ὁ[dnns] πνεῦμα[nnns] ὑπερεντυγχάνω[vipa3s] ὑπέρ[p] ἐγώ[rpg-p] στεναγμός[ndmp] ἀλάλητος[admpn].

κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. οἴδαμεν δὲ ὅτι τοῖς ἀγα- 28
πῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν
κλητοῖς οὖσιν. ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους 29
τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν
πολλοῖς ἀδελφοῖς, οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ 30
οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τού-
τους καὶ ἐδόξασε. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα· εἰ ὁ Θεὸς ὑπὲρ 31
ἡμῶν, τίς καθ᾽ ἡμῶν· ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ 32
ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ
τὰ πάντα ἡμῖν χαρίσεται· τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ· 33
Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων· Χριστὸς ὁ ἀποθανών, μᾶλ- 34
λον δὲ καὶ ἐγερθείς, ὅς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὅς καὶ
ἐντυγχάνει ὑπὲρ ἡμῶν. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ 35
Χριστοῦ· θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνό-
της, ἢ κίνδυνος, ἢ μάχαιρα· καθὼς γέγραπται ὅτι Ἕνεκά σοῦ 36
θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφα-
γῆς. ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος 37
ἡμᾶς. πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι 38
οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα. οὔτε 39
ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρί-
σαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ

---

v.27 ὁ^{dnms} δέ^{c} ἐραυνάω^{vppanms} ὁ^{dafp} καρδία^{nafp} οἶδα^{vixa3s} τίς^{rqnns} ὁ^{dnns} φρόνημα^{nnns} ὁ^{dgns} πνεῦμα^{ngns} ὅτι^{c} κατά^{p} θεός^{nams} ἐντυγχάνω^{vipa3s} ὑπέρ^{p} ἅγιος^{agmpn}. **v.28** οἶδα^{vixa1p} δέ^{c} ὅτι^{c} ὁ^{ddmp} ἀγαπάω^{vppadmp} ὁ^{dams} θεός^{nams} πᾶς^{annpn} συνεργέω^{vipa3s} εἰς^{p} ἀγαθός^{aansn} ὁ^{ddmp} κατά^{p} πρόθεσις^{nafs} κλητός^{admpn} εἰμί^{vppxdmp}. **v.29** ὅτι^{c} ὅς^{rramp} προγινώσκω^{viaa3s} καί^{c} προορίζω^{viaa3s} σύμμορφος^{aampn} ὁ^{dgfs} εἰκών^{ngfs} ὁ^{dgms} υἱός^{ngms} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} αὐτός^{rpams} πρωτότοκος^{aamsn} ἐν^{p} πολύς^{admpn} ἀδελφός^{ndmp}. **v.30** ὅς^{rramp} δέ^{c} προορίζω^{viaa3s} οὗτος^{rdamp} καί^{c} καλέω^{viaa3s} καί^{c} ὅς^{rramp} καλέω^{viaa3s} οὗτος^{rdamp} καί^{c} δικαιόω^{viaa3s} ὅς^{rramp} δέ^{c} δικαιόω^{viaa3s} οὗτος^{rdamp} καί^{c} δοξάζω^{viaa3s}. **v.31** τίς^{rqans} οὖν^{c} λέγω^{vifa1p} πρός^{p} οὗτος^{rdanp} εἰ^{qo} ὁ^{dnms} θεός^{nnms} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ τίς^{rqnms} κατά^{p} ἐγώ$^{rpg-p}$. **v.32** ὅς^{rrnms} γέ^{xo} ὁ^{dgms} ἴδιος^{agmsn} υἱός^{ngms} οὐ^{xo} φείδομαι^{viad3s} ἀλλά^{c} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ πᾶς^{agmpn} παραδίδωμι^{viaa3s} αὐτός^{rpams} πῶς^{bo} οὐχί^{xo} καί^{c} σύν^{p} αὐτός^{rpdms} ὁ^{danp} πᾶς^{aanpn} ἐγώ$^{rpd-p}$ χαρίζομαι^{vifd3s}. **v.33** τίς^{rqnms} ἐγκαλέω^{vifa3s} κατά^{p} ἐκλεκτός^{agmpn} θεός^{ngms} θεός^{nnms} ὁ^{dnms} δικαιόω^{vppanms}. **v.34** τίς^{rqnms} ὁ^{dnms} κατακρίνω^{vppanms} Χριστός^{nnms} ὁ^{dnms} ἀποθνῄσκω^{vpaanms} μᾶλλον^{bo} δέ^{c} καί^{c} ἐγείρω^{vpapnms} ὅς^{rrnms} καί^{c} εἰμί^{vipx3s} ἐν^{p} δεξιός^{adfsn} ὁ^{dgms} θεός^{ngms} ὅς^{rrnms} καί^{c} ἐντυγχάνω^{vipa3s} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$. **v.35** τίς^{rqnms} ἐγώ$^{rpa-p}$ χωρίζω^{vifa3s} ἀπό^{p} ὁ^{dgfs} ἀγάπη^{ngfs} ὁ^{dgms} Χριστός^{ngms} θλῖψις^{nnfs} ἤ^{xo} στενοχωρία^{nnfs} ἤ^{xo} διωγμός^{nnms} ἤ^{xo} λιμός^{nnms} ἤ^{xo} γυμνότης^{nnfs} ἤ^{xo} κίνδυνος^{nnms} ἤ^{xo} μάχαιρα^{nnfs}. **v.36** καθώς^{bo} γράφω^{vixp3s} ὅτι^{c} ἕνεκα^{bo} σύ$^{rpg-s}$ θανατόω^{vipp1p} ὅλος^{aafsn} ὁ^{dafs} ἡμέρα^{nafs} λογίζομαι^{viap1p} ὡς^{bo} πρόβατον^{nnnp} σφαγή^{ngfs}. **v.37** ἀλλά^{c} ἐν^{p} οὗτος^{rddnp} πᾶς^{adnpn} ὑπερνικάω^{vipa1p} διά^{p} ὁ^{dgms} ἀγαπάω^{vpaagms} ἐγώ$^{rpa-p}$. **v.38** πείθω^{vixp1s} γάρ^{c} ὅτι^{c} οὔτε^{c} θάνατος^{nnms} οὔτε^{c} ζωή^{nnfs} οὔτε^{c} ἄγγελος^{nnmp} οὔτε^{c} ἀρχή^{nnfp} οὔτε^{c} δύναμις^{nnfp} οὔτε^{c} ἐνίστημι^{vpxannp} οὔτε^{c} μέλλω^{vppannp}.

ἡμῶν.
9 Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης
2 μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι Ἁγίῳ, ὅτι λύπη μοι ἐστὶ
3 μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. ηὐχόμην γὰρ
αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν
4 μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται,
ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ
5 λατρεία καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς
τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων, Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶ-
6 νας. ἀμήν. οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. οὐ
7 γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, οὐδ᾽ ὅτι εἰσὶ σπέρμα
Ἀβραάμ, πάντες τέκνα, ἀλλ᾽ Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.
8 τοῦτ᾽ ἔστιν, οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλ-
9 λὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. ἐπαγγελίας
γὰρ ὁ λόγος οὗτος, Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔ-
10 σται τῇ Σάρρᾳ υἱός. οὐ μόνον δέ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς
11 κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν. μήπω γὰρ γεννηθέν-
των, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ᾽ ἐκλογὴν
τοῦ Θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ᾽ ἐκ τοῦ καλοῦντος,
12, 13 ἐρρήθη αὐτῇ ὅτι Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. καθὼς γέ-

---

v.39 οὔτε[c] ὕψωμα[nnns] οὔτε[c] βάθος[nnns] οὔτε[c] τι-σρινφσ κτίσις[nnfs] ἕτερος[anfsn] δύναμαι[vifd3s] ἐγώ[rpa-p] χωρίζω[vnaa] ἀπό[p] ὁ[dgfs] ἀγάπη[ngfs] ὁ[dgms] θεός[ngms] ὁ[dgfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-p]. **9. v.1** ἀλήθεια[nafs] λέγω[vipa1s] ἐν[p] Χριστός[ndms] οὐ[xo] ψεύδομαι[vipn1s] συμμαρτυρέω[vppagfs] ἐγώ[rpd-s] ὁ[dgfs] συνείδησις[ngfs] ἐγώ[rpg-s] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn]. **v.2** ὅτι[c] λύπη[nnfs] ἐγώ[rpd-s] εἰμί[vipx3s] μέγας[anfsn] καί[c] ἀδιάλειπτος[anfsn] ὀδύνη[nnfs] ὁ[ddfs] καρδία[ndfs] ἐγώ[rpg-s]. **v.3** εὔχομαι[viin1s] γάρ[c] αὐτός[rpnms] ἐγώ[rpn-s] ἀνάθεμα[nnns] εἰμί[vnpx] ἀπό[p] ὁ[dgms] Χριστός[ngms] ὑπέρ[p] ὁ[dgmp] ἀδελφός[ngmp] ἐγώ[rpg-s] ὁ[dgmp] συγγενής[agmpn] ἐγώ[rpg-s] κατά[p] σάρξ[nafs]. **v.4** ὅστις[rrnmp] εἰμί[vipx3p] Ἰσραηλίτης[nnmp] ὅς[rrgmp] ὁ[dnfs] υἱοθεσία[nnfs] καί[c] ὁ[dnfs] δόξα[nnfs] καί[c] ὁ[dnfp] διαθήκη[nnfp] καί[c] ὁ[dnfs] νομοθεσία[nnfs] καί[c] ὁ[dnfs] λατρεία[nnfs] καί[c] ὁ[dnfp] ἐπαγγελία[nnfp]. **v.5** ὅς[rrgmp] ὁ[dnmp] πατήρ[nnmp] καί[c] ἐκ[p] ὅς[rrgmp] ὁ[dnms] Χριστός[nnms] ὁ[dnns] κατά[p] σάρξ[nafs] ὁ[dnms] εἰμί[vppxnms] ἐπί[p] πᾶς[agnpn] θεός[nnms] εὐλογητός[anmsn] εἰς[p] ὁ[damp] αἰών[namp] ἀμήν[th]. **v.6** οὐ[xo] οἷος[rcnns] δέ[c] ὅτι[c] ἐκπίπτω[vixa3s] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] θεός[ngms] οὐ[xo] γάρ[c] πᾶς[anmpn] ὁ[dnmp] ἐκ[p] Ἰσραήλ[tp] οὗτος[rdnmp] Ἰσραήλ[tp]. **v.7** οὐδέ[bo] ὅτι[c] εἰμί[vipx3p] σπέρμα[nnns] Ἀβραάμ[tp] πᾶς[anmpn] τέκνον[nnnp] ἀλλά[c] ἐν[p] Ἰσαάκ[tp] καλέω[vifp3s] σύ[rpd-s] σπέρμα[nnns]. **v.8** οὗτος[rdnns] εἰμί[vipx3s] οὐ[xo] ὁ[dnnp] τέκνον[nnnp] ὁ[dgfs] σάρξ[ngfs] οὗτος[rdnnp] τέκνον[nnnp] ὁ[dgms] θεός[ngms] ἀλλά[c] ὁ[dnnp] τέκνον[nnnp] ὁ[dgfs] ἐπαγγελία[ngfs] λογίζομαι[vipn3s] εἰς[p] σπέρμα[nans]. **v.9** ἐπαγγελία[ngfs] γάρ[c] ὁ[dnms] λόγος[nnms] οὗτος[rdnms] κατά[p] ὁ[dams] καιρός[nams] οὗτος[rdams] ἔρχομαι[vifd1s] καί[c] εἰμί[vifx3s] ὁ[ddfs] Σάρρα[ndfs] υἱός[nnms]. **v.10** οὐ[xo] μόνος[bo] δέ[c] ἀλλά[c] καί[c] Ῥεβέκκα[nnfs] ἐκ[p] εἷς[ngms] κοίτη[nafs] ἔχω[vppanfs] Ἰσαάκ[tp] ὁ[dgms] πατήρ[ngms] ἐγώ[rpg-p]. **v.11** μήπω[bo] γάρ[c] γεννάω[vpapgmp] μηδέ[c] πράσσω[vpaagmp] τι-σριανσ ἀγαθός[aansn] ἤ[xo] κακός[aansn] ἵνα[c] ὁ[dnfs] κατά[p] ἐκλογή[nafs] ὁ[dgms] θεός[ngms] πρόθεσις[nnfs] μένω[vspa3s] οὐ[xo] ἐκ[p] ἔργον[ngnp] ἀλλά[c] ἐκ[p] ὁ[dgms] καλέω[vppagms]. **v.12** ῥέω[viap3s] αὐτός[rpdfs] ὅτι[c] ὁ[dnms] μέγας[anmsc] δουλεύω[vifa3s] ὁ[ddms] ἐλάσσων[admsn].

γραπται, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα. Τί οὖν 14
ἐροῦμεν· μὴ ἀδικία παρὰ τῷ Θεῷ· μὴ γένοιτο. τῷ γὰρ Μωσῇ 15
λέγει, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ἄρα 16
οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος
Θεοῦ. λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ ὅτι Εἰς αὐτὸ τοῦτο ἐξή- 17
γειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως
διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. ἄρα οὖν ὃν θέλει ἐλε- 18
εῖ, ὃν δὲ θέλει σκληρύνει. Ἐρεῖς οὖν μοι, Τί ἔτι μέμφεται· τῷ 19
γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε· μενοῦνγε, ὦ ἄνθρωπε, 20
σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ· μὴ ἐρεῖ τὸ πλάσμα τῷ
πλάσαντι, Τί με ἐποίησας οὕτως· ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κερα- 21
μεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς
τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν· εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι 22
τὴν ὀργήν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολ-
λῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, καὶ 23
ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους,
ἃ προητοίμασεν εἰς δόξαν, οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον 24
ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν· ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει, 25
Καλέσω τὸν οὐ λαόν μου λαόν μου, καὶ τὴν οὐκ ἠγαπημένην
ἠγαπημένην. καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐρρήθη αὐτοῖς, Οὐ 26
λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος. Ἠσαΐας 27

---

v.13 καθώς[bo] γράφω[vixp3s] ὁ[dams] Ἰακώβ[tp] ἀγαπάω[viaa1s] ὁ[dams] δέ[c] Ἠσαῦ[tp] μισέω[viaa1s]. **v.14** τίς[rqans] οὖν[c] λέγω[vifa1p] μή[xo] ἀδικία[nnfs] παρά[p] ὁ[ddms] θεός[ndms] μή[xo] γίνομαι[voad3s]. **v.15** ὁ[ddms] γάρ[c] Μωϋσῆς[ndms] λέγω[vipa3s] ἐλεέω[vifa1s] ὅς[rrams] ἄν[xo] ἐλεέω[vspa1s] καί[c] οἰκτίρω[vifa1s] ὅς[rrams] ἄν[xo] οἰκτίρω[vspa1s]. **v.16** ἄρα[xo] οὖν[c] οὐ[xo] ὁ[dgms] θέλω[vppagms] οὐδέ[bo] ὁ[dgms] τρέχω[vppagms] ἀλλά[c] ὁ[dgms] ἐλεέω[vppagms] θεός[ngms]. **v.17** λέγω[vipa3s] γάρ[c] ὁ[dnfs] γραφή[nnfs] ὁ[ddms] Φαραώ[tp] ὅτι[c] εἰς[p] αὐτός[rpans] οὗτος[rdans] ἐξεγείρω[viaa1s] σύ[rpa-s] ὅπως[bo] ἐνδείκνυμι[vsam1s] ἐν[p] σύ[rpd-s] ὁ[dafs] δύναμις[nafs] ἐγώ[rpg-s] καί[c] ὅπως[bo] διαγγέλλω[vsap3s] ὁ[dnns] ὄνομα[nnns] ἐγώ[rpg-s] ἐν[p] πᾶς[adfsn] ὁ[ddfs] γῆ[ndfs]. **v.18** ἄρα[xo] οὖν[c] ὅς[rrams] θέλω[vipa3s] ἐλεέω[vipa3s] ὅς[rrams] δέ[c] θέλω[vipa3s] σκληρύνω[vipa3s]. **v.19** λέγω[vifa2s] οὖν[c] ἐγώ[rpd-s] τίς[rqans] ἔτι[bo] μέμφομαι[vipn3s] ὁ[ddns] γάρ[c] βούλημα[ndns] αὐτός[rpgms] τίς[rqnms] ἀνθίστημι[vixa3s]. **v.20** μενοῦνγε[xo] ὦ[i] ἄνθρωπος[nvms] σύ[rpn-s] τίς[rqnms] εἰμί[vipx2s] ὁ[dnms] ἀνταποκρίνομαι[vppnnms] ὁ[ddms] θεός[ndms] μή[xo] λέγω[vifa3s] ὁ[dnns] πλάσμα[nnns] ὁ[ddms] πλάσσω[vpaadms] τίς[rqans] ἐγώ[rpa-s] ποιέω[viaa2s] οὕτω[bo]. **v.21** ἤ[xo] οὐ[xo] ἔχω[vipa3s] ἐξουσία[nafs] ὁ[dnms] κεραμεύς[nnms] ὁ[dgms] πηλός[ngms] ἐκ[p] ὁ[dgns] αὐτός[rpgns] φύραμα[ngns] ποιέω[vnaa] ὅς[rrans] μέν[xo] εἰς[p] τιμή[nafs] σκεῦος[nans] ὅς[rrans] δέ[c] εἰς[p] ἀτιμία[nafs]. **v.22** εἰ[qo] δέ[c] θέλω[vppanms] ὁ[dnms] θεός[nnms] ἐνδείκνυμι[vnam] ὁ[dafs] ὀργή[nafs] καί[c] γνωρίζω[vnaa] ὁ[dans] δυνατός[aansn] αὐτός[rpgms] φέρω[viaa3s] ἐν[p] πολύς[adfsn] μακροθυμία[ndfs] σκεῦος[nanp] ὀργή[ngfs] καταρτίζω[vpxpanp] εἰς[p] ἀπώλεια[nafs]. **v.23** καί[c] ἵνα[c] γνωρίζω[vsaa3s] ὁ[dams] πλοῦτος[nams] ὁ[dgfs] δόξα[ngfs] αὐτός[rpgms] ἐπί[p] σκεῦος[nanp] ἔλεος[ngns] ὅς[rranp] προετοιμάζω[viaa3s] εἰς[p] δόξα[nafs]. **v.24** ὅς[rramp] καί[c] καλέω[viaa3s] ἐγώ[rpa-p] οὐ[xo] μόνος[bo] ἐκ[p] Ἰουδαῖος[agmpn] ἀλλά[c] καί[c] ἐκ[p] ἔθνος[ngnp]. **v.25** ὡς[bo] καί[c] ἐν[p] ὁ[ddms] Ὡσηέ[tp] λέγω[vipa3s] καλέω[vifa1s] ὁ[dams] οὐ[xo] λαός[nams] ἐγώ[rpg-s] λαός[nams] ἐγώ[rpg-s] καί[c] ὁ[dafs] οὐ[xo] ἀγαπάω[vpxpafs] ἀγαπάω[vpxpafs]. **v.26** καί[c] εἰμί[vifx3s] ἐν[p] ὁ[ddms] τόπος[ndms] ὅς[rrgms] ῥέω[viap3s] αὐτός[rpdmp] οὐ[xo] λαός[nnms] ἐγώ[rpg-s] σύ[rpn-p] ἐκεῖ[bo] καλέω[vifp3p] υἱός[nnmp] θεός[ngms] ζάω[vppagms].

δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ, Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ
28 ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται, λόγον
γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσυνῃ, ὅτι λόγον συντε-
29 τμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς. καὶ καθὼς προείρηκεν
Ἠσαΐας, Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς
30 Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Τί
οὖν ἐροῦμεν· ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε
31 δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως, Ἰσραὴλ δέ, δι-
ώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε.
32 διατί· ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου, προσέκοψαν
33 γὰρ τῷ λίθῳ τοῦ προσκόμματος, καθὼς γέγραπται, Ἰδοὺ τί-
θημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ
πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται.
10 Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις ἡ
2 πρὸς τὸν Θεὸν ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν. μαρτυ-
ρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.
3 ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δι-
καιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑ-
4 πετάγησαν. τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ
5 τῷ πιστεύοντι. Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ
6 νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς. ἡ δὲ
ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει, Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου,

---

v.27 Ἠσαΐας[nnms] δέ[c] κράζω[vipa3s] ὑπέρ[p] ὁ[dgms] Ἰσραήλ[tp] ἐάν[qo] εἰμί[vspx3s] ὁ[dnms] ἀριθμός[nnms] ὁ[dgmp] υἱός[ngmp] Ἰσραήλ[tp] ὡς[bo] ὁ[dnfs] ἄμμος[nnfs] ὁ[dgfs] θάλασσα[ngfs] ὁ[dnns] κατάλειμμα[nnns] σῴζω[vifp3s]. **v.28** λόγος[nams] γάρ[c] συντελέω[vppanms] καί[c] συντέμνω[vppanms] ἐν[p] δικαιοσύνη[ndfs] ὅτι[c] λόγος[nams] συντέμνω[vpxpams] ποιέω[vifa3s] κύριος[nnms] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs]. **v.29** καί[c] καθώς[bo] προλέγω[vixa3s] Ἠσαΐας[nnms] εἰ[qo] μή[xo] κύριος[nnms] Σαβαώθ[th] ἐγκαταλείπω[viaa3s] ἐγώ[rpd-p] σπέρμα[nans] ὡς[bo] Σόδομα[nnnp] ἄν[xo] γίνομαι[viao1p] καί[c] ὡς[bo] Γόμορρα[nnfs] ἄν[xo] ὁμοιόω[viap1p]. **v.30** τίς[rqans] οὖν[c] λέγω[vifa1p] ὅτι[c] ἔθνος[nnnp] ὁ[dnnp] μή[xo] διώκω[vppannp] δικαιοσύνη[nafs] καταλαμβάνω[viaa3s] δικαιοσύνη[nafs] δικαιοσύνη[nafs] δέ[c] ὁ[dafs] ἐκ[p] πίστις[ngfs]. **v.31** Ἰσραήλ[tp] δέ[c] διώκω[vppanms] νόμος[nams] δικαιοσύνη[ngfs] εἰς[p] νόμος[nams] δικαιοσύνη[ngfs] οὐ[xo] φθάνω[viaa3s]. **v.32** διά&τίς[xo] ὅτι[c] οὐ[xo] ἐκ[p] πίστις[ngfs] ἀλλά[c] ὡς[bo] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] προσκόπτω[viaa3p] γάρ[c] ὁ[ddms] λίθος[ndms] ὁ[dgns] πρόσκομμα[ngns]. **v.33** καθώς[bo] γράφω[vixp3s] ἰδού[vdaa2s] τίθημι[vipa1s] ἐν[p] Σιών[tp] λίθος[nams] πρόσκομμα[ngns] καί[c] πέτρα[nafs] σκάνδαλον[ngns] καί[c] πᾶς[anmsn] ὁ[dnms] πιστεύω[vppanms] ἐπί[p] αὐτός[rpdms] οὐ[xo] καταισχύνω[vifp3s]. **10. v.1** ἀδελφός[nvmp] ὁ[dnfs] μέν[xo] εὐδοκία[nnfs] ὁ[dgfs] ἐμός[rsgfs] καρδία[ngfs] καί[c] ὁ[dnfs] δέησις[nnfs] ὁ[dnfs] πρός[p] ὁ[dams] θεός[nams] ὑπέρ[p] ὁ[dgms] Ἰσραήλ[tp] εἰμί[vipx3s] εἰς[p] σωτηρία[nafs]. **v.2** μαρτυρέω[vipa1s] γάρ[c] αὐτός[rpdmp] ὅτι[c] ζῆλος[nams] θεός[ngms] ἔχω[vipa3p] ἀλλά[c] οὐ[xo] κατά[p] ἐπίγνωσις[nafs]. **v.3** ἀγνοέω[vppanmp] γάρ[c] ὁ[dafs] ὁ[dgms] θεός[ngms] δικαιοσύνη[nafs] καί[c] ὁ[dafs] ἴδιος[aafsn] δικαιοσύνη[nafs] ζητέω[vppanmp] ἵστημι[vnaa] ὁ[ddfs] δικαιοσύνη[ndfs] ὁ[dgms] θεός[ngms] οὐ[xo] ὑποτάσσω[viap3p]. **v.4** τέλος[nnns] γάρ[c] νόμος[ngms] Χριστός[nnms] εἰς[p] δικαιοσύνη[nafs] πᾶς[admsn] ὁ[ddms] πιστεύω[vppadms]. **v.5** Μωϋσῆς[nnms] γάρ[c] γράφω[vipa3s] ὁ[dafs] δικαιοσύνη[nafs] ὁ[dafs] ἐκ[p] ὁ[dgms] νόμος[ngms] ὅτι[c] ὁ[dnms] ποιέω[vpaanms] αὐτός[rpanp] ἄνθρωπος[nnms] ζάω[vifd3s] ἐν[p] αὐτός[rpdnp].

Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν· τοῦτ᾽ ἔστι Χριστὸν καταγαγεῖν,
ἤ, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον· τοῦτ᾽ ἔστι Χριστὸν ἐκ νε- 7
κρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει· Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν 8
τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου, τοῦτ᾽ ἔστι τὸ ῥῆμα τῆς
πίστεως ὃ κηρύσσομεν, ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου 9
Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς
αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ, καρδίᾳ γὰρ πιστεύεται εἰς 10
δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. λέγει γὰρ 11
ἡ γραφή, Πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυνθήσεται. οὐ 12
γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος, ὁ γὰρ αὐτὸς Κύ-
ριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν.
πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται. πῶς 13, 14
οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν· πῶς δὲ πιστεύσου-
σιν οὗ οὐκ ἤκουσαν· πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος·
πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι· καθὼς γέγραπται, Ὡς 15
ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελι-
ζομένων τὰ ἀγαθά. Ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. 16
Ἠσαΐας γὰρ λέγει, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν· ἄρα ἡ 17
πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. ἀλλὰ λέγω, Μὴ 18
οὐκ ἤκουσαν· μενοῦνγε, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος

---

v.6 ὁ^{dnfs} δέ^{c} ἐκ^{p} πίστις^{ngfs} δικαιοσύνη^{nnfs} οὕτω^{bo} λέγω^{vipa3s} μή^{xo} λέγω^{vsaa2s} ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpg-s}$ τίς^{rqnms} ἀναβαίνω^{vifd3s} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} οὗτος^{rdnns} εἰμί^{vipxxr} Χριστός^{nams} κατάγω^{vnaa}. **v.7** ἤ^{xo} τίς^{rqnms} καταβαίνω^{vifd3s} εἰς^{p} ὁ^{dafs} ἄβυσσος^{nafs} οὗτος^{rdnns} εἰμί^{vipxxr} Χριστός^{nams} ἐκ^{p} νεκρός^{agmpn} ἀνάγω^{vnaa}. **v.8** ἀλλά^{c} τίς^{rqans} λέγω^{vipa3s} ἐγγύς^{bo} σύ$^{rpg-s}$ ὁ^{dnns} ῥῆμα^{nnns} εἰμί^{vipx3s} ἐν^{p} ὁ^{ddns} στόμα^{ndns} σύ$^{rpg-s}$ καί^{c} ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpg-s}$ οὗτος^{rdnns} εἰμί^{vipxto} ὁ^{dnns} ῥῆμα^{nnns} ὁ^{dgfs} πίστις^{ngfs} ὅς^{rrans} κηρύσσω^{vipa1p}. **v.9** ὅτι^{c} ἐάν^{qo} ὁμολογέω^{vsaa2s} ἐν^{p} ὁ^{ddns} στόμα^{ndns} σύ$^{rpg-s}$ κύριος^{nams} Ἰησοῦς^{nams} καί^{c} πιστεύω^{vsaa2s} ἐν^{p} ὁ^{ddfs} καρδία^{ndfs} σύ$^{rpg-s}$ ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} αὐτός^{rpams} ἐγείρω^{viaa3s} ἐκ^{p} νεκρός^{agmpn} σῴζω^{vifp2s}. **v.10** καρδία^{ndfs} γάρ^{c} πιστεύω^{vipp3s} εἰς^{p} δικαιοσύνη^{nafs} στόμα^{ndns} δέ^{c} ὁμολογέω^{vipp3s} εἰς^{p} σωτηρία^{nafs}. **v.11** λέγω^{vipa3s} γάρ^{c} ὁ^{dnfs} γραφή^{nnfs} πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} ἐπί^{p} αὐτός^{rpdms} οὐ^{xo} καταισχύνω^{vifp3s}. **v.12** οὐ^{xo} γάρ^{c} εἰμί^{vipx3s} διαστολή^{nnfs} Ἰουδαῖος^{agmsn} τέ^{xo} καί^{c} Ἕλλην^{ngms} ὁ^{dnms} γάρ^{c} αὐτός^{rpnms} κύριος^{nnms} πᾶς^{agmpn} πλουτέω^{vppanms} εἰς^{p} πᾶς^{aampn} ὁ^{damp} ἐπικαλέω^{vppmamp} αὐτός^{rpams}. **v.13** πᾶς^{anmsn} γάρ^{c} ὅς^{rrnms} ἄν^{xo} ἐπικαλέω^{vsam3s} ὁ^{dans} ὄνομα^{nans} κύριος^{ngms} σῴζω^{vifp3s}. **v.14** πῶς^{bo} οὖν^{c} ἐπικαλέω^{vifm3p} εἰς^{p} ὅς^{rrams} οὐ^{xo} πιστεύω^{viaa3p} πῶς^{bo} δέ^{c} πιστεύω^{vifa3p} ὅς^{rrgms} οὐ^{xo} ἀκούω^{viaa3p} πῶς^{bo} δέ^{c} ἀκούω^{vifa3p} χωρίς^{bo} κηρύσσω^{vppagms}. **v.15** πῶς^{bo} δέ^{c} κηρύσσω^{vifa3p} ἐάν^{qo} μή^{xo} ἀποστέλλω^{vsap3p} καθώς^{bo} γράφω^{vixp3s} ὡς^{bo} ὡραῖος^{anmpn} ὁ^{dnmp} πούς^{nnmp} ὁ^{dgmp} εὐαγγελίζω^{vppmgmp} εἰρήνη^{nafs} ὁ^{dgmp} εὐαγγελίζω^{vppmgmp} ὁ^{danp} ἀγαθός^{aanpn}. **v.16** ἀλλά^{c} οὐ^{xo} πᾶς^{anmpn} ὑπακούω^{viaa3p} ὁ^{ddns} εὐαγγέλιον^{ndns} Ἠσαΐας^{nnms} γάρ^{c} λέγω^{vipa3s} κύριος^{nvms} τίς^{rqnms} πιστεύω^{viaa3s} ὁ^{ddfs} ἀκοή^{ndfs} ἐγώ$^{rpg-p}$. **v.17** ἄρα^{xo} ὁ^{dnfs} πίστις^{nnfs} ἐκ^{p} ἀκοή^{ngfs} ὁ^{dnfs} δέ^{c} ἀκοή^{nnfs} διά^{p} ῥῆμα^{ngns} θεός^{ngms}.

αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
19 ἀλλὰ λέγω, Μὴ οὐκ ἔγνω Ἰσραήλ· πρῶτος Μωσῆς λέγει, Ἐγὼ
παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ
20 ὑμᾶς. Ἠσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει, Εὑρέθην τοῖς ἐμὲ μὴ
21 ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. πρὸς δὲ
τὸν Ἰσραὴλ λέγει, Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου
πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.
11 Λέγω οὖν, Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ· μὴ γένοιτο.
καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς
2 Βενϊαμίν. οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω.
ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή· ὡς ἐντυγχάνει τῷ Θεῷ
3 κατὰ τοῦ Ἰσραήλ, λέγων, Κύριε, τοὺς προφήτας σου ἀπέκτει-
ναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην
4 μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρη-
ματισμός· Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες
5 οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ
6 λεῖμμα κατ᾽ ἐκλογὴν χάριτος γέγονεν. εἰ δὲ χάριτι, οὐκέτι ἐξ
ἔργων, ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις. εἰ δὲ ἐξ ἔργων, οὐ-
7 κέτι ἐστὶ χάρις, ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν ἔργον. τί οὖν· ὃ
ἐπιζητεῖ Ἰσραήλ, τούτου οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν,

---

v.18 ἀλλά[c] λέγω[vipa1s] μή[xo] οὐ[xo] ἀκούω[viaa3p] μενοῦνγε[xo] εἰς[p] πᾶς[aafsn] ὁ[dafs] γῆ[nafs] ἐξέρχομαι[viaa3s] ὁ[dnms] φθόγγος[nnms] αὐτός[rpgmp] καί[c] εἰς[p] ὁ[danp] πέρας[nanp] ὁ[dgfs] οἰκουμένη[ngfs] ὁ[dnnp] ῥῆμα[nnnp] αὐτός[rpgmp]. **v.19** ἀλλά[c] λέγω[vipa1s] μή[xo] οὐ[xo] γινώσκω[viaa3s] Ἰσραήλ[tp] πρῶτος[anmsn] Μωϋσῆς[nnms] λέγω[vipa3s] ἐγώ[rpn-s] παραζηλόω[vifa1s] σύ[rpa-p] ἐπί[p] οὐ[xo] ἔθνος[ndns] ἐπί[p] ἔθνος[ndns] ἀσύνετος[adnsn] παροργίζω[vifa1s] σύ[rpa-p]. **v.20** Ἠσαΐας[nnms] δέ[c] ἀποτολμάω[vipa3s] καί[c] λέγω[vipa3s] εὑρίσκω[viap1s] ὁ[ddmp] ἐγώ[rpa-s] μή[xo] ζητέω[vppadmp] ἐμφανής[anmsn] γίνομαι[viad1s] ὁ[ddmp] ἐγώ[rpa-s] μή[xo] ἐπερωτάω[vppadmp]. **v.21** πρός[p] δέ[c] ὁ[dams] Ἰσραήλ[tp] λέγω[vipa3s] ὅλος[aafsn] ὁ[dafs] ἡμέρα[nafs] ἐκπετάννυμι[viaa1s] ὁ[dafp] χείρ[nafp] ἐγώ[rpg-s] πρός[p] λαός[nams] ἀπειθέω[vppaams] καί[c] ἀντιλέγω[vppaams]. **11. v.1** λέγω[vipa1s] οὖν[c] μή[xo] ἀπωθέομαι[viad3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] λαός[nams] αὐτός[rpgms] μή[xo] γίνομαι[voad3s] καί[c] γάρ[c] ἐγώ[rpn-s] Ἰσραηλίτης[nnms] εἰμί[vipx1s] ἐκ[p] σπέρμα[ngns] Ἀβραάμ[tp] φυλή[ngfs] Βενιαμίν[tp]. **v.2** οὐ[xo] ἀπωθέομαι[viad3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] λαός[nams] αὐτός[rpgms] ὅς[rrams] προγινώσκω[viaa3s] ἤ[xo] οὐ[xo] οἶδα[vixa2p] ἐν[p] Ἠλίας[ndms] τίς[rqans] λέγω[vipa3s] ὁ[dnfs] γραφή[nnfs] ὡς[bo] ἐντυγχάνω[vipa3s] ὁ[ddms] θεός[ndms] κατά[p] ὁ[dgms] Ἰσραήλ[tp] λέγω[vppanms]. **v.3** κύριος[nvms] ὁ[damp] προφήτης[namp] σύ[rpg-s] ἀποκτείνω[viaa3p] καί[c] ὁ[danp] θυσιαστήριον[nanp] σύ[rpg-s] κατασκάπτω[viaa3p] κἀγώ[rpn-s] ὑπολείπω[viap1s] μόνος[anmsn] καί[c] ζητέω[vipa3p] ὁ[dafs] ψυχή[nafs] ἐγώ[rpg-s]. **v.4** ἀλλά[c] τίς[rqans] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] χρηματισμός[nnms] καταλείπω[viaa1s] ἐμαυτοῦ[rxdms] ἑπτακισχίλιοι[aampn] ἀνήρ[namp] ὅστις[rrnmp] οὐ[xo] κάμπτω[viaa3p] γόνυ[nans] ὁ[ddfs] Βάαλ[tp]. **v.5** οὕτω[bo] οὖν[c] καί[c] ἐν[p] ὁ[ddms] νῦν[bo] καιρός[ndms] λεῖμμα[nnns] κατά[p] ἐκλογή[nafs] χάρις[ngfs] γίνομαι[vixa3s]. **v.6** εἰ[qo] δέ[c] χάρις[ndfs] οὐκέτι[bo] ἐκ[p] ἔργον[ngnp] ἐπεί[c] ὁ[dnfs] χάρις[nnfs] οὐκέτι[bo] γίνομαι[vipn3s] χάρις[nnfs] εἰ[qo] δέ[c] ἐκ[p] ἔργον[ngnp] οὐκέτι[bo] εἰμί[vipx3s] χάρις[nnfs] ἐπεί[c] ὁ[dnns] ἔργον[nnns] οὐκέτι[bo] εἰμί[vipx3s] ἔργον[nnns].

οἱ δὲ λοιποὶ ἐπωρώθησαν, καθὼς γέγραπται, Ἔδωκεν αὐτοῖς 8
ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ
ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας. καὶ Δαβὶδ 9
λέγει, Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν,
καὶ εἰς σκάνδαλον, καὶ εἰς ἀνταπόδομα αὐτοῖς, σκοτισθήτω- 10
σαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν
διὰ παντὸς σύγκαμψον. λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι· 11
μὴ γένοιτο, ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνε-
σιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. εἰ δὲ τὸ παράπτωμα αὐτῶν 12
πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ
μᾶλλον τὸ πλήρωμα αὐτῶν· Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν. ἐφ' 13
ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω,
εἴ πως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν. 14
εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, 15
εἰ μὴ ζωὴ ἐκ νεκρῶν· εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα, 16
καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι. εἰ δέ τινες τῶν κλάδων ἐξε- 17
κλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ
συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου, μὴ 18
κατακαυχῶ τῶν κλάδων, εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν
βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ. ἐρεῖς οὖν, Ἐξεκλάσθησαν οἱ κλά- 19
δοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ. καλῶς, τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, 20

---

v.7 τίς[rqnns] οὖν[c] ὅς[rrans] ἐπιζητέω[vipa3s] Ἰσραήλ[tp] οὗτος[rdgns] οὐ[xo] ἐπιτυγχάνω[viaa3s] ὁ[dnfs] δέ[c] ἐκλογή[nnfs] ἐπιτυγχάνω[viaa3s] ὁ[dnmp] δέ[c] λοιπός[anmpn] πωρόω[viap3p]. **v.8** καθώς[bo] γράφω[vixp3s] δίδωμι[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] θεός[nnms] πνεῦμα[nans] κατάνυξις[ngfs] ὀφθαλμός[namp] ὁ[dgms] μή[xo] βλέπω[vnpa] καί[c] οὖς[nanp] ὁ[dgms] μή[xo] ἀκούω[vnpa] ἕως[c] ὁ[dgfs] σήμερον[bo] ἡμέρα[ngfs]. **v.9** καί[c] Δαυίδ[tp] λέγω[vipa3s] γίνομαι[vdao3s] ὁ[dnfs] τράπεζα[nnfs] αὐτός[rpgmp] εἰς[p] παγίς[nafs] καί[c] εἰς[p] θήρα[nafs] καί[c] εἰς[p] σκάνδαλον[nans] καί[c] εἰς[p] ἀνταπόδομα[nans] αὐτός[rpdmp]. **v.10** σκοτίζω[vdap3p] ὁ[dnmp] ὀφθαλμός[nnmp] αὐτός[rpgmp] ὁ[dgms] μή[xo] βλέπω[vnpa] καί[c] ὁ[dams] νῶτος[nams] αὐτός[rpgmp] διά[p] πᾶς[bo] συγκάμπτω[vdaa2s]. **v.11** λέγω[vipa1s] οὖν[c] μή[xo] πταίω[viaa3p] ἵνα[c] πίπτω[vsaa3p] μή[xo] γίνομαι[voad3s] ἀλλά[c] ὁ[ddns] αὐτός[rpgmp] παράπτωμα[ndns] ὁ[dnfs] σωτηρία[nnfs] ὁ[ddnp] ἔθνος[ndnp] εἰς[p] ὁ[dans] παραζηλόω[vnaa] αὐτός[rpamp]. **v.12** εἰ[qo] δέ[c] ὁ[dnns] παράπτωμα[nnns] αὐτός[rpgmp] πλοῦτος[nnns] κόσμος[ngms] καί[c] ὁ[dnns] ἥττημα[nnns] αὐτός[rpgmp] πλοῦτος[nnns] ἔθνος[ngnp] πόσος[rodns] μᾶλλον[bo] ὁ[dnns] πλήρωμα[nnns] αὐτός[rpgmp]. **v.13** σύ[rpd-p] γάρ[c] λέγω[vipa1s] ὁ[ddnp] ἔθνος[ndnp] ἐπί[p] ὅσος[rcans] μέν[xo] εἰμί[vipx1s] ἐγώ[rpn-s] ἔθνος[ngnp] ἀπόστολος[nnms] ὁ[dafs] διακονία[nafs] ἐγώ[rpg-s] δοξάζω[vipa1s]. **v.14** εἰ[qo] πώς[xo] παραζηλόω[vsaa1s] ἐγώ[rpg-s] ὁ[dafs] σάρξ[nafs] καί[c] σῴζω[vsaa1s] τι--σριαμπ ἐκ[p] αὐτός[rpgmp]. **v.15** εἰ[qo] γάρ[c] ὁ[dnfs] ἀποβολή[nnfs] αὐτός[rpgmp] καταλλαγή[nnfs] κόσμος[ngms] τίς[rqnfs] ὁ[dnfs] πρόσλημψις[nnfs] εἰ[qo] μή[xo] ζωή[nnfs] ἐκ[p] νεκρός[agmpn]. **v.16** εἰ[qo] δέ[c] ὁ[dnfs] ἀπαρχή[nnfs] ἅγιος[anfsn] καί[c] ὁ[dnns] φύραμα[nnns] καί[c] εἰ[qo] ὁ[dnfs] ῥίζα[nnfs] ἅγιος[anfsn] καί[c] ὁ[dnmp] κλάδος[nnmp]. **v.17** εἰ[qo] δέ[c] τι-σρινμπ ὁ[dgmp] κλάδος[ngmp] ἐκκλάω[viap3p] σύ[rpn-s] δέ[c] ἀγριέλαιος[nnfs] εἰμί[vppxnms] ἐγκεντρίζω[viap2s] ἐν[p] αὐτός[rpdmp] καί[c] συγκοινωνός[anmsn] ὁ[dgfs] ῥίζα[ngfs] καί[c] ὁ[dgfs] πιότης[ngfs] ὁ[dgfs] ἐλαία[ngfs] γίνομαι[viad2s]. **v.18** μή[xo] κατακαυχάομαι[vdpn2s] ὁ[dgmp] κλάδος[ngmp] εἰ[qo] δέ[c] κατακαυχάομαι[vipn2s] οὐ[xo] σύ[rpn-s] ὁ[dafs] ῥίζα[nafs] βαστάζω[vipa2s] ἀλλά[c] ὁ[dnfs] ῥίζα[nnfs] σύ[rpa-s]. **v.19** λέγω[vifa2s] οὖν[c] ἐκκλάω[viap3p] ὁ[dnmp] κλάδος[nnmp] ἵνα[c] ἐγώ[rpn-s] ἐγκεντρίζω[vsap1s].

21 σὺ δὲ τῇ πίστει ἕστηκας. μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ, εἰ
γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδέ
22 σοῦ φείσηται. ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ, ἐπὶ
μὲν τοὺς πεσόντας, ἀποτομίαν, ἐπὶ δέ σε, χρηστότητα, ἐὰν ἐ-
23 πιμείνῃς τῇ χρηστότητι, ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. καὶ ἐκεῖνοι
δέ, ἐὰν μὴ ἐπιμείνωσιν τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται, δυνα-
24 τὸς γάρ ἐστιν ὁ Θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς. εἰ γὰρ σὺ ἐκ
τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεν-
τρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι, οἱ κατὰ φύσιν,
25 ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ· Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν,
ἀδελφοί, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνι-
μοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ
26 πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται,
καθὼς γέγραπται, Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει
27 ἀσεβείας ἀπὸ Ἰακώβ, καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη,
28 ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. κατὰ μὲν τὸ εὐαγγέλιον,
ἐχθροὶ δι' ὑμᾶς, κατὰ δὲ τὴν ἐκλογήν, ἀγαπητοὶ διὰ τοὺς πατέ-
29 ρας. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ.
30 ὥσπερ γὰρ καὶ ὑμεῖς ποτὲ ἠπειθήσατε τῷ Θεῷ, νῦν δὲ ἠλεή-
31 θητε τῇ τούτων ἀπειθείᾳ, οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν, τῷ
32 ὑμετέρῳ ἐλέει ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι, συνέκλεισε γὰρ ὁ Θεὸς

---

v.20 καλῶς[bo] ὁ[ddfs] ἀπιστία[ndfs] ἐκκλάω[viap3p] σύ[rpn-s] δέ[c] ὁ[ddfs] πίστις[ndfs] ἵστημι[vixa2s] μή[xo] ὑψηλοφρονέω[vdpa2s] ἀλλά[c] φοβέομαι[vdpm2s]. **v.21** εἰ[qo] γάρ[c] ὁ[dnms] θεός[nnms] ὁ[dgmp] κατά[p] φύσις[nafs] κλάδος[ngmp] οὐ[xo] φείδομαι[viad3s] μή&πώς[c] οὐδέ[bo] σύ[rpg-s] φείδομαι[vsad3s]. **v.22** ὁράω[i] οὖν[c] χρηστότης[nafs] καί[c] ἀποτομία[nafs] θεός[ngms] ἐπί[p] μέν[xo] ὁ[damp] πίπτω[vpaaamp] ἀποτομία[nafs] ἐπί[p] δέ[c] σύ[rpa-s] χρηστότης[nafs] ἐάν[qo] ἐπιμένω[vsaa3s] ὁ[ddfs] χρηστότης[ndfs] ἐπεί[c] καί[c] σύ[rpn-s] ἐκκόπτω[vifp2s]. **v.23** καί[c] ἐκεῖνος[rdnmp] δέ[c] ἐάν[qo] μή[xo] ἐπιμένω[vsaa3p] ὁ[ddfs] ἀπιστία[ndfs] ἐγκεντρίζω[vifp3p] δυνατός[anmsn] γάρ[c] εἰμί[vipx3s] ὁ[dnms] θεός[nnms] πάλιν[bo] ἐγκεντρίζω[vnaa] αὐτός[rpamp]. **v.24** εἰ[qo] γάρ[c] σύ[rpn-s] ἐκ[p] ὁ[dgfs] κατά[p] φύσις[nafs] ἐκκόπτω[viap2s] ἀγριέλαιος[ngfs] καί[c] παρά[p] φύσις[nafs] ἐγκεντρίζω[viap2s] εἰς[p] καλλιέλαιος[nafs] πόσος[rodns] μᾶλλον[bo] οὗτος[rdnmp] ὁ[dnmp] κατά[p] φύσις[nafs] ἐγκεντρίζω[vifp3p] ὁ[ddfs] ἴδιος[adfsn] ἐλαία[ndfs]. **v.25** οὐ[xo] γάρ[c] θέλω[vipa1s] σύ[rpa-p] ἀγνοέω[vnpa] ἀδελφός[nvmp] ὁ[dans] μυστήριον[nans] οὗτος[rdans] ἵνα[c] μή[xo] εἰμί[vspx2p] παρά[p] ἑαυτοῦ[rxdmp] φρόνιμος[anmpn] ὅτι[c] πώρωσις[nnfs] ἀπό[p] μέρος[ngns] ὁ[ddms] Ἰσραήλ[tp] γίνομαι[vixa3s] ἄχρι[p] ὅς[bo] ὁ[dnns] πλήρωμα[nnns] ὁ[dgnp] ἔθνος[ngnp] εἰσέρχομαι[vsaa3s]. **v.26** καί[c] οὕτω[bo] πᾶς[anmsn] Ἰσραήλ[tp] σῴζω[vifp3s] καθώς[bo] γράφω[vixp3s] ἥκω[vifa3s] ἐκ[p] Σιών[tp] ὁ[dnms] ῥύομαι[vppnnms] καί[c] ἀποστρέφω[vifa3s] ἀσέβεια[nafp] ἀπό[p] Ἰακώβ[tp]. **v.27** καί[c] οὗτος[rdnfs] αὐτός[rpdmp] ὁ[dnfs] παρά[p] ἐγώ[rpg-s] διαθήκη[nnfs] ὅταν[c] ἀφαιρέω[vsam1s] ὁ[dafp] ἁμαρτία[nafp] αὐτός[rpgmp]. **v.28** κατά[p] μέν[xo] ὁ[dans] εὐαγγέλιον[nans] ἐχθρός[anmpn] διά[p] σύ[rpa-p] κατά[p] δέ[c] ὁ[dafs] ἐκλογή[nafs] ἀγαπητός[anmpn] διά[p] ὁ[damp] πατήρ[namp]. **v.29** ἀμεταμέλητος[annpn] γάρ[c] ὁ[dnnp] χάρισμα[nnnp] καί[c] ὁ[dnfs] κλῆσις[nnfs] ὁ[dgms] θεός[ngms]. **v.30** ὥσπερ[bo] γάρ[c] καί[c] σύ[rpn-p] ποτέ[xo] ἀπειθέω[viaa2p] ὁ[ddms] θεός[ndms] νῦν[bo] δέ[c] ἐλεέω[viap2p] ὁ[ddfs] οὗτος[rdgmp] ἀπείθεια[ndfs]. **v.31** οὕτω[bo] καί[c] οὗτος[rdnmp] νῦν[bo] ἀπειθέω[viaa3p] ὁ[ddns] ὑμέτερος[rsdms] ἔλεος[ndns] ἵνα[c] καί[c] αὐτός[rpnmp] ἐλεέω[vsap3p].

τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ. Ὦ βάθος 33
πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. ὡς ἀνεξερεύνητα τὰ
κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ ἔγνω 34
νοῦν Κυρίου· ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο· ἢ τίς προέδωκεν 35
αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ· ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ 36
καὶ εἰς αὐτὸν τὰ πάντα, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, **12**
παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον
τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. καὶ μὴ συσχηματίζε- 2
σθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ
νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ
ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον. Λέγω γάρ, διὰ τῆς χάρι- 3
τος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν
παρ᾽ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς
ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως. καθάπερ γὰρ ἐν ἑνὶ σώματι 4
μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶ-
ξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ᾽ εἷς 5
ἀλλήλων μέλη. ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δο- 6
θεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς
πίστεως, εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων, ἐν 7
τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει, ὁ μετα- 8

v.32 συγκλείω[viaa3s] γάρ[c] ὁ[dnms] θεός[nnms] ὁ[damp] πᾶς[aampn] εἰς[p] ἀπείθεια[nafs] ἵνα[c] ὁ[damp] πᾶς[aampn] ἐλεέω[vsaa3s]. **v.33** ὦ[i] βάθος[nnns] πλοῦτος[ngms] καί[c] σοφία[ngfs] καί[c] γνῶσις[ngfs] θεός[ngms] ὡς[bo] ἀνεξεραύνητος[annpn] ὁ[dnnp] κρίμα[nnnp] αὐτός[rpgms] καί[c] ἀνεξιχνίαστος[anfpn] ὁ[dnfp] ὁδός[nnfp] αὐτός[rpgms]. **v.34** τίς[rqnms] γάρ[c] γινώσκω[viaa3s] νοῦς[nams] κύριος[ngms] ἤ[xo] τίς[rqnms] σύμβουλος[nnms] αὐτός[rpgms] γίνομαι[viad3s]. **v.35** ἤ[xo] τίς[rqnms] προδίδωμι[viaa3s] αὐτός[rpdms] καί[c] ἀνταποδίδωμι[vifp3s] αὐτός[rpdms]. **v.36** ὅτι[c] ἐκ[p] αὐτός[rpgms] καί[c] διά[p] αὐτός[rpgms] καί[c] εἰς[p] αὐτός[rpams] ὁ[dnnp] πᾶς[annpn] αὐτός[rpdms] ὁ[dnfs] δόξα[nnfs] εἰς[p] ὁ[damp] αἰών[namp] ἀμήν[th].
12. v.1 παρακαλέω[vipa1s] οὖν[c] σύ[rpa-p] ἀδελφός[nvmp] διά[p] ὁ[dgmp] οἰκτιρμός[ngmp] ὁ[dgms] θεός[ngms] παρίστημι[vnaa] ὁ[danp] σῶμα[nanp] σύ[rpg-p] θυσία[nafs] ζάω[vppaafs] ἅγιος[aafsn] εὐάρεστος[aafsn] ὁ[ddms] θεός[ndms] ὁ[dafs] λογικός[aafsn] λατρεία[nafs] σύ[rpg-p]. **v.2** καί[c] μή[xo] συσχηματίζω[vdpe2p] ὁ[ddms] αἰών[ndms] οὗτος[rddms] ἀλλά[c] μεταμορφόω[vdpp2p] ὁ[ddfs] ἀνακαίνωσις[ndfs] ὁ[dgms] νοῦς[ngms] σύ[rpg-p] εἰς[p] ὁ[dans] δοκιμάζω[vnpa] σύ[rpa-p] τίς[rqnns] ὁ[dnns] θέλημα[nnns] ὁ[dgms] θεός[ngms] ὁ[dnns] ἀγαθός[annsn] καί[c] εὐάρεστος[annsn] καί[c] τέλειος[annsn]. **v.3** λέγω[vipa1s] γάρ[c] διά[p] ὁ[dgfs] χάρις[ngfs] ὁ[dgfs] δίδωμι[vpapgfs] ἐγώ[rpd-s] πᾶς[admsn] ὁ[ddms] εἰμί[vppxdms] ἐν[p] σύ[rpd-p] μή[xo] ὑπερφρονέω[vnpa] παρά[p] ὅς[rrans] δεῖ[vipq3s] φρονέω[vnpa] ἀλλά[c] φρονέω[vnpa] εἰς[p] ὁ[dans] σωφρονέω[vnpa] ἕκαστος[admsn] ὡς[bo] ὁ[dnms] θεός[nnms] μερίζω[viaa3s] μέτρον[nans] πίστις[ngfs]. **v.4** καθάπερ[bo] γάρ[c] ἐν[p] εἷς[ndns] σῶμα[ndns] μέλος[nanp] πολύς[aanpn] ἔχω[vipa1p] ὁ[dnnp] δέ[c] μέλος[nnnp] πᾶς[annpn] οὐ[xo] ὁ[dafs] αὐτός[rpafs] ἔχω[vipa3s] πρᾶξις[nafs]. **v.5** οὕτω[bo] ὁ[dnmp] πολύς[anmpn] εἷς[nnns] σῶμα[nnns] εἰμί[vipx1p] ἐν[p] Χριστός[ndms] ὁ[dnms] δέ[c] κατά[p] εἷς[nnms] ἀλλήλων[regmp] μέλος[nnnp]. **v.6** ἔχω[vppanmp] δέ[c] χάρισμα[nanp] κατά[p] ὁ[dafs] χάρις[nafs] ὁ[dafs] δίδωμι[vpapafs] ἐγώ[rpd-p] διάφορος[aanpn] εἴτε[c] προφητεία[nafs] κατά[p] ὁ[dafs] ἀναλογία[nafs] ὁ[dgfs] πίστις[ngfs]. **v.7** εἴτε[c] διακονία[nafs] ἐν[p] ὁ[ddfs] διακονία[ndfs] εἴτε[c] ὁ[dnms] διδάσκω[vppanms] ἐν[p] ὁ[ddfs] διδασκαλία[ndfs].

διδούς, ἐν ἁπλότητι, ὁ προϊστάμενος, ἐν σπουδῇ, ὁ ἐλεῶν, ἐν
9 ἱλαρότητι. ἡ ἀγάπη ἀνυπόκριτος. ἀποστυγοῦντες τὸ πονηρόν,
10 κολλώμενοι τῷ ἀγαθῷ. τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστορ-
11 γοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, τῇ σπουδῇ μὴ ὀκνηροί,
12 τῷ πνεύματι ζέοντες, τῷ Κυρίῳ δουλεύοντες, τῇ ἐλπίδι χαίρον-
τες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες,
13 ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, τὴν φιλοξενίαν διώκοντες.
14 εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.
15, 16 χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. τὸ αὐτὸ
εἰς ἀλλήλους φρονοῦντες. μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς
ταπεινοῖς συναπαγόμενοι. μὴ γίνεσθε φρόνιμοι παρ᾽ ἑαυτοῖς.
17 μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. προνοούμενοι καλὰ ἐν-
18 ώπιον πάντων ἀνθρώπων. εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων
19 ἀνθρώπων εἰρηνεύοντες. μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί,
ἀλλὰ δότε τόπον τῇ ὀργῇ, γέγραπται γάρ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ
20 ἀνταποδώσω, λέγει Κύριος. ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώ-
μιζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν, τοῦτο γὰρ ποιῶν, ἄνθρακας
21 πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. μὴ νικῶ ὑπὸ τοῦ
κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

13 Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω, οὐ γὰρ
ἔστιν ἐξουσία εἰ μὴ ἀπὸ Θεοῦ, αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θε-

---

v.8 εἴτε[c] ὁ[dnms] παρακαλέω[vppanms] ἐν[p] ὁ[ddfs] παράκλησις[ndfs] ὁ[dnms] μεταδίδωμι[vppanms] ἐν[p] ἁπλότης[ndfs] ὁ[dnms] προΐστημι[vppmnms] ἐν[p] σπουδή[ndfs] ὁ[dnms] ἐλεέω[vppanms] ἐν[p] ἱλαρότης[ndfs]. **v.9** ὁ[dnfs] ἀγάπη[nnfs] ἀνυπόκριτος[anfsn] ἀποστυγέω[vppanmp] ὁ[dans] πονηρός[aansn] κολλάω[vpppnmp] ὁ[ddns] ἀγαθός[adnsn]. **v.10** ὁ[ddfs] φιλαδελφία[ndfs] εἰς[p] ἀλλήλων[reamp] φιλόστοργος[anmpn] ὁ[ddfs] τιμή[ndfs] ἀλλήλων[reamp] προηγέομαι[vppnnmp]. **v.11** ὁ[ddfs] σπουδή[ndfs] μή[xo] ὀκνηρός[anmpn] ὁ[ddns] πνεῦμα[ndns] ζέω[vppanmp] ὁ[ddms] κύριος[ndms] δουλεύω[vppanmp]. **v.12** ὁ[ddfs] ἐλπίς[ndfs] χαίρω[vppanmp] ὁ[ddfs] θλῖψις[ndfs] ὑπομένω[vppanmp] ὁ[ddfs] προσευχή[ndfs] προσκαρτερέω[vppanmp]. **v.13** ὁ[ddfp] χρεία[ndfp] ὁ[dgmp] ἅγιος[agmpn] κοινωνέω[vppanmp] ὁ[dafs] φιλοξενία[nafs] διώκω[vppanmp]. **v.14** εὐλογέω[vdpa2p] ὁ[damp] διώκω[vppaamp] σύ[rpa-p] εὐλογέω[vdpa2p] καί[c] μή[xo] καταράομαι[vdpn2p]. **v.15** χαίρω[vnpa] μετά[p] χαίρω[vppagmp] καί[c] κλαίω[vnpa] μετά[p] κλαίω[vppagmp]. **v.16** ὁ[dans] αὐτός[rpans] εἰς[p] ἀλλήλων[reamp] φρονέω[vppanmp] μή[xo] ὁ[danp] ὑψηλός[aanpn] φρονέω[vppanmp] ἀλλά[c] ὁ[ddmp] ταπεινός[admpn] συναπάγω[vppmnmp] μή[xo] γίνομαι[vdpn2p] φρόνιμος[anmpn] παρά[p] ἑαυτοῦ[rxdmp]. **v.17** μηδείς[admsn] κακός[aansn] ἀντί[p] κακός[agnsn] ἀποδίδωμι[vppanmp] προνοέω[vppmnmp] καλός[aanpn] ἐνώπιον[bo] πᾶς[agmpn] ἄνθρωπος[ngmp]. **v.18** εἰ[qo] δυνατός[annsn] ὁ[dnns] ἐκ[p] σύ[rpg-p] μετά[p] πᾶς[agmpn] ἄνθρωπος[ngmp] εἰρηνεύω[vppanmp]. **v.19** μή[xo] ἑαυτοῦ[rxamp] ἐκδικέω[vppanmp] ἀγαπητός[avmpn] ἀλλά[c] δίδωμι[vdaa2p] τόπος[nams] ὁ[ddfs] ὀργή[ndfs] γράφω[vixp3s] γάρ[c] ἐγώ[rpd-s] ἐκδίκησις[nnfs] ἐγώ[rpn-s] ἀνταποδίδωμι[vifa1s] λέγω[vipa3s] κύριος[nnms]. **v.20** ἐάν[qo] οὖν[c] πεινάω[vspa3s] ὁ[dnms] ἐχθρός[anmsn] σύ[rpg-s] ψωμίζω[vdpa2s] αὐτός[rpams] ἐάν[qo] διψάω[vspa3s] ποτίζω[vdpa2s] αὐτός[rpams] οὗτος[rdans] γάρ[c] ποιέω[vppanms] ἄνθραξ[namp] πῦρ[ngns] σωρεύω[vifa2s] ἐπί[p] ὁ[dafs] κεφαλή[nafs] αὐτός[rpgms]. **v.21** μή[xo] νικάω[vdpp2s] ὑπό[p] ὁ[dgns] κακός[agnsn] ἀλλά[c] νικάω[vdpa2s] ἐν[p] ὁ[ddns] ἀγαθός[adnsn] ὁ[dans] κακός[aansn].

οὗ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ 2
Θεοῦ διαταγῇ ἀνθέστηκεν, οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα
λήψονται. οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, 3
ἀλλὰ τῶν κακῶν. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν· τὸ ἀ-
γαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς, Θεοῦ γὰρ διάκονός 4
ἐστί σοι εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ, οὐ γὰρ
εἰκῆ τὴν μάχαιραν φορεῖ, Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος
εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. διὸ ἀνάγκη ὑποτάσσεσθαι, 5
οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. διὰ 6
τοῦτο γὰρ καὶ φόρους τελεῖτε, λειτουργοὶ γὰρ Θεοῦ εἰσιν, εἰς
αὐτὸ τοῦτο προσκαρτεροῦντες. ἀπόδοτε οὖν πᾶσι τὰς ὀφει- 7
λάς, τῷ τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος τὸ τέλος, τῷ τὸν φόβον
τὸν φόβον, τῷ τὴν τιμὴν τὴν τιμήν. Μηδενὶ μηδὲν ὀφείλετε, εἰ 8
μὴ τὸ ἀγαπᾷν ἀλλήλους, ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πε-
πλήρωκε. τὸ γάρ, Οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, 9
οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντο-
λή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν
πλησίον σου ὡς ἑαυτόν. ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐρ- 10
γάζεται, πλήρωμα οὖν νόμου ἡ ἀγάπη. Καὶ τοῦτο, εἰδότες τὸν 11
καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι, νῦν γὰρ ἐγγύ-

---

13. v.1 πᾶς[anfsn] ψυχή[nnfs] ἐξουσία[ndfp] ὑπερέχω[vppadfp] ὑποτάσσω[vdpm3s] οὐ[xo] γάρ[c] εἰμί[vipx3s] ἐξουσία[nnfs] εἰ[qo] μή[xo] ἀπό[p] θεός[ngms] ὁ[dnfp] δέ[c] εἰμί[vppxnfp] ἐξουσία[nnfp] ὑπό[p] ὁ[dgms] θεός[ngms] τάσσω[vpxpnfp] εἰμί[vipx3p]. **v.2** ὥστε[c] ὁ[dnms] ἀντιτάσσω[vppmnms] ὁ[ddfs] ἐξουσία[ndfs] ὁ[ddfs] ὁ[dgms] θεός[ngms] διαταγή[ndfs] ἀνθίστημι[vixa3s] ὁ[dnmp] δέ[c] ἀνθίστημι[vpxanmp] ἑαυτοῦ[rxdmp] κρίμα[nans] λαμβάνω[vifd3p]. **v.3** ὁ[dnmp] γάρ[c] ἄρχων[nnmp] οὐ[xo] εἰμί[vipx3p] φόβος[nnms] ὁ[dgnp] ἀγαθός[agnpn] ἔργον[ngnp] ἀλλά[c] ὁ[dgnp] κακός[agnpn] θέλω[vipa2s] δέ[c] μή[xo] φοβέομαι[vnpn] ὁ[dafs] ἐξουσία[nafs] ὁ[dans] ἀγαθός[aansn] ποιέω[vdpa2s] καί[c] ἔχω[vifa2s] ἔπαινος[nams] ἐκ[p] αὐτός[rpgfs]. **v.4** θεός[ngms] γάρ[c] διάκονος[nnms] εἰμί[vipx3s] σύ[rpd-s] εἰς[p] ὁ[dans] ἀγαθός[aansn] ἐάν[qo] δέ[c] ὁ[dans] κακός[aansn] ποιέω[vspa2s] φοβέομαι[vdpm2s] οὐ[xo] γάρ[c] εἰκῇ[bo] ὁ[dafs] μάχαιρα[nafs] φορέω[vipa3s] θεός[ngms] γάρ[c] διάκονος[nnms] εἰμί[vipx3s] ἔκδικος[anmsn] εἰς[p] ὀργή[nafs] ὁ[ddms] ὁ[dans] κακός[aansn] πράσσω[vppadms]. **v.5** διό[c] ἀνάγκη[nnfs] ὑποτάσσω[vnpm] οὐ[xo] μόνος[bo] διά[p] ὁ[dafs] ὀργή[nafs] ἀλλά[c] καί[c] διά[p] ὁ[dafs] συνείδησις[nafs]. **v.6** διά[p] οὗτος[rdans] γάρ[c] καί[c] φόρος[namp] τελέω[vipa2p] λειτουργός[nnmp] γάρ[c] θεός[ngms] εἰμί[vipx3p] εἰς[p] αὐτός[rpans] οὗτος[rdans] προσκαρτερέω[vppanmp]. **v.7** ἀποδίδωμι[vdaa2p] οὖν[c] πᾶς[admpn] ὁ[dafp] ὀφειλή[nafp] ὁ[ddms] ὁ[dams] φόρος[nams] ὁ[dams] φόρος[nams] ὁ[ddms] ὁ[dans] τέλος[nans] ὁ[dans] τέλος[nans] ὁ[ddms] ὁ[dams] φόβος[nams] ὁ[dams] φόβος[nams] ὁ[ddms] ὁ[dafs] τιμή[nafs] ὁ[dafs] τιμή[nafs]. **v.8** μηδείς[admsn] μηδείς[aansn] ὀφείλω[vdpa2p] εἰ[qo] μή[xo] ὁ[dans] ἀγαπάω[vnpa] ἀλλήλων[reamp] ὁ[dnms] γάρ[c] ἀγαπάω[vppanms] ὁ[dams] ἕτερος[aamsn] νόμος[nams] πληρόω[vixa3s]. **v.9** ὁ[dnns] γάρ[c] οὐ[xo] μοιχεύω[vifa2s] οὐ[xo] φονεύω[vifa2s] οὐ[xo] κλέπτω[vifa2s] ὅς[xo] ψευδομαρτυρέω[vifa2s] οὐ[xo] ἐπιθυμέω[vifa2s] καί[c] εἰ[qo] τι-σρινφσ ἕτερος[anfsn] ἐντολή[nnfs] ἐν[p] οὗτος[rddms] ὁ[ddms] λόγος[ndms] ἀνακεφαλαιόω[vipp3s] ἐν[p] ὁ[ddms] ἀγαπάω[vifa2s] ὁ[dams] πλησίον[bo] σύ[rpg-s] ὡς[bo] ἑαυτοῦ[rxams]. **v.10** ὁ[dnfs] ἀγάπη[nnfs] ὁ[ddms] πλησίον[bo] κακός[aansn] οὐ[xo] ἐργάζομαι[vipn3s] πλήρωμα[nnns] οὖν[c] νόμος[ngms] ὁ[dnfs] ἀγάπη[nnfs].

12 τερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. ἡ νὺξ προέκοψεν,
ἡ δὲ ἡμέρα ἤγγικεν, ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ
13 ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως
περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελ-
14 γείαις, μὴ ἔριδι καὶ ζήλῳ. ἀλλ᾽ ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν
Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε, εἰς ἐπιθυμίας.
14 Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς δι-
2 ακρίσεις διαλογισμῶν. ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ
3 ἀσθενῶν λάχανα ἐσθίει. ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξου-
θενείτω, καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω, ὁ Θεὸς γὰρ
4 αὐτὸν προσελάβετο. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην· τῷ
ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. σταθήσεται δέ, δυνατὸς γὰρ ἐστιν ὁ
5 Θεὸς στῆσαι αὐτόν. ὃς μὲν κρίνει ἡμέραν παρ᾽ ἡμέραν, ὃς δὲ
κρίνει πᾶσαν ἡμέραν. ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω.
6 ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ, καὶ ὁ μὴ φρονῶν τὴν ἡ-
μέραν, Κυρίῳ οὐ φρονεῖ. ὁ ἐσθίων Κυρίῳ ἐσθίει, εὐχαριστεῖ
γὰρ τῷ Θεῷ, καὶ ὁ μὴ ἐσθίων Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαρι-
7 στεῖ τῷ Θεῷ. οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ
8 ἀποθνῄσκει. ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν, ἐάν τε ἀπο-
θνῄσκωμεν, τῷ Κυρίῳ ἀποθνῄσκομεν, ἐάν τε οὖν ζῶμεν, ἐάν τε

---

v.11 καί[c] οὗτος[rdnns] οἶδα[vpxanmp] ὁ[dams] καιρός[nams] ὅτι[c] ὥρα[nnfs] ἐγώ[rpa-p] ἤδη[bo] ἐκ[p] ὕπνος[ngms] ἐγείρω[vnap] νῦν[bo] γάρ[c] ἐγγύς[bo] ἐγώ[rpg-p] ὁ[dnfs] σωτηρία[nnfs] ἤ[xo] ὅτε[bo] πιστεύω[viaa1p]. **v.12** ὁ[dnfs] νύξ[nnfs] προκόπτω[viaa3s] ὁ[dnfs] δέ[c] ἡμέρα[nnfs] ἐγγίζω[vixa3s] ἀποτίθημι[vsam1p] οὖν[c] ὁ[danp] ἔργον[nanp] ὁ[dgns] σκότος[ngns] καί[c] ἐνδύω[vsam1p] ὁ[danp] ὅπλον[nanp] ὁ[dgns] φῶς[ngns]. **v.13** ὡς[bo] ἐν[p] ἡμέρα[ndfs] εὐσχημόνως[bo] περιπατέω[vsaa1p] μή[xo] κῶμος[ndmp] καί[c] μέθη[ndfp] μή[xo] κοίτη[ndfp] καί[c] ἀσέλγεια[ndfp] μή[xo] ἔρις[ndfs] καί[c] ζῆλος[ndms]. **v.14** ἀλλά[c] ἐνδύω[vdam2p] ὁ[dams] κύριος[nams] Ἰησοῦς[nams] Χριστός[nams] καί[c] ὁ[dgfs] σάρξ[ngfs] πρόνοια[nafs] μή[xo] ποιέω[vdpm2p] εἰς[p] ἐπιθυμία[nafp]. **14. v.1** ὁ[dams] δέ[c] ἀσθενέω[vppaams] ὁ[ddfs] πίστις[ndfs] προσλαμβάνω[vdpm2p] μή[xo] εἰς[p] διάκρισις[nafp] διαλογισμός[ngmp]. **v.2** ὅς[rrnms] μέν[xo] πιστεύω[vipa3s] ἐσθίω[vnaa] πᾶς[aanpn] ὁ[dnms] δέ[c] ἀσθενέω[vppanms] λάχανον[nanp] ἐσθίω[vipa3s]. **v.3** ὁ[dnms] ἐσθίω[vppanms] ὁ[dams] μή[xo] ἐσθίω[vppaams] μή[xo] ἐξουθενέω[vdpa3s] καί[c] ὁ[dnms] μή[xo] ἐσθίω[vppanms] ὁ[dams] ἐσθίω[vppaams] μή[xo] κρίνω[vdpa3s] ὁ[dnms] θεός[nnms] γάρ[c] αὐτός[rpams] προσλαμβάνω[viam3s]. **v.4** σύ[rpn-s] τίς[rqnms] εἰμί[vipx2s] ὁ[dnms] κρίνω[vppanms] ἀλλότριος[aamsn] οἰκέτης[nams] ὁ[ddms] ἴδιος[admsn] κύριος[ndms] στήκω[vipa3s] ἤ[xo] πίπτω[vipa3s] ἵστημι[vifp3s] δέ[c] δυνατός[anmsn] γάρ[c] εἰμί[vipx3s] ὁ[dnms] θεός[nnms] ἵστημι[vnaa] αὐτός[rpams]. **v.5** ὅς[rrnms] μέν[xo] κρίνω[vipa3s] ἡμέρα[nafs] παρά[p] ἡμέρα[nafs] ὅς[rrnms] δέ[c] κρίνω[vipa3s] πᾶς[aafsn] ἡμέρα[nafs] ἕκαστος[anmsn] ἐν[p] ὁ[ddms] ἴδιος[admsn] νοῦς[ndms] πληροφορέω[vdpp3s]. **v.6** ὁ[dnms] φρονέω[vppanms] ὁ[dafs] ἡμέρα[nafs] κύριος[ndms] φρονέω[vipa3s] καί[c] ὁ[dnms] μή[xo] φρονέω[vppanms] ὁ[dafs] ἡμέρα[nafs] κύριος[ndms] ὅς[xo] φρονέω[vipa3s] ὁ[dnms] ἐσθίω[vppanms] κύριος[ndms] ἐσθίω[vipa3s] εὐχαριστέω[vipa3s] γάρ[c] ὁ[ddms] θεός[ndms] καί[c] ὁ[dnms] μή[xo] ἐσθίω[vppanms] κύριος[ndms] οὐ[xo] ἐσθίω[vipa3s] καί[c] εὐχαριστέω[vipa3s] ὁ[ddms] θεός[ndms]. **v.7** οὐδείς[anfsn] γάρ[c] ἐγώ[rpg-p] ἑαυτοῦ[rxdms] ζάω[vipa3s] καί[c] οὐδείς[anfsn] ἑαυτοῦ[rxdms] ἀποθνήσκω[vipa3s].

ἀποθνῄσκωμεν, τοῦ Κυρίου ἐσμέν. εἰς τοῦτο γὰρ Χριστὸς καὶ 9
ἀπέθανε καὶ ἀνέστη καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων
κυριεύσῃ. σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου· ἢ καὶ σὺ τί ἐξου- 10
θενεῖς τὸν ἀδελφόν σου· πάντες γὰρ παραστησόμεθα τῷ βήματι
τοῦ Χριστοῦ. γέγραπται γάρ, Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ 11
κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ.
ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ. Μη- 12, 13
κέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ
μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. οἶδα καὶ πέ- 14
πεισμαι ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι᾽ ἑαυτοῦ, εἰ μὴ τῷ
λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν. εἰ δὲ διὰ βρῶμα ὁ 15
ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. μὴ τῷ
βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε. μὴ 16
βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν, οὐ γάρ ἐστιν ἡ βασιλεία 17
τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ
χαρὰ ἐν Πνεύματι Ἁγίῳ. ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ 18
εὐάρεστος τῷ Θεῷ, καὶ δόκιμος τοῖς ἀνθρώποις. ἄρα οὖν τὰ 19
τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους.
μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. πάντα μὲν 20
καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθί-

---

v.8 ἐάν[qo] τέ[xo] γάρ[c] ζάω[vspa1p] ὁ[ddms] κύριος[ndms] ζάω[vipa1p] ἐάν[qo] τέ[xo] ἀποθνῄσκω[vspa1p] ὁ[ddms] κύριος[ndms] ἀποθνῄσκω[vipa1p] ἐάν[qo] τέ[xo] οὖν[c] ζάω[vspa1p] ἐάν[qo] τέ[xo] ἀποθνῄσκω[vspa1p] ὁ[dgms] κύριος[ngms] εἰμί[vipx1p]. **v.9** εἰς[p] οὗτος[rdans] γάρ[c] Χριστός[nnms] καί[c] ἀποθνῄσκω[viaa3s] καί[c] ἀνίστημι[viaa3s] καί[c] ἀναζάω[viaa3s] ἵνα[c] καί[c] νεκρός[agmpn] καί[c] ζάω[vppagmp] κυριεύω[vsaa3s]. **v.10** σύ[rpn-s] δέ[c] τίς[rqans] κρίνω[vipa2s] ὁ[dams] ἀδελφός[nams] σύ[rpg-s] ἤ[xo] καί[c] σύ[rpn-s] τίς[rqans] ἐξουθενέω[vipa2s] ὁ[dams] ἀδελφός[nams] σύ[rpg-s] πᾶς[anmpn] γάρ[c] παρίστημι[vifd1p] ὁ[ddns] βῆμα[ndns] ὁ[dgms] Χριστός[ngms]. **v.11** γράφω[vixp3s] γάρ[c] ζάω[vipa1s] ἐγώ[rpn-s] λέγω[vipa3s] κύριος[nnms] ὅτι[c] ἐγώ[rpd-s] κάμπτω[vifa3s] πᾶς[annsn] γόνυ[nnns] καί[c] πᾶς[anfsn] γλῶσσα[nnfs] ἐξομολογέω[vifm3s] ὁ[ddms] θεός[ndms]. **v.12** ἄρα[xo] οὖν[c] ἕκαστος[anmsn] ἐγώ[rpg-p] περί[p] ἑαυτοῦ[rxgms] λόγος[nams] δίδωμι[vifa3s] ὁ[ddms] θεός[ndms]. **v.13** μηκέτι[bo] οὖν[c] ἀλλήλων[reamp] κρίνω[vspa1p] ἀλλά[c] οὗτος[rdans] κρίνω[vdaa2p] μᾶλλον[bo] ὁ[dans] μή[xo] τίθημι[vnpa] πρόσκομμα[nans] ὁ[ddms] ἀδελφός[ndms] ἤ[xo] σκάνδαλον[nans]. **v.14** οἶδα[vixa1s] καί[c] πείθω[vixp1s] ἐν[p] κύριος[ndms] Ἰησοῦς[ndms] ὅτι[c] οὐδείς[annsn] κοινός[annsn] διά[p] ἑαυτοῦ[rxgms] εἰ[qo] μή[xo] ὁ[ddms] λογίζομαι[vppndms] τι-σριανσ κοινός[aansn] εἰμί[vnpx] ἐκεῖνος[rddms] κοινός[annsn]. **v.15** εἰ[qo] δέ[c] διά[p] βρῶμα[nans] ὁ[dnms] ἀδελφός[nnms] σύ[rpg-s] λυπέω[vipp3s] οὐκέτι[bo] κατά[p] ἀγάπη[nafs] περιπατέω[vipa2s] μή[xo] ὁ[ddns] βρῶμα[ndns] σύ[rpg-s] ἐκεῖνος[rdams] ἀπόλλυμι[vdpa2s] ὑπέρ[p] ὅς[rrgms] Χριστός[nnms] ἀποθνῄσκω[viaa3s]. **v.16** μή[xo] βλασφημέω[vdpp3s] οὖν[c] σύ[rpg-p] ὁ[dans] ἀγαθός[aansn]. **v.17** οὐ[xo] γάρ[c] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgms] θεός[ngms] βρῶσις[nnfs] καί[c] πόσις[nnfs] ἀλλά[c] δικαιοσύνη[nnfs] καί[c] εἰρήνη[nnfs] καί[c] χαρά[nnfs] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn]. **v.18** ὁ[dnms] γάρ[c] ἐν[p] οὗτος[rddnp] δουλεύω[vppanms] ὁ[ddms] Χριστός[ndms] εὐάρεστος[anmsn] ὁ[ddms] θεός[ndms] καί[c] δόκιμος[anmsn] ὁ[ddmp] ἄνθρωπος[ndmp]. **v.19** ἄρα[xo] οὖν[c] ὁ[danp] ὁ[dgfs] εἰρήνη[ngfs] διώκω[vspa1p] καί[c] ὁ[danp] ὁ[dgfs] οἰκοδομή[ngfs] ὁ[dgfs] εἰς[p] ἀλλήλων[reamp].

21 οντι. καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ
22 ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἤ ἀσθενεῖ. σὺ πί-
στιν ἔχεις κατὰ σαυτὸν ἔχε ἐνώπιον τοῦ Θεοῦ. μακάριος ὁ μὴ
23 κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ,
κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως, πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως,
ἁμαρτία ἐστίν.

15 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνά-
2 των βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. ἕκαστος γὰρ ἡμῶν
3 τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. καὶ
γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλά, καθὼς γέγραπται, Οἱ
4 ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. ὅσα γὰρ
προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ
τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα
5 ἔχωμεν. ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη
6 ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, ἵνα
ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ πατέρα τοῦ
7 Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. διὸ προσλαμβάνεσθε ἀλλήλους,
8 καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς, εἰς δόξαν Θεοῦ. λέγω
δέ, Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀλη-
9 θείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ
δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεόν, καθὼς γέγραπται, Διὰ

---

v.20 μή[xo] ἕνεκα[bo] βρῶμα[ngns] καταλύω[vdpa2s] ὁ[dans] ἔργον[nans] ὁ[dgms] θεός[ngms] πᾶς[annpn] μέν[xo] καθαρός[annpn] ἀλλά[c] κακός[annsn] ὁ[ddms] ἄνθρωπος[ndms] ὁ[ddms] διά[p] πρόσκομμα[ngns] ἐσθίω[vppadms]. **v.21** καλός[annsn] ὁ[dnns] μή[xo] ἐσθίω[vnaa] κρέας[nanp] μηδέ[c] πίνω[vnaa] οἶνος[nams] μηδέ[c] ἐν[p] ὅς[rrdns] ὁ[dnms] ἀδελφός[nnms] σύ[rpg-s] προσκόπτω[vipa3s] ἤ[xo] σκανδαλίζω[vipp3s] ἤ[xo] ἀσθενέω[vipa3s]. **v.22** σύ[rpn-s] πίστις[nafs] ἔχω[vipa2s] κατά[p] σεαυτοῦ[rxams] ἔχω[vdpa2s] ἐνώπιον[bo] ὁ[dgms] θεός[ngms] μακάριος[anmsn] ὁ[dnms] μή[xo] κρίνω[vppanms] ἑαυτοῦ[rxams] ἐν[p] ὅς[rrdns] δοκιμάζω[vipa3s]. **v.23** ὁ[dnms] δέ[c] διακρίνω[vppmnms] ἐάν[qo] ἐσθίω[vsaa3s] κατακρίνω[vixp3s] ὅτι[c] οὐ[xo] ἐκ[p] πίστις[ngfs] πᾶς[annsn] δέ[c] ὅς[rrnns] οὐ[xo] ἐκ[p] πίστις[ngfs] ἁμαρτία[nnfs] εἰμί[vipx3s]. **15.** **v.1** ὀφείλω[vipa1p] δέ[c] ἐγώ[rpn-p] ὁ[dnmp] δυνατός[anmpn] ὁ[danp] ἀσθένημα[nanp] ὁ[dgmp] ἀδύνατος[agmpn] βαστάζω[vnpa] καί[c] μή[xo] ἑαυτοῦ[rxdmp] ἀρέσκω[vnpa]. **v.2** ἕκαστος[anmsn] γάρ[c] ἐγώ[rpg-p] ὁ[ddms] πλησίον[bo] ἀρέσκω[vdpa3s] εἰς[p] ὁ[dans] ἀγαθός[aansn] πρός[p] οἰκοδομή[nafs]. **v.3** καί[c] γάρ[c] ὁ[dnms] Χριστός[nnms] οὐ[xo] ἑαυτοῦ[rxdms] ἀρέσκω[viaa3s] ἀλλά[c] καθώς[bo] γράφω[vixp3s] ὁ[dnmp] ὀνειδισμός[nnmp] ὁ[dgmp] ὀνειδίζω[vppagmp] σύ[rpa-s] ἐπιπίπτω[viaa3p] ἐπί[p] ἐγώ[rpa-s]. **v.4** ὅσος[rcnnp] γάρ[c] προγράφω[viap3s] εἰς[p] ὁ[dafs] ἡμέτερος[rsafs] διδασκαλία[nafs] προγράφω[viap3s] ἵνα[c] διά[p] ὁ[dgfs] ὑπομονή[ngfs] καί[c] ὁ[dgfs] παράκλησις[ngfs] ὁ[dgfp] γραφή[ngfp] ὁ[dafs] ἐλπίς[nafs] ἔχω[vspa1p]. **v.5** ὁ[dnms] δέ[c] θεός[nnms] ὁ[dgfs] ὑπομονή[ngfs] καί[c] ὁ[dgfs] παράκλησις[ngfs] δίδωμι[voaa3s] σύ[rpd-p] ὁ[dans] αὐτός[rpans] φρονέω[vnpa] ἐν[p] ἀλλήλων[redmp] κατά[p] Χριστός[nams] Ἰησοῦς[nams]. **v.6** ἵνα[c] ὁμοθυμαδόν[bo] ἐν[p] εἷς[ndns] στόμα[ndns] δοξάζω[vspa2p] ὁ[dams] θεός[nams] καί[c] πατήρ[nams] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.7** διό[c] προσλαμβάνω[vdpm2p] ἀλλήλων[reamp] καθώς[bo] καί[c] ὁ[dnms] Χριστός[nnms] προσλαμβάνω[viam3s] ἐγώ[rpa-p] εἰς[p] δόξα[nafs] θεός[ngms]. **v.8** λέγω[vipa1s] δέ[c] Ἰησοῦς[nams] Χριστός[nams] διάκονος[nams] γίνομαι[vnxp] περιτομή[ngfs] ὑπέρ[p] ἀλήθεια[ngfs] θεός[ngms] εἰς[p] ὁ[dans] βεβαιόω[vnaa] ὁ[dafp] ἐπαγγελία[nafp] ὁ[dgmp] πατήρ[ngmp].

τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνοματί σου ψα-
λῶ. καὶ πάλιν λέγει, Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ. 10
καὶ πάλιν, Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε 11
αὐτὸν πάντες οἱ λαοί. καὶ πάλιν Ἠσαΐας λέγει, Ἔσται ἡ ῥίζα 12
τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ᾽ αὐτῷ ἔθνη
ἐλπιοῦσιν. ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χα- 13
ρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν
τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος Ἁγίου. Πέπεισμαι δέ, ἀ- 14
δελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί
ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι
καὶ ἀλλήλους νουθετεῖν. τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀ- 15
δελφοί, ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν
τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν 16
Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ
Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγια-
σμένη ἐν Πνεύματι Ἁγίῳ. ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ 17
τὰ πρὸς Θεόν. οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο 18
Χριστὸς δι᾽ ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυ- 19
νάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ, ὥστε
με ἀπὸ Ἰερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπλη-
ρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, οὕτω δὲ φιλοτιμούμενον 20

---

v.9 ὁ[dnnp] δέ[c] ἔθνος[nnnp] ὑπέρ[p] ἔλεος[ngns] δοξάζω[vnaa] ὁ[dams] θεός[nams] καθώς[bo] γράφω[vixp3s] διά[p] οὗτος[rdans] ἐξομολογέω[vifm1s] σύ[rpd-s] ἐν[p] ἔθνος[ndnp] καί[c] ὁ[ddns] ὄνομα[ndns] σύ[rpg-s] ψάλλω[vifa1s]. **v.10** καί[c] πάλιν[bo] λέγω[vipa3s] εὐφραίνω[vdap2p] ἔθνος[nvnp] μετά[p] ὁ[dgms] λαός[ngms] αὐτός[rpgms]. **v.11** καί[c] πάλιν[bo] αἰνέω[vdpa2p] ὁ[dams] κύριος[nams] πᾶς[annpn] ὁ[dnnp] ἔθνος[nnnp] καί[c] ἐπαινέω[vdaa2p] αὐτός[rpams] πᾶς[anmpn] ὁ[dnmp] λαός[nnmp]. **v.12** καί[c] πάλιν[bo] Ἠσαΐας[nnms] λέγω[vipa3s] εἰμί[vifx3s] ὁ[dnfs] ῥίζα[nnfs] ὁ[dgms] Ἰεσσαί[tp] καί[c] ὁ[dnms] ἀνίστημι[vppmnms] ἄρχω[vnpa] ἔθνος[ngnp] ἐπί[p] αὐτός[rpdms] ἔθνος[nnnp] ἐλπίζω[vifa3p]. **v.13** ὁ[dnms] δέ[c] θεός[nnms] ὁ[dgfs] ἐλπίς[ngfs] πληρόω[voaa3s] σύ[rpa-p] πᾶς[agfsn] χαρά[ngfs] καί[c] εἰρήνη[ngfs] ἐν[p] ὁ[ddms] πιστεύω[vnpa] εἰς[p] ὁ[dans] περισσεύω[vnpa] σύ[rpa-p] ἐν[p] ὁ[ddfs] ἐλπίς[ndfs] ἐν[p] δύναμις[ndfs] πνεῦμα[ngns] ἅγιος[agnsn]. **v.14** πείθω[vixp1s] δέ[c] ἀδελφός[nvmp] ἐγώ[rpg-s] καί[c] αὐτός[rpnms] ἐγώ[rpn-s] περί[p] σύ[rpg-p] ὅτι[c] καί[c] αὐτός[rpnmp] μεστός[anmpn] εἰμί[vipx2p] ἀγαθωσύνη[ngfs] πληρόω[vpxpnmp] πᾶς[agfsn] γνῶσις[ngfs] δύναμαι[vppnnmp] καί[c] ἀλλήλων[reamp] νουθετέω[vnpa]. **v.15** τολμηρός[bo] δέ[c] γράφω[viaa1s] σύ[rpd-p] ἀδελφός[nvmp] ἀπό[p] μέρος[ngns] ὡς[bo] ἐπαναμιμνῄσκω[vppanms] σύ[rpa-p] διά[p] ὁ[dafs] χάρις[nafs] ὁ[dafs] δίδωμι[vpapafs] ἐγώ[rpd-s] ὑπό[p] ὁ[dgms] θεός[ngms]. **v.16** εἰς[p] ὁ[dans] εἰμί[vnpx] ἐγώ[rpa-s] λειτουργός[nams] Ἰησοῦς[ngms] Χριστός[ngms] εἰς[p] ὁ[danp] ἔθνος[nanp] ἱερουργέω[vppaams] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgms] θεός[ngms] ἵνα[c] γίνομαι[vsad3s] ὁ[dnfs] προσφορά[nnfs] ὁ[dgnp] ἔθνος[ngnp] εὐπρόσδεκτος[anfsn] ἁγιάζω[vpxpnfs] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn]. **v.17** ἔχω[vipa1s] οὖν[c] καύχησις[nafs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὁ[danp] πρός[p] θεός[nams]. **v.18** οὐ[xo] γάρ[c] τολμάω[vifa1s] λαλέω[vnpa] τι-σριανσ ὅς[rrgnp] οὐ[xo] κατεργάζομαι[viad3s] Χριστός[nnms] διά[p] ἐγώ[rpg-s] εἰς[p] ὑπακοή[nafs] ἔθνος[ngnp] λόγος[ndms] καί[c] ἔργον[ndns]. **v.19** ἐν[p] δύναμις[ndfs] σημεῖον[ngnp] καί[c] τέρας[ngnp] ἐν[p] δύναμις[ndfs] πνεῦμα[ngns] θεός[ngms] ὥστε[c] ἐγώ[rpa-s] ἀπό[p] Ἰερουσαλήμ[tp] καί[c] κύκλῳ[ndms] μέχρι[bo] ὁ[dgns] Ἰλλυρικόν[ngns] πληρόω[vnxa] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgms] Χριστός[ngms].

εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός, ἵνα μὴ ἐπ᾽ ἀλ-
21 λότριον θεμέλιον οἰκοδομῶ, ἀλλὰ, καθὼς γέγραπται, Οἷς οὐκ
ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνή-
22 σουσι. Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς,
23 νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν
24 δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν, ὡς ἐὰν πο-
ρεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς ὑμας, ἐλπίζω γὰρ
διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆ-
25 ναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ. νυνὶ δὲ
26 πορεύομαι εἰς Ἱερουσαλήμ, διακονῶν τοῖς ἁγίοις. εὐδόκησαν
γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς
27 πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. εὐδόκησαν γάρ, καὶ
ὀφειλέται αὐτῶν εἰσιν. εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώ-
νησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι
28 αὐτοῖς. τοῦτο οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν
29 καρπὸν τοῦτον, ἀπελεύσομαι δι᾽ ὑμῶν εἰς τὴν Σπανίαν. οἶδα
δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς ἐν πληρώματι εὐλογίας τοῦ εὐαγ-
30 γελίου τοῦ Χριστοῦ ἐλεύσομαι. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί,
διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ
Πνεύματος, συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐ-
31 μοῦ πρὸς τὸν Θεόν, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ
Ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόσ-

---

v.20 οὕτω[bo] δέ[c] φιλοτιμέομαι[vppnams] εὐαγγελίζω[vnpm] οὐ[xo] ὅπου[bo] ὀνομάζω[viap3s] Χριστός[nnms] ἵνα[c] μή[xo] ἐπί[p] ἀλλότριος[aamsn] θεμέλιος[nams] οἰκοδομέω[vspa1s]. **v.21** ἀλλά[c] καθώς[bo] γράφω[vixp3s] ὅς[rrdmp] οὐ[xo] ἀναγγέλλω[viap3s] περί[p] αὐτός[rpgms] ὁράω[vifd3p] καί[c] ὅς[rrnmp] οὐ[xo] ἀκούω[vixa3p] συνίημι[vifx3p]. **v.22** διό[c] καί[c] ἐγκόπτω[viip1s] ὁ[danp] πολύς[aanpn] ὁ[dgms] ἔρχομαι[vnaa] πρός[p] σύ[rpa-p]. **v.23** νυνί[bo] δέ[c] μηκέτι[bo] τόπος[nams] ἔχω[vppanms] ἐν[p] ὁ[ddnp] κλίμα[ndnp] οὗτος[rddnp] ἐπιποθία[nafs] δέ[c] ἔχω[vppanms] ὁ[dgms] ἔρχομαι[vnaa] πρός[p] σύ[rpa-p] ἀπό[p] πολύς[agnpn] ἔτος[ngnp]. **v.24** ὡς[bo] ἐάν[qo] πορεύομαι[vspn1s] εἰς[p] ὁ[dafs] Σπανία[nafs] ἔρχομαι[vifd1s] πρός[p] σύ[rpa-p] ἐλπίζω[vipa1s] γάρ[c] διαπορεύομαι[vppnnms] θεάομαι[vnad] σύ[rpa-p] καί[c] ὑπό[p] σύ[rpg-p] προπέμπω[vnap] ἐκεῖ[bo] ἐάν[qo] σύ[rpg-p] πρῶτος[bo] ἀπό[p] μέρος[ngns] ἐμπίπλημι[vsap1s]. **v.25** νυνί[bo] δέ[c] πορεύομαι[vipn1s] εἰς[p] Ἱερουσαλήμ[tp] διακονέω[vppanms] ὁ[ddmp] ἅγιος[admpn]. **v.26** εὐδοκέω[viaa3p] γάρ[c] Μακεδονία[nnfs] καί[c] Ἀχαΐα[nnfs] κοινωνία[nafs] τι-σριαφσ ποιέω[vnam] εἰς[p] ὁ[damp] πτωχός[aampn] ὁ[dgmp] ἅγιος[agmpn] ὁ[dgmp] ἐν[p] Ἱερουσαλήμ[tp]. **v.27** εὐδοκέω[viaa3p] γάρ[c] καί[c] ὀφειλέτης[nnmp] αὐτός[rpgmp] εἰμί[vipx3p] εἰ[qo] γάρ[c] ὁ[ddnp] πνευματικός[adnpn] αὐτός[rpgmp] κοινωνέω[viaa3p] ὁ[dnnp] ἔθνος[nnnp] ὀφείλω[vipa3p] καί[c] ἐν[p] ὁ[ddnp] σαρκικός[adnpn] λειτουργέω[vnaa] αὐτός[rpdmp]. **v.28** οὗτος[rdans] οὖν[c] ἐπιτελέω[vpaanfs] καί[c] σφραγίζω[vpamnms] αὐτός[rpdmp] ὁ[dams] καρπός[nams] οὗτος[rdams] ἀπέρχομαι[vifd1s] διά[p] σύ[rpg-p] εἰς[p] ὁ[dafs] Σπανία[nafs]. **v.29** οἶδα[vixa1s] δέ[c] ὅτι[c] ἔρχομαι[vppnnms] πρός[p] σύ[rpa-p] ἐν[p] πλήρωμα[ndns] εὐλογία[ngfs] ὁ[dgns] εὐαγγέλιον[ngns] ὁ[dgms] Χριστός[ngms] ἔρχομαι[vifd1s]. **v.30** παρακαλέω[vipa1s] δέ[c] σύ[rpa-p] ἀδελφός[nvmp] διά[p] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] καί[c] διά[p] ὁ[dgfs] ἀγάπη[ngfs] ὁ[dgns] πνεῦμα[ngns] συναγωνίζομαι[vnad] ἐγώ[rpd-s] ἐν[p] ὁ[ddfp] προσευχή[ndfp] ὑπέρ[p] ἐγώ[rpg-s] πρός[p] ὁ[dams] θεός[nams].

δεκτος γένηται τοῖς ἁγίοις, ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ 32
θελήματος Θεοῦ, καὶ συναναπαύσωμαι ὑμῖν. ὁ δὲ Θεὸς τῆς 33
εἰρήνης μετὰ πάντων ὑμῶν ἀμήν.

Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, οὖσαν διάκο- **16**
νον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς, ἵνα αὐτὴν προσδέξησθε 2
ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν
χρῄζῃ πράγματι, καὶ γὰρ αὕτη προστάτις πολλῶν ἐγενήθη, καὶ
αὐτοῦ ἐμοῦ. Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συν- 3
εργούς μου ἐν Χριστῷ Ἰησοῦ, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου 4
τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν, οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ,
ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν, καὶ τὴν κατ᾽ οἶκον 5
αὐτῶν ἐκκλησίαν. ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου,
ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν. ἀσπάσασθε Μαρι- 6
άμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς. ἀσπάσασθε Ἀνδρόνικον 7
καὶ Ἰουνιᾶν τοὺς συγγενεῖς μου καὶ συναιχμαλώτους μου, οἵ-
τινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γέ-
γονασιν ἐν Χριστῷ. ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου 8
ἐν Κυρίῳ. ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν Χρι- 9
στῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου. ἀσπάσασθε Ἀπελλῆν τὸν 10
δόκιμον ἐν Χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου. ἀ- 11
σπάσασθε Ἡροδίωνα τὸν συγγενῆ μου. ἀσπάσασθε τοὺς ἐκ

---

v.31 ἵνα[c] ῥύομαι[vsap1s] ἀπό[p] ὁ[dgmp] ἀπειθέω[vppagmp] ἐν[p] ὁ[ddfs] Ἰουδαία[ndfs] καί[c] ἵνα[c] ὁ[dnfs] διακονία[nnfs] ἐγώ[rpg-s] ὁ[dnfs] εἰς[p] Ἰερουσαλήμ[tp] εὐπρόσδεκτος[anfsn] γίνομαι[vsad3s] ὁ[ddmp] ἅγιος[admpn]. **v.32** ἵνα[c] ἐν[p] χαρά[ndfs] ἔρχομαι[vsaa1s] πρός[p] σύ[rpa-p] διά[p] θέλημα[ngns] θεός[ngms] καί[c] συναναπαύομαι[vsad1s] σύ[rpd-p]. **v.33** ὁ[dnms] δέ[c] θεός[nnms] ὁ[dgfs] εἰρήνη[ngfs] μετά[p] πᾶς[agmpn] σύ[rpg-p] ἀμήν[th]. **16. v.1** συνίστημι[vipa1s] δέ[c] σύ[rpd-p] Φοίβη[nafs] ὁ[dafs] ἀδελφή[nafs] ἐγώ[rpg-p] εἰμί[vppxafs] διάκονος[nafs] ὁ[dgfs] ἐκκλησία[ngfs] ὁ[dgfs] ἐν[p] Κεγχρεαί[ndfp]. **v.2** ἵνα[c] αὐτός[rpafs] προσδέχομαι[vsad2p] ἐν[p] κύριος[ndms] ἀξίως[bo] ὁ[dgmp] ἅγιος[agmpn] καί[c] παρίστημι[vsaa2p] αὐτός[rpdfs] ἐν[p] ὅς[rrdns] ἄν[xo] σύ[rpg-p] χρῄζω[vspa3s] πρᾶγμα[ndns] καί[c] γάρ[c] αὐτός[rpnfs] προστάτις[nnfs] πολύς[agmpn] γίνομαι[viao3s] καί[c] αὐτός[rpgms] ἐγώ[rpg-s]. **v.3** ἀσπάζομαι[vdad2p] Πρίσκα[nafs] καί[c] Ἀκύλας[nams] ὁ[damp] συνεργός[aampn] ἐγώ[rpg-s] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.4** ὅστις[rrnmp] ὑπέρ[p] ὁ[dgfs] ψυχή[ngfs] ἐγώ[rpg-s] ὁ[dams] ἑαυτοῦ[rxgmp] τράχηλος[nams] ὑποτίθημι[viaa3p] ὅς[rrdmp] οὐ[xo] ἐγώ[rpn-s] μόνος[anmsn] εὐχαριστέω[vipa1s] ἀλλά[c] καί[c] πᾶς[anfpn] ὁ[dnfp] ἐκκλησία[nnfp] ὁ[dgnp] ἔθνος[ngnp]. **v.5** καί[c] ὁ[dafs] κατά[p] οἶκος[nams] αὐτός[rpgmp] ἐκκλησία[nafs] ἀσπάζομαι[vdad2p] Ἐπαίνετος[nams] ὁ[dams] ἀγαπητός[aamsn] ἐγώ[rpg-s] ὅς[rrnms] εἰμί[vipx3s] ἀπαρχή[nnfs] ὁ[dgfs] Ἀχαΐα[ngfs] εἰς[p] Χριστός[nams]. **v.6** ἀσπάζομαι[vdad2p] Μαρία[tp] ὅστις[rrnfs] πολύς[aanpn] κοπιάω[viaa3s] εἰς[p] ἐγώ[rpa-p]. **v.7** ἀσπάζομαι[vdad2p] Ἀνδρόνικος[nams] καί[c] Ἰουνιᾶς[nafs] ὁ[damp] συγγενής[aampn] ἐγώ[rpg-s] καί[c] συναιχμάλωτος[aampn] ἐγώ[rpg-s] ὅστις[rrnmp] εἰμί[vipx3p] ἐπίσημος[anmpn] ἐν[p] ὁ[ddmp] ἀπόστολος[ndmp] ὅς[rrnmp] καί[c] πρό[p] ἐγώ[rpg-s] γίνομαι[vixa3p] ἐν[p] Χριστός[ndms]. **v.8** ἀσπάζομαι[vdad2p] Ἀμπλιᾶτος[nams] ὁ[dams] ἀγαπητός[aamsn] ἐγώ[rpg-s] ἐν[p] κύριος[ndms]. **v.9** ἀσπάζομαι[vdad2p] Οὐρβανός[nams] ὁ[dams] συνεργός[aamsn] ἐγώ[rpg-p] ἐν[p] Χριστός[ndms] καί[c] Στάχυς[nams] ὁ[dams] ἀγαπητός[aamsn] ἐγώ[rpg-s]. **v.10** ἀσπάζομαι[vdad2p] Ἀπελλῆς[nams] ὁ[dams] δόκιμος[aamsn] ἐν[p] Χριστός[ndms] ἀσπάζομαι[vdad2p] ὁ[damp] ἐκ[p] ὁ[dgmp] Ἀριστόβουλος[ngms].

12 τῶν Ναρκίσσου, τοὺς ὄντας ἐν Κυρίῳ. ἀσπάσασθε Τρύφαιναν
καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν Κυρίῳ. ἀσπάσασθε Περσίδα
13 τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ. ἀσπάσασθε
Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐ-
14 μοῦ. ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν,
15 Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. ἀσπάσασθε Φιλόλο-
γον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν,
16 καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. ἀσπάσασθε ἀλλήλους ἐν
φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ Χριστοῦ.
17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας
καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε, ποι-
18 οῦντας, καὶ ἐκκλίνατε ἀπ᾽ αὐτῶν. οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ
ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ,
καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας
19 τῶν ἀκάκων. ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. χαίρω
οὖν τὸ ἐφ᾽ ὑμῖν, θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθόν,
20 ἀκεραίους δὲ εἰς τὸ κακόν. ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρί-
ψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἡ χάρις τοῦ
21 Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ᾽ ὑμῶν. ἀμήν. Ἀσπάζονται
ὑμᾶς Τιμόθεος ὁ συνεργός μου, καὶ Λούκιος καὶ Ἰάσων καὶ
22 Σωσίπατρος οἱ συγγενεῖς μου. ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος,

---

v.11 ἀσπάζομαι[vdad2p] Ἡρῳδίων[nams] ὁ[dams] συγγενής[aamsn] ἐγώ[rpg-s] ἀσπάζομαι[vdad2p] ὁ[damp] ἐκ[p] ὁ[dgmp] Νάρκισσος[ngms] ὁ[damp] εἰμί[vppxamp] ἐν[p] κύριος[ndms]. **v.12** ἀσπάζομαι[vdad2p] Τρύφαινα[nafs] καί[c] Τρυφῶσα[nafs] ὁ[dafp] κοπιάω[vppaafp] ἐν[p] κύριος[ndms] ἀσπάζομαι[vdad2p] Περσίς[nafs] ὁ[dafs] ἀγαπητός[aafsn] ὅστις[rrnfs] πολύς[aanpn] κοπιάω[viaa3s] ἐν[p] κύριος[ndms]. **v.13** ἀσπάζομαι[vdad2p] Ῥοῦφος[nams] ὁ[dams] ἐκλεκτός[aamsn] ἐν[p] κύριος[ndms] καί[c] ὁ[dafs] μήτηρ[nafs] αὐτός[rpgms] καί[c] ἐγώ[rpg-s]. **v.14** ἀσπάζομαι[vdad2p] Ἀσύγκριτος[nams] Φλέγων[nams] Ἑρμᾶς[nams] Πατροβᾶς[nams] Ἑρμῆς[nams] καί[c] ὁ[damp] σύν[p] αὐτός[rpdmp] ἀδελφός[namp]. **v.15** ἀσπάζομαι[vdad2p] Φιλόλογος[nams] καί[c] Ἰουλία[nafs] Νηρεύς[nams] καί[c] ὁ[dafs] ἀδελφή[nafs] αὐτός[rpgms] καί[c] Ὀλυμπᾶς[nams] καί[c] ὁ[damp] σύν[p] αὐτός[rpdmp] πᾶς[aampn] ἅγιος[aampn]. **v.16** ἀσπάζομαι[vdad2p] ἀλλήλων[reamp] ἐν[p] φίλημα[ndns] ἅγιος[adnsn] ἀσπάζομαι[vipn3p] σύ[rpa-p] ὁ[dnfp] ἐκκλησία[nnfp] ὁ[dgms] Χριστός[ngms]. **v.17** παρακαλέω[vipa1s] δέ[c] σύ[rpa-p] ἀδελφός[nvmp] σκοπέω[vnpa] ὁ[damp] ὁ[dafp] διχοστασία[nafp] καί[c] ὁ[danp] σκάνδαλον[nanp] παρά[p] ὁ[dafs] διδαχή[nafs] ὅς[rrafs] σύ[rpn-p] μανθάνω[viaa2p] ποιέω[vppaamp] καί[c] ἐκκλίνω[vdaa2p] ἀπό[p] αὐτός[rpgmp]. **v.18** ὁ[dnmp] γάρ[c] τοιοῦτος[rdnmp] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-p] Ἰησοῦς[ndms] Χριστός[ndms] οὐ[xo] δουλεύω[vipa3p] ἀλλά[c] ὁ[ddfs] ἑαυτοῦ[rxgmp] κοιλία[ndfs] καί[c] διά[p] ὁ[dgfs] χρηστολογία[ngfs] καί[c] εὐλογία[ngfs] ἐξαπατάω[vipa3p] ὁ[dafp] καρδία[nafp] ὁ[dgmp] ἄκακος[agmpn]. **v.19** ὁ[dnfs] γάρ[c] σύ[rpg-p] ὑπακοή[nnfs] εἰς[p] πᾶς[aampn] ἀφικνέομαι[viad3s] χαίρω[vipa1s] οὖν[c] ὁ[dans] ἐπί[p] σύ[rpd-p] θέλω[vipa1s] δέ[c] σύ[rpa-p] σοφός[aampn] μέν[xo] εἰμί[vnpx] εἰς[p] ὁ[dans] ἀγαθός[aansn] ἀκέραιος[aampn] δέ[c] εἰς[p] ὁ[dans] κακός[aansn]. **v.20** ὁ[dnms] δέ[c] θεός[nnms] ὁ[dgfs] εἰρήνη[ngfs] συντρίβω[vifa3s] ὁ[dams] Σατανᾶς[nams] ὑπό[p] ὁ[damp] πούς[namp] σύ[rpg-p] ἐν[p] τάχος[ndns] ὁ[dnfs] χάρις[nnfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] μετά[p] σύ[rpg-p] ἀμήν[th]. **v.21** ἀσπάζομαι[vipn3p] σύ[rpa-p] Τιμόθεος[nnms] ὁ[dnms] συνεργός[anmsn] ἐγώ[rpg-s] καί[c] Λούκιος[nnms] καί[c] Ἰάσων[nnms] καί[c] Σωσίπατρος[nnms] ὁ[dnmp] συγγενής[anmpn] ἐγώ[rpg-s].

ὁ γράψας τὴν ἐπιστολήν, ἐν Κυρίῳ. ἀσπάζεται ὑμᾶς Γάϊος ὁ 23
ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης. ἀσπάζεται ὑμᾶς Ἔραστος ὁ
οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός. Ἡ χάρις τοῦ 24
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν. Τῷ 25
δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κή-
ρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις
αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά τε γραφῶν 26
προφητικῶν, κατʹ ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πί-
στεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ Θεῷ, διὰ 27
Ἰησοῦ Χριστοῦ, ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

---

v.22 ἀσπάζομαι$^{\text{vipn1s}}$ σύ$^{\text{rpa-p}}$ ἐγώ$^{\text{rpn-s}}$ Τέρτιος$^{\text{nnms}}$ ὁ$^{\text{dnms}}$ γράφω$^{\text{vpaanms}}$ ὁ$^{\text{dafs}}$ ἐπιστολή$^{\text{nafs}}$ ἐν$^{\text{p}}$ κύριος$^{\text{ndms}}$. **v.23** ἀσπάζομαι$^{\text{vipn3s}}$ σύ$^{\text{rpa-p}}$ Γάϊος$^{\text{nnms}}$ ὁ$^{\text{dnms}}$ ξένος$^{\text{anmsn}}$ ἐγώ$^{\text{rpg-s}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dgfs}}$ ἐκκλησία$^{\text{ngfs}}$ ὅλος$^{\text{agfsn}}$ ἀσπάζομαι$^{\text{vipn3s}}$ σύ$^{\text{rpa-p}}$ Ἔραστος$^{\text{nnms}}$ ὁ$^{\text{dnms}}$ οἰκονόμος$^{\text{nnms}}$ ὁ$^{\text{dgfs}}$ πόλις$^{\text{ngfs}}$ καί$^{\text{c}}$ Κούαρτος$^{\text{nnms}}$ ὁ$^{\text{dnms}}$ ἀδελφός$^{\text{nnms}}$. **v.24** ὁ$^{\text{dnfs}}$ χάρις$^{\text{nnfs}}$ ὁ$^{\text{dgms}}$ κύριος$^{\text{ngms}}$ ἐγώ$^{\text{rpg-p}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ μετά$^{\text{p}}$ πᾶς$^{\text{agmpn}}$ σύ$^{\text{rpg-p}}$ ἀμήν$^{\text{th}}$. **v.25** ὁ$^{\text{ddms}}$ δέ$^{\text{c}}$ δύναμαι$^{\text{vppndms}}$ σύ$^{\text{rpa-p}}$ στηρίζω$^{\text{vnaa}}$ κατά$^{\text{p}}$ ὁ$^{\text{dans}}$ εὐαγγέλιον$^{\text{nans}}$ ἐγώ$^{\text{rpg-s}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dans}}$ κήρυγμα$^{\text{nans}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ κατά$^{\text{p}}$ ἀποκάλυψις$^{\text{nafs}}$ μυστήριον$^{\text{ngns}}$ χρόνος$^{\text{ndmp}}$ αἰώνιος$^{\text{admpn}}$ σιγάω$^{\text{vpxpgns}}$. **v.26** φανερόω$^{\text{vpapgms}}$ δέ$^{\text{c}}$ νῦν$^{\text{bo}}$ διά$^{\text{p}}$ τέ$^{\text{xo}}$ γραφή$^{\text{ngfp}}$ προφητικός$^{\text{agmpn}}$ κατά$^{\text{p}}$ ἐπιταγή$^{\text{nafs}}$ ὁ$^{\text{dgms}}$ αἰώνιος$^{\text{agmsn}}$ θεός$^{\text{ngms}}$ εἰς$^{\text{p}}$ ὑπακοή$^{\text{nafs}}$ πίστις$^{\text{ngfs}}$ εἰς$^{\text{p}}$ πᾶς$^{\text{aanpn}}$ ὁ$^{\text{danp}}$ ἔθνος$^{\text{nanp}}$ γνωρίζω$^{\text{vpapgns}}$. **v.27** μόνος$^{\text{admsn}}$ σοφός$^{\text{admsn}}$ θεός$^{\text{ndms}}$ διά$^{\text{p}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ ὁ$^{\text{dnfs}}$ δόξα$^{\text{nnfs}}$ εἰς$^{\text{p}}$ ὁ$^{\text{damp}}$ αἰών$^{\text{namp}}$ ἀμήν$^{\text{th}}$.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ

1 Παῦλος κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος
2 Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔ-
σῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις,
σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰη-
3 σοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν, χάρις ὑμῖν
καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
4 Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ
5 Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλου-
6 τίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καθὼς τὸ
7 μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, ὥστε ὑμᾶς μὴ ὑ-
στερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκά-
8 λυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς καὶ βεβαιώσει ὑμᾶς
ἕως τέλους, ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
9 Χριστοῦ. πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ
10 υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Παρακαλῶ δὲ
ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα,

---

1. v.1 Παῦλος[nnms] κλητός[anmsn] ἀπόστολος[nnms] Ἰησοῦς[ngms] Χριστός[ngms] διά[p] θέλημα[ngns] θεός[ngms] καί[c] Σωσθένης[nnms] ὁ[dnms] ἀδελφός[nnms]. **v.2** ὁ[ddfs] ἐκκλησία[ndfs] ὁ[dgms] θεός[ngms] ὁ[ddfs] εἰμί[vppxdfs] ἐν[p] Κόρινθος[ndfs] ἁγιάζω[vpxpdmp] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] κλητός[admpn] ἅγιος[admpn] σύν[p] πᾶς[admpn] ὁ[ddmp] ἐπικαλέω[vppmdmp] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] ἐν[p] πᾶς[admsn] τόπος[ndms] αὐτός[rpgmp] τέ[xo] καί[c] ἐγώ[rpg-p]. **v.3** χάρις[nnfs] σύ[rpd-p] καί[c] εἰρήνη[nnfs] ἀπό[p] θεός[ngms] πατήρ[ngms] ἐγώ[rpg-p] καί[c] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.4** εὐχαριστέω[vipa1s] ὁ[ddms] θεός[ndms] ἐγώ[rpg-s] πάντοτε[bo] περί[p] σύ[rpg-p] ἐπί[p] ὁ[ddfs] χάρις[ndfs] ὁ[dgms] θεός[ngms] ὁ[ddfs] δίδωμι[vpapdfs] σύ[rpd-p] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.5** ὅτι[c] ἐν[p] πᾶς[adnsn] πλουτίζω[viap2p] ἐν[p] αὐτός[rpdms] ἐν[p] πᾶς[admsn] λόγος[ndms] καί[c] πᾶς[adfsn] γνῶσις[ndfs]. **v.6** καθώς[bo] ὁ[dnns] μαρτύριον[nnns] ὁ[dgms] Χριστός[ngms] βεβαιόω[viap3s] ἐν[p] σύ[rpd-p]. **v.7** ὥστε[c] σύ[rpa-p] μή[xo] ὑστερέω[vnpp] ἐν[p] μηδείς[adnsn] χάρισμα[ndns] ἀπεκδέχομαι[vppnamp] ὁ[dafs] ἀποκάλυψις[nafs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.8** ὅς[rrnms] καί[c] βεβαιόω[vifa3s] σύ[rpa-p] ἕως[c] τέλος[ngns] ἀνέγκλητος[aampn] ἐν[p] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.9** πιστός[anmsn] ὁ[dnms] θεός[nnms] διά[p] ὅς[rrgms] καλέω[viap2p] εἰς[p] κοινωνία[nafs] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p].

ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ.
ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι 11
ἔριδες ἐν ὑμῖν εἰσι. λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει, 12
Ἐγὼ μέν εἰμι Παύλου, Ἐγὼ δὲ Ἀπολλῶ, Ἐγὼ δὲ Κηφᾶ, Ἐγὼ δὲ
Χριστοῦ. μεμέρισται ὁ Χριστός· μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ 13
ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε· εὐχαριστῶ τῷ Θεῷ 14
ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον, ἵνα μή 15
τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβαπτίσα. ἐβάπτισα δὲ καὶ τὸν 16
Στεφανᾶ οἶκον, λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. οὐ 17
γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ
ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. Ὁ 18
λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί,
τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. γέγραπται γάρ, 19
Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν
ἀθετήσω. ποῦ σοφός· ποῦ γραμματεύς· ποῦ συζητητὴς τοῦ 20
αἰῶνος τούτου· οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου
τούτου· ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος 21
διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας
τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. ἐπειδὴ καὶ Ἰου- 22
δαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς 23

---

v.10 παρακαλέω[vipa1s] δέ[c] σύ[rpa-p] ἀδελφός[nvmp] διά[p] ὁ[dgns] ὄνομα[ngns] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] ἵνα[c] ὁ[dans] αὐτός[rpans] λέγω[vspa2p] πᾶς[anmpn] καί[c] μή[xo] εἰμί[vspx3s] ἐν[p] σύ[rpd-p] σχίσμα[nnnp] εἰμί[vspx2p] δέ[c] καταρτίζω[vpxpnmp] ἐν[p] ὁ[ddms] αὐτός[rpdms] νοῦς[ndms] καί[c] ἐν[p] ὁ[ddfs] αὐτός[rpdfs] γνώμη[ndfs]. **v.11** δηλόω[viap3s] γάρ[c] ἐγώ[rpd-s] περί[p] σύ[rpg-p] ἀδελφός[nvmp] ἐγώ[rpg-s] ὑπό[p] ὁ[dgmp] Χλόη[ngfs] ὅτι[c] ἔρις[nnfp] ἐν[p] σύ[rpd-p] εἰμί[vipx3p]. **v.12** λέγω[vipa1s] δέ[c] οὗτος[rdans] ὅτι[c] ἕκαστος[anmsn] σύ[rpg-p] λέγω[vipa3s] ἐγώ[rpn-s] μέν[xo] εἰμί[vipx1s] Παῦλος[ngms] ἐγώ[rpn-s] δέ[c] Ἀπολλῶς[ngms] ἐγώ[rpn-s] δέ[c] Κηφᾶς[ngms] ἐγώ[rpn-s] δέ[c] Χριστός[ngms]. **v.13** μερίζω[vixp3s] ὁ[dnms] Χριστός[nnms] μή[xo] Παῦλος[nnms] σταυρόω[viap3s] ὑπέρ[p] σύ[rpg-p] ἤ[xo] εἰς[p] ὁ[dans] ὄνομα[nans] Παῦλος[ngms] βαπτίζω[viap2p]. **v.14** εὐχαριστέω[vipa1s] ὁ[ddms] θεός[ndms] ὅτι[c] οὐδείς[aamsn] σύ[rpg-p] βαπτίζω[viaa1s] εἰ[qo] μή[xo] Κρίσπος[nams] καί[c] Γάϊος[nams]. **v.15** ἵνα[c] μή[xo] τι-σρινμσ λέγω[vsaa3s] ὅτι[c] εἰς[p] ὁ[dans] ἐμός[rsans] ὄνομα[nans] βαπτίζω[viaa1s]. **v.16** βαπτίζω[viaa1s] δέ[c] καί[c] ὁ[dams] Στεφανᾶς[ngms] οἶκος[nams] λοιπός[aansn] οὐ[xo] οἶδα[vixa1s] εἰ[qo] τι-σριαμσ ἄλλος[aamsn] βαπτίζω[viaa1s]. **v.17** οὐ[xo] γάρ[c] ἀποστέλλω[viaa3s] ἐγώ[rpa-s] Χριστός[nnms] βαπτίζω[vnpa] ἀλλά[c] εὐαγγελίζω[vnpm] οὐ[xo] ἐν[p] σοφία[ndfs] λόγος[ngms] ἵνα[c] μή[xo] κενόω[vsap3s] ὁ[dnms] σταυρός[nnms] ὁ[dgms] Χριστός[ngms]. **v.18** ὁ[dnms] λόγος[nnms] γάρ[c] ὁ[dnms] ὁ[dgms] σταυρός[ngms] ὁ[ddmp] μέν[xo] ἀπόλλυμι[vppedmp] μωρία[nnfs] εἰμί[vipx3s] ὁ[ddmp] δέ[c] σῴζω[vpppdmp] ἐγώ[rpd-p] δύναμις[nnfs] θεός[ngms] εἰμί[vipx3s]. **v.19** γράφω[vixp3s] γάρ[c] ἀπόλλυμι[vifa1s] ὁ[dafs] σοφία[nafs] ὁ[dgmp] σοφός[agmpn] καί[c] ὁ[dafs] σύνεσις[nafs] ὁ[dgmp] συνετός[agmpn] ἀθετέω[vifa1s]. **v.20** ποῦ[xo] σοφός[anmsn] ποῦ[xo] γραμματεύς[nnms] ποῦ[xo] συζητητής[nnms] ὁ[dgms] αἰών[ngms] οὗτος[rdgms] οὐχί[xo] μωραίνω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dafs] σοφία[nafs] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms]. **v.21** ἐπειδή[c] γάρ[c] ἐν[p] ὁ[ddfs] σοφία[ndfs] ὁ[dgms] θεός[ngms] οὐ[xo] γινώσκω[viaa3s] ὁ[dnms] κόσμος[nnms] διά[p] ὁ[dgfs] σοφία[ngfs] ὁ[dams] θεός[nams] εὐδοκέω[viaa3s] ὁ[dnms] θεός[nnms] διά[p] ὁ[dgfs] μωρία[ngfs] ὁ[dgns] κήρυγμα[ngns] σῴζω[vnaa] ὁ[damp] πιστεύω[vppaamp]. **v.22** ἐπειδή[c] καί[c] Ἰουδαῖος[anmpn] σημεῖον[nans] αἰτέω[vipa3p] καί[c] Ἕλλην[nnmp] σοφία[nafs] ζητέω[vipa3p].

δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδα-
24 λον, Ἕλλησι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε
25 καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, ὅτι τὸ
μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς
26 τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. Βλέπετε γὰρ τὴν
κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ
27 πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κό-
σμου ἐξελέξατο ὁ Θεὸς, ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ
ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ τὰ ἰσχυ-
28 ρά, καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ
29 Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, ὅπως μὴ καυ-
30 χήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν
Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη
31 τε καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις, ἵνα, καθὼς γέγραπται, Ὁ
καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.

2 Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν
2 λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. οὐ
γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ
3 τοῦτον ἐσταυρωμένον. καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ
4 ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. καὶ ὁ λόγος μου καὶ τὸ
κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ'

---

v.23 ἐγώ[rpn-p] δέ[c] κηρύσσω[vipa1p] Χριστός[nams] σταυρόω[vpxpams] Ἰουδαῖος[admpn] μέν[xo] σκάνδαλον[nans] Ἕλλην[ndmp] δέ[c] μωρία[nafs]. **v.24** αὐτός[rpdmp] δέ[c] ὁ[ddmp] κλητός[admpn] Ἰουδαῖος[admpn] τέ[xo] καί[c] Ἕλλην[ndmp] Χριστός[nams] θεός[ngms] δύναμις[nafs] καί[c] θεός[ngms] σοφία[nafs]. **v.25** ὅτι[c] ὁ[dnns] μωρός[annsn] ὁ[dgms] θεός[ngms] σοφός[annsc] ὁ[dgmp] ἄνθρωπος[ngmp] εἰμί[vipx3s] καί[c] ὁ[dnns] ἀσθενής[annsn] ὁ[dgms] θεός[ngms] ἰσχυρός[annsc] ὁ[dgmp] ἄνθρωπος[ngmp] εἰμί[vipx3s]. **v.26** βλέπω[vipa2p] γάρ[c] ὁ[dafs] κλῆσις[nafs] σύ[rpg-p] ἀδελφός[nvmp] ὅτι[c] οὐ[xo] πολύς[anmpn] σοφός[anmpn] κατά[p] σάρξ[nafs] οὐ[xo] πολύς[anmpn] δυνατός[anmpn] οὐ[xo] πολύς[anmpn] εὐγενής[anmpn]. **v.27** ἀλλά[c] ὁ[danp] μωρός[aanpn] ὁ[dgms] κόσμος[ngms] ἐκλέγω[viam3s] ὁ[dnms] θεός[nnms] ἵνα[c] ὁ[damp] σοφός[aampn] καταισχύνω[vspa3s] καί[c] ὁ[danp] ἀσθενής[aanpn] ὁ[dgms] κόσμος[ngms] ἐκλέγω[viam3s] ὁ[dnms] θεός[nnms] ἵνα[c] καταισχύνω[vspa3s] ὁ[danp] ἰσχυρός[aanpn]. **v.28** καί[c] ὁ[danp] ἀγενής[aanpn] ὁ[dgms] κόσμος[ngms] καί[c] ὁ[danp] ἐξουθενέω[vpxpanp] ἐκλέγω[viam3s] ὁ[dnms] θεός[nnms] καί[c] ὁ[danp] μή[xo] εἰμί[vppxanp] ἵνα[c] ὁ[danp] εἰμί[vppxanp] καταργέω[vsaa3s]. **v.29** ὅπως[bo] μή[xo] καυχάομαι[vsad3s] πᾶς[anfsn] σάρξ[nnfs] ἐνώπιον[bo] αὐτός[rpgms]. **v.30** ἐκ[p] αὐτός[rpgms] δέ[c] σύ[rpn-p] εἰμί[vipx2p] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὅς[rrnms] γίνομαι[viao3s] ἐγώ[rpd-p] σοφία[nnfs] ἀπό[p] θεός[ngms] δικαιοσύνη[nnfs] τέ[xo] καί[c] ἁγιασμός[nnms] καί[c] ἀπολύτρωσις[nnfs]. **v.31** ἵνα[c] καθώς[bo] γράφω[vixp3s] ὁ[dnms] καυχάομαι[vppnnms] ἐν[p] κύριος[ndms] καυχάομαι[vdpn3s]. **2. v.1** κἀγώ[rpn-s] ἔρχομαι[vpaanms] πρός[p] σύ[rpa-p] ἀδελφός[nvmp] ἔρχομαι[viaa1s] οὐ[xo] κατά[p] ὑπεροχή[nafs] λόγος[ngms] ἤ[xo] σοφία[ngfs] καταγγέλλω[vppanms] σύ[rpd-p] ὁ[dans] μαρτύριον[nans] ὁ[dgms] θεός[ngms]. **v.2** οὐ[xo] γάρ[c] κρίνω[viaa1s] ὁ[dgms] οἶδα[vnxa] τι-σριανσ ἐν[p] σύ[rpd-p] εἰ[qo] μή[xo] Ἰησοῦς[nams] Χριστός[nams] καί[c] οὗτος[rdams] σταυρόω[vpxpams]. **v.3** καί[c] ἐγώ[rpn-s] ἐν[p] ἀσθένεια[ndfs] καί[c] ἐν[p] φόβος[ndms] καί[c] ἐν[p] τρόμος[ndms] πολύς[admsn] γίνομαι[viad1s] πρός[p] σύ[rpa-p].

ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ 5
ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ᾽ ἐν δυνάμει Θεοῦ. Σοφίαν δὲ λα- 6
λοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ
τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων, ἀλλὰ 7
λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν
προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, ἣν οὐδεὶς 8
τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν, εἰ γὰρ ἔγνωσαν, οὐκ
ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. ἀλλὰ καθὼς γέγραπται, 9
Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν
ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐ-
τόν. ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ, 10
τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. τίς γὰρ 11
οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώ-
που τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ
Πνεῦμα τοῦ Θεοῦ. ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβο- 12
μεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ
Θεοῦ χαρισθέντα ἡμῖν. ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀν- 13
θρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς Πνεύματος Ἁγίου,
πνευματικοῖς πνευματικὰ συγκρίνοντες. ψυχικὸς δὲ ἄνθρω- 14
πος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ

---

v.4 καί[c] ὁ[dnms] λόγος[nnms] ἐγώ[rpg-s] καί[c] ὁ[dnns] κήρυγμα[nnns] ἐγώ[rpg-s] οὐ[xo] ἐν[p] πειθός[admpn] ἀνθρώπινος[agfsn] σοφία[ngfs] λόγος[ndmp] ἀλλά[c] ἐν[p] ἀπόδειξις[ndfs] πνεῦμα[ngns] καί[c] δύναμις[ngfs]. **v.5** ἵνα[c] ὁ[dnfs] πίστις[nnfs] σύ[rpg-p] μή[xo] εἰμί[vspx3s] ἐν[p] σοφία[ndfs] ἄνθρωπος[ngmp] ἀλλά[c] ἐν[p] δύναμις[ndfs] θεός[ngms]. **v.6** σοφία[nafs] δέ[c] λαλέω[vipa1p] ἐν[p] ὁ[ddmp] τέλειος[admpn] σοφία[nafs] δέ[c] οὐ[xo] ὁ[dgms] αἰών[ngms] οὗτος[rdgms] οὐδέ[bo] ὁ[dgmp] ἄρχων[ngmp] ὁ[dgms] αἰών[ngms] οὗτος[rdgms] ὁ[dgmp] καταργέω[vpppgmp]. **v.7** ἀλλά[c] λαλέω[vipa1p] σοφία[nafs] θεός[ngms] ἐν[p] μυστήριον[ndns] ὁ[dafs] ἀποκρύπτω[vpxpafs] ὅς[rrafs] προορίζω[viaa3s] ὁ[dnms] θεός[nnms] πρό[p] ὁ[dgmp] αἰών[ngmp] εἰς[p] δόξα[nafs] ἐγώ[rpg-p]. **v.8** ὅς[rrafs] οὐδείς[anfsn] ὁ[dgmp] ἄρχων[ngmp] ὁ[dgms] αἰών[ngms] οὗτος[rdgms] γινώσκω[vixa3s] εἰ[qo] γάρ[c] γινώσκω[viaa3p] οὐ[xo] ἄν[xo] ὁ[dams] κύριος[nams] ὁ[dgfs] δόξα[ngfs] σταυρόω[viaa3p]. **v.9** ἀλλά[c] καθώς[bo] γράφω[vixp3s] ὅς[rranp] ὀφθαλμός[nnms] οὐ[xo] ὁράω[viaa3s] καί[c] οὖς[nnns] οὐ[xo] ἀκούω[viaa3s] καί[c] ἐπί[p] καρδία[nafs] ἄνθρωπος[ngms] οὐ[xo] ἀναβαίνω[viaa3s] ὅς[rranp] ἑτοιμάζω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[ddmp] ἀγαπάω[vppadmp] αὐτός[rpams]. **v.10** ἐγώ[rpd-p] δέ[c] ὁ[dnms] θεός[nnms] ἀποκαλύπτω[viaa3s] διά[p] ὁ[dgns] πνεῦμα[ngns] αὐτός[rpgms] ὁ[dnns] γάρ[c] πνεῦμα[nnns] πᾶς[aanpn] ἐραυνάω[vipa3s] καί[c] ὁ[danp] βάθος[nanp] ὁ[dgms] θεός[ngms]. **v.11** τίς[rqnms] γάρ[c] οἶδα[vixa3s] ἄνθρωπος[ngmp] ὁ[danp] ὁ[dgms] ἄνθρωπος[ngms] εἰ[qo] μή[xo] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgms] ἄνθρωπος[ngms] ὁ[dnns] ἐν[p] αὐτός[rpdms] οὕτω[bo] καί[c] ὁ[danp] ὁ[dgms] θεός[ngms] οὐδείς[anfsn] οἶδα[vixa3s] εἰ[qo] μή[xo] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgms] θεός[ngms]. **v.12** ἐγώ[rpn-p] δέ[c] οὐ[xo] ὁ[dans] πνεῦμα[nans] ὁ[dgms] κόσμος[ngms] λαμβάνω[viaa1p] ἀλλά[c] ὁ[dans] πνεῦμα[nans] ὁ[dans] ἐκ[p] ὁ[dgms] θεός[ngms] ἵνα[c] οἶδα[vsxa1p] ὁ[danp] ὑπό[p] ὁ[dgms] θεός[ngms] χαρίζομαι[vpapanp] ἐγώ[rpd-p]. **v.13** ὅς[rranp] καί[c] λαλέω[vipa1p] οὐ[xo] ἐν[p] διδακτός[admpn] ἀνθρώπινος[agfsn] σοφία[ngfs] λόγος[ndmp] ἀλλά[c] ἐν[p] διδακτός[admpn] πνεῦμα[ngns] ἅγιος[agnsn] πνευματικός[adnpn] πνευματικός[aanpn] συγκρίνω[vppanmp].

15 ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται, ὁ
δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀ-
16 νακρίνεται. τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν·
ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.
3 Καὶ ἐγώ, ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευμα-
2 τικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ. γάλα ὑμᾶς
ἐπότισα, καὶ οὐ βρῶμα, οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὔτε ἔτι νῦν
3 δύνασθε, ἔτι γὰρ σαρκικοί ἐστε, ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ
ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον
4 περιπατεῖτε· ὅταν γὰρ λέγῃ τις, Ἐγὼ μέν εἰμι Παύλου, ἕτερος
5 δέ, Ἐγὼ Ἀπολλῶ, οὐχὶ σαρκικοί ἐστε· τίς οὖν ἐστι Παῦλος· τίς
δέ Ἀπολλώς, ἀλ'λ ἢ διάκονοι δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς
6 ὁ Κύριος ἔδωκεν. ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλ'λ ὁ Θε-
7 ὸς ηὔξανεν. ὥστε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ'
8 ὁ αὐξάνων Θεός. ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν, ἕκαστος
9 δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. Θεοῦ γάρ
10 ἐσμεν συνεργοί, Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε. Κατὰ
τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων
θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ. ἕκαστος δὲ βλεπέτω
11 πῶς ἐποικοδομεῖ. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι

---

v.14 ψυχικός[anmsn] δέ[c] ἄνθρωπος[nnms] οὐ[xo] δέχομαι[vipn3s] ὁ[danp] ὁ[dgns] πνεῦμα[ngns] ὁ[dgms] θεός[ngms] μωρία[nnfs] γάρ[c] αὐτός[rpdms] εἰμί[vipx3s] καί[c] οὐ[xo] δύναμαι[vipn3s] γινώσκω[vnaa] ὅτι[c] πνευματικῶς[bo] ἀνακρίνω[vipp3s]. **v.15** ὁ[dnms] δέ[c] πνευματικός[anmsn] ἀνακρίνω[vipa3s] μέν[xo] πᾶς[aanpn] αὐτός[rpnms] δέ[c] ὑπό[p] οὐδείς[agmsn] ἀνακρίνω[vipp3s]. **v.16** τίς[rqnms] γάρ[c] γινώσκω[viaa3s] νοῦς[nams] κύριος[ngms] ὅς[rrnms] συμβιβάζω[vifa3s] αὐτός[rpams] ἐγώ[rpn-p] δέ[c] νοῦς[nams] Χριστός[ngms] ἔχω[vipa1p]. **3. v.1** καί[c] ἐγώ[rpn-s] ἀδελφός[nvmp] οὐ[xo] δύναμαι[viao1s] λαλέω[vnaa] σύ[rpd-p] ὡς[bo] πνευματικός[admpn] ἀλλά[c] ὡς[bo] σαρκικός[admpn] ὡς[bo] νήπιος[admpn] ἐν[p] Χριστός[ndms]. **v.2** γάλα[nans] σύ[rpa-p] ποτίζω[viaa1s] καί[c] οὐ[xo] βρῶμα[nans] οὔπω[bo] γάρ[c] δύναμαι[viin2p] ἀλλά[c] οὔτε[c] ἔτι[bo] νῦν[bo] δύναμαι[vipn2p]. **v.3** ἔτι[bo] γάρ[c] σαρκικός[anmpn] εἰμί[vipx2p] ὅπου[bo] γάρ[c] ἐν[p] σύ[rpd-p] ζῆλος[nnms] καί[c] ἔρις[nnfs] καί[c] διχοστασία[nnfp] οὐχί[xo] σαρκικός[anmpn] εἰμί[vipx2p] καί[c] κατά[p] ἄνθρωπος[nams] περιπατέω[vipa2p]. **v.4** ὅταν[c] γάρ[c] λέγω[vspa3s] τι-σρινμσ ἐγώ[rpn-s] μέν[xo] εἰμί[vipx1s] Παῦλος[ngms] ἕτερος[anmsn] δέ[c] ἐγώ[rpn-s] Ἀπολλῶς[ngms] οὐχί[xo] σαρκικός[anmpn] εἰμί[vipx2p]. **v.5** τίς[rqnms] οὖν[c] εἰμί[vipx3s] Παῦλος[nnms] τίς[rqnms] δέ[c] Ἀπολλῶς[nnms] ἀλλά[c] ἤ[xo] διάκονος[nnmp] διά[p] ὅς[rrgmp] πιστεύω[viaa2p] καί[c] ἕκαστος[admsn] ὡς[bo] ὁ[dnms] κύριος[nnms] δίδωμι[viaa3s]. **v.6** ἐγώ[rpn-s] φυτεύω[viaa1s] Ἀπολλῶς[nnms] ποτίζω[viaa3s] ἀλλά[c] ὁ[dnms] θεός[nnms] αὐξάνω[viia3s]. **v.7** ὥστε[c] οὔτε[c] ὁ[dnms] φυτεύω[vppanms] εἰμί[vipx3s] τι-σριννσ οὔτε[c] ὁ[dnms] ποτίζω[vppanms] ἀλλά[c] ὁ[dnms] αὐξάνω[vppanms] θεός[nnms]. **v.8** ὁ[dnms] φυτεύω[vppanms] δέ[c] καί[c] ὁ[dnms] ποτίζω[vppanms] εἷς[nnns] εἰμί[vipx3p] ἕκαστος[anmsn] δέ[c] ὁ[dams] ἴδιος[aamsn] μισθός[nams] λαμβάνω[vifd3s] κατά[p] ὁ[dams] ἴδιος[aamsn] κόπος[nams]. **v.9** θεός[ngms] γάρ[c] εἰμί[vipx1p] συνεργός[anmpn] θεός[ngms] γεώργιον[nnns] θεός[ngms] οἰκοδομή[nnfs] εἰμί[vipx2p]. **v.10** κατά[p] ὁ[dafs] χάρις[nafs] ὁ[dgms] θεός[ngms] ὁ[dafs] δίδωμι[vpapafs] ἐγώ[rpd-s] ὡς[bo] σοφός[anmsn] ἀρχιτέκτων[nnms] θεμέλιος[nams] τίθημι[vixa1s] ἄλλος[anmsn] δέ[c] ἐποικοδομέω[vipa3s] ἕκαστος[anmsn] δέ[c] βλέπω[vdpa3s] πῶς[bo] ἐποικοδομέω[vipa3s].

παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός. εἰ δέ τις ἐ- 12
ποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσόν, ἄργυρον, λίθους
τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν 13
γενήσεται, ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται,
καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. εἴ τινος τὸ 14
ἔργον μένει ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται. εἴ τινος τὸ ἔργον 15
κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς
διὰ πυρός. Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ 16
Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ 17
τοῦτον ὁ Θεός, ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε
ὑμεῖς. Μηδεὶς ἑαυτὸν ἐξαπατάτω, εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν 18
ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. ἡ 19
γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι. γέγρα-
πται γάρ, Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν.
καὶ πάλιν, Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι 20
εἰσὶ μάταιοι. ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις, πάντα 21
γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλῶς, εἴτε Κηφᾶς, εἴτε 22
κόσμος, εἴτε ζωή, εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα,
πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ. 23
Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ καὶ **4**

---

v.11 θεμέλιος[nams] γάρ[c] ἄλλος[aamsn] οὐδείς[anfsn] δύναμαι[vipn3s] τίθημι[vnaa] παρά[p] ὁ[dams] κεῖμαι[vppnams] ὅς[rrnms] εἰμί[vipx3s] Ἰησοῦς[nnms] ὁ[dnms] Χριστός[nnms]. **v.12** εἰ[qo] δέ[c] τι-σ-ρινμσ ἐποικοδομέω[vipa3s] ἐπί[p] ὁ[dams] θεμέλιος[nams] οὗτος[rdams] χρυσός[nams] ἄργυρος[nams] λίθος[namp] τίμιος[aampn] ξύλον[nanp] χόρτος[nams] καλάμη[nafs]. **v.13** ἕκαστος[agsmn] ὁ[dnns] ἔργον[nnns] φανερός[annsn] γίνομαι[vifd3s] ὁ[dnfs] γάρ[c] ἡμέρα[nnfs] δηλόω[vifa3s] ὅτι[c] ἐν[p] πῦρ[ndns] ἀποκαλύπτω[vipp3s] καί[c] ἕκαστος[agmsn] ὁ[dnns] ἔργον[nnns] ὁποῖος[annsn] εἰμί[vipx3s] ὁ[dnns] πῦρ[nnns] δοκιμάζω[vifa3s]. **v.14** εἰ[qo] τι-σριγμσ ὁ[dnns] ἔργον[nnns] μένω[vipa3s] ὅς[rrans] ἐποικοδομέω[viaa3s] μισθός[nams] λαμβάνω[vifd3s]. **v.15** εἰ[qo] τι-σριγμσ ὁ[dnns] ἔργον[nnns] κατακαίω[vifp3s] ζημιόω[vifp3s] αὐτός[rpnms] δέ[c] σῴζω[vifp3s] οὕτω[bo] δέ[c] ὡς[bo] διά[p] πῦρ[ngns]. **v.16** οὐ[xo] οἶδα[vixa2p] ὅτι[c] ναός[nnms] θεός[ngms] εἰμί[vipx2p] καί[c] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dgms] θεός[ngms] οἰκέω[vipa3s] ἐν[p] σύ[rpd-p]. **v.17** εἰ[qo] τι-σρινμσ ὁ[dams] ναός[nams] ὁ[dgms] θεός[ngms] φθείρω[vipa3s] φθείρω[vifa3s] οὗτος[rdams] ὁ[dnms] θεός[nnms] ὁ[dnms] γάρ[c] ναός[nnms] ὁ[dgms] θεός[ngms] ἅγιος[anmsn] εἰμί[vipx3s] ὅστις[rrnmp] εἰμί[vipx2p] σύ[rpn-p]. **v.18** μηδείς[anmsn] ἑαυτοῦ[rxams] ἐξαπατάω[vdpa3s] εἰ[qo] τι-σρινμσ δοκέω[vipa3s] σοφός[anmsn] εἰμί[vnpx] ἐν[p] σύ[rpd-p] ἐν[p] ὁ[ddms] αἰών[ndms] οὗτος[rddms] μωρός[anmsn] γίνομαι[vdad3s] ἵνα[c] γίνομαι[vsad3s] σοφός[anmsn]. **v.19** ὁ[dnfs] γάρ[c] σοφία[nnfs] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] μωρία[nnfs] παρά[p] ὁ[ddms] θεός[ndms] εἰμί[vipx3s] γράφω[vixp3s] γάρ[c] ὁ[dnms] δράσσομαι[vppnnms] ὁ[damp] σοφός[aampn] ἐν[p] ὁ[ddfs] πανουργία[ndfs] αὐτός[rpgmp]. **v.20** καί[c] πάλιν[bo] κύριος[nnms] γινώσκω[vipa3s] ὁ[damp] διαλογισμός[namp] ὁ[dgmp] σοφός[agmpn] ὅτι[c] εἰμί[vipx3p] μάταιος[anmpn]. **v.21** ὥστε[c] μηδείς[anmsn] καυχάομαι[vdpn3s] ἐν[p] ἄνθρωπος[ndmp] πᾶς[annpn] γάρ[c] σύ[rpg-p] εἰμί[vipx3s]. **v.22** εἴτε[c] Παῦλος[nnms] εἴτε[c] Ἀπολλῶς[nnms] εἴτε[c] Κηφᾶς[nnms] εἴτε[c] κόσμος[nnms] εἴτε[c] ζωή[nnfs] εἴτε[c] θάνατος[nnms] εἴτε[c] ἐνίστημι[vpxannp] εἴτε[c] μέλλω[vppannp] πᾶς[annpn] σύ[rpg-p] εἰμί[vipx3s]. **v.23** σύ[rpn-p] δέ[c] Χριστός[ngms] Χριστός[nnms] δέ[c] θεός[ngms].

2 οἰκονόμους μυστηρίων Θεοῦ. ὃ δὲ λοιπὸν, ζητεῖται ἐν τοῖς οἰ-
3 κονόμοις, ἵνα πιστός τις εὑρεθῇ. ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν
ἵνα ὑφ′ ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας, ἀλλ′ οὐδὲ
4 ἐμαυτὸν ἀνακρίνω. οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ′ οὐκ ἐν
5 τούτῳ δεδικαίωμαι, ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. ὥστε μὴ
πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ
κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν,
6 καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ. Ταῦτα
δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ δι′ ὑμᾶς,
ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς
7 ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. τίς γάρ σε διακρί-
νει· τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες· εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς
8 μὴ λαβών· ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε, χωρὶς
ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡ-
9 μεῖς ὑμῖν συμβασιλεύσωμεν. δοκῶ γάρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς
ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον
10 ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις. ἡμεῖς
μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ, ἡμεῖς ἀσθε-
11 νεῖς, ὑμεῖς δὲ ἰσχυροί, ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. ἄχρι
τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν,
12 καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν. καὶ κοπιῶμεν ἐργαζόμε-

---

4. v.1 οὕτω[bo] ἐγώ[rpa-p] λογίζομαι[vdpn3s] ἄνθρωπος[nnms] ὡς[bo] ὑπηρέτης[namp] Χριστός[ngms] καί[c] οἰκονόμος[namp] μυστήριον[ngnp] θεός[ngms]. **v.2** ὅς[rrans] δέ[c] λοιπός[aansn] ζητέω[vipp3s] ἐν[p] ὁ[ddmp] οἰκονόμος[ndmp] ἵνα[c] πιστός[anmsn] τι-σρινμσ εὑρίσκω[vsap3s]. **v.3** ἐγώ[rpd-s] δέ[c] εἰς[p] ἐλάχιστος[aansn] εἰμί[vipx3s] ἵνα[c] ὑπό[p] σύ[rpg-p] ἀνακρίνω[vsap1s] ἤ[xo] ὑπό[p] ἀνθρώπινος[agfsn] ἡμέρα[ngfs] ἀλλά[c] οὐδέ[bo] ἐμαυτοῦ[rxams] ἀνακρίνω[vipa1s]. **v.4** οὐδείς[aansn] γάρ[c] ἐμαυτοῦ[rxdms] σύνοιδα[vixa1s] ἀλλά[c] οὐ[xo] ἐν[p] οὗτος[rddns] δικαιόω[vixp1s] ὁ[dnms] δέ[c] ἀνακρίνω[vppanms] ἐγώ[rpa-s] κύριος[nnms] εἰμί[vipx3s]. **v.5** ὥστε[c] μή[xo] πρό[p] καιρός[ngms] τι-σριανσ κρίνω[vdpa2p] ἕως[c] ἄν[xo] ἔρχομαι[vsaa3s] ὁ[dnms] κύριος[nnms] ὅς[rrnms] καί[c] φωτίζω[vifa3s] ὁ[danp] κρυπτός[aanpn] ὁ[dgns] σκότος[ngns] καί[c] φανερόω[vifa3s] ὁ[dafp] βουλή[nafp] ὁ[dgfp] καρδία[ngfp] καί[c] τότε[bo] ὁ[dnms] ἔπαινος[nnms] γίνομαι[vifd3s] ἕκαστος[admsn] ἀπό[p] ὁ[dgms] θεός[ngms]. **v.6** οὗτος[rdanp] δέ[c] ἀδελφός[nvmp] μετασχηματίζω[viaa1s] εἰς[p] ἐμαυτοῦ[rxams] καί[c] Ἀπολλῶς[nams] διά[p] σύ[rpa-p] ἵνα[c] ἐν[p] ἐγώ[rpd-p] μανθάνω[vsaa2p] ὁ[dans] μή[xo] ὑπέρ[p] ὅς[rrans] γράφω[vixp3s] φρονέω[vnpa] ἵνα[c] μή[xo] εἷς[nnms] ὑπέρ[p] ὁ[dgms] εἷς[ngms] φυσιόω[vspp2p] κατά[p] ὁ[dgms] ἕτερος[agmsn]. **v.7** τίς[rqnms] γάρ[c] σύ[rpa-s] διακρίνω[vipa3s] τίς[rqans] δέ[c] ἔχω[vipa2s] ὅς[rrans] οὐ[xo] λαμβάνω[viaa2s] εἰ[qo] δέ[c] καί[c] λαμβάνω[viaa2s] τίς[rqans] καυχάομαι[vipn2s] ὡς[bo] μή[xo] λαμβάνω[vpaanms]. **v.8** ἤδη[bo] κορέννυμι[vpxpnmp] εἰμί[vipx2p] ἤδη[bo] πλουτέω[viaa2p] χωρίς[bo] ἐγώ[rpg-p] βασιλεύω[viaa2p] καί[c] ὄφελον[i] γέ[xo] βασιλεύω[viaa2p] ἵνα[c] καί[c] ἐγώ[rpn-p] σύ[rpd-p] συμβασιλεύω[vsaa1p]. **v.9** δοκέω[vipa1s] γάρ[c] ὅτι[c] ὁ[dnms] θεός[nnms] ἐγώ[rpa-p] ὁ[damp] ἀπόστολος[namp] ἔσχατος[aampn] ἀποδείκνυμι[viaa3s] ὡς[bo] ἐπιθανάτιος[aampn] ὅτι[c] θέατρον[nnns] γίνομαι[viao1p] ὁ[ddms] κόσμος[ndms] καί[c] ἄγγελος[ndmp] καί[c] ἄνθρωπος[ndmp]. **v.10** ἐγώ[rpn-p] μωρός[anmpn] διά[p] Χριστός[nams] σύ[rpn-p] δέ[c] φρόνιμος[anmpn] ἐν[p] Χριστός[ndms] ἐγώ[rpn-p] ἀσθενής[anmpn] σύ[rpn-p] δέ[c] ἰσχυρός[anmpn] σύ[rpn-p] ἔνδοξος[anmpn] ἐγώ[rpn-p] δέ[c] ἄτιμος[anmpn]. **v.11** ἄχρι[p] ὁ[dgfs] ἄρτι[bo] ὥρα[ngfs] καί[c] πεινάω[vipa1p] καί[c] διψάω[vspa1p] καί[c] γυμνιτεύω[vipa1p] καί[c] κολαφίζω[vipp1p] καί[c] ἀστατέω[vipa1p].

νοι ταῖς ἰδίαις χερσί, λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι
ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν, ὡς περικαθάρ- 13
ματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα, ἕως ἄρτι.
Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ᾽ ὡς τέκνα μου ἀγαπη- 14
τὰ νουθετῶ. ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, 15
ἀλλ᾽ οὐ πολλοὺς πατέρας, ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐ-
αγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. παρακαλῶ οὖν ὑμᾶς, μιμηταί 16
μου γίνεσθε. διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστί τέκνον 17
μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς
ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ
διδάσκω. ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν 18
τινες. ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ, 19
καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύ-
ναμιν. οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ ἀλλ᾽ ἐν δυνάμει. 20
τί θέλετε· ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε 21
πρᾳότητος·

Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις **5**
οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς
ἔχειν. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπεν- 2
θήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.
ἐγὼ μὲν γάρ ὡς ἀπὼν τῷ σώματι παρὼν δὲ τῷ πνεύματι, ἤδη 3

---

v.12 καί[c] κοπιάω[vipa1p] ἐργάζομαι[vppnnmp] ὁ[ddfp] ἴδιος[adfpn] χείρ[ndfp] λοιδορέω[vpppnmp] εὐλογέω[vipa1p] διώκω[vpppnmp] ἀνέχω[vipn1p]. **v.13** βλασφημέω[vpppnmp] παρακαλέω[vipa1p] ὡς[bo] περικάθαρμα[nnnp] ὁ[dgms] κόσμος[ngms] γίνομαι[viao1p] πᾶς[agnpn] περίψημα[nnns] ἕως[c] ἄρτι[bo]. **v.14** οὐ[xo] ἐντρέπω[vppanms] σύ[rpa-p] γράφω[vipa1s] οὗτος[rdanp] ἀλλά[c] ὡς[bo] τέκνον[nnnp] ἐγώ[rpg-s] ἀγαπητός[annpn] νουθετέω[vipa1s]. **v.15** ἐάν[qo] γάρ[c] μυρίος[aampn] παιδαγωγός[namp] ἔχω[vspa2p] ἐν[p] Χριστός[ndms] ἀλλά[c] οὐ[xo] πολύς[aampn] πατήρ[namp] ἐν[p] γάρ[c] Χριστός[ndms] Ἰησοῦς[ndms] διά[p] ὁ[dgns] εὐαγγέλιον[ngns] ἐγώ[rpn-s] σύ[rpa-p] γεννάω[viaa1s]. **v.16** παρακαλέω[vipa1s] οὖν[c] σύ[rpa-p] μιμητής[nnmp] ἐγώ[rpg-s] γίνομαι[vdpn2p]. **v.17** διά[p] οὗτος[rdans] πέμπω[viaa1s] σύ[rpd-p] Τιμόθεος[nams] ὅς[rrnms] εἰμί[vipx3s] τέκνον[nnns] ἐγώ[rpg-s] ἀγαπητός[aansn] καί[c] πιστός[aansn] ἐν[p] κύριος[ndms] ὅς[rrnms] σύ[rpa-p] ἀναμιμνῄσκω[vifa3s] ὁ[dafp] ὁδός[nafp] ἐγώ[rpg-s] ὁ[dafp] ἐν[p] Χριστός[ndms] καθώς[bo] πανταχοῦ[bo] ἐν[p] πᾶς[adfsn] ἐκκλησία[ndfs] διδάσκω[vipa1s]. **v.18** ὡς[bo] μή[xo] ἔρχομαι[vppngms] δέ[c] ἐγώ[rpg-s] πρός[p] σύ[rpa-p] φυσιόω[viap3p] τι-σρινμπ. **v.19** ἔρχομαι[vifd1s] δέ[c] ταχέως[bo] πρός[p] σύ[rpa-p] ἐάν[qo] ὁ[dnms] κύριος[nnms] θέλω[vsaa3s] καί[c] γινώσκω[vifd1s] οὐ[xo] ὁ[dams] λόγος[nams] ὁ[dgmp] φυσιόω[vpxpgmp] ἀλλά[c] ὁ[dafs] δύναμις[nafs]. **v.20** οὐ[xo] γάρ[c] ἐν[p] λόγος[ndms] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgms] θεός[ngms] ἀλλά[c] ἐν[p] δύναμις[ndfs]. **v.21** τίς[rqans] θέλω[vipa2p] ἐν[p] ῥάβδος[ndfs] ἔρχομαι[vsaa1s] πρός[p] σύ[rpa-p] ἤ[xo] ἐν[p] ἀγάπη[ndfs] πνεῦμα[ndns] τέ[xo] πραΰτης[ngfs]. **5. v.1** ὅλως[bo] ἀκούω[vipp3s] ἐν[p] σύ[rpd-p] πορνεία[nnfs] καί[c] τοιοῦτος[rdnfs] πορνεία[nnfs] ὅστις[rrnfs] οὐδέ[bo] ἐν[p] ὁ[ddnp] ἔθνος[ndnp] ὀνομάζω[vipp3s] ὥστε[c] γυνή[nafs] τι-σριαφσ ὁ[dgms] πατήρ[ngms] ἔχω[vnpa]. **v.2** καί[c] σύ[rpn-p] φυσιόω[vpxpnmp] εἰμί[vipx2p] καί[c] οὐχί[xo] μᾶλλον[bo] πενθέω[viaa2p] ἵνα[c] ἐξαίρω[vsap3s] ἐκ[p] μέσος[agnsn] σύ[rpg-p] ὁ[dnms] ὁ[dans] ἔργον[nans] οὗτος[rdans] ποιέω[vpaanms].

4 κέκρικα ὡς παρών, τὸν οὕτω τοῦτο κατεργασάμενον, ἐν τῷ ὀ-
νόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν
καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰη-
5 σοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον
τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰη-
6 σοῦ. Οὐ καλὸν τὸ καύχημα ὑμῶν. οὐκ οἴδατε ὅτι μικρὰ ζύμη
7 ὅλον τὸ φύραμα ζυμοῖ· ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην,
ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι. καὶ γὰρ τὸ πάσχα ἡ-
8 μῶν ὑπὲρ ἡμῶν ἐθύθη Χριστός, ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ
παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ᾽ ἐν ἀζύμοις
9 εἰλικρινείας καὶ ἀληθείας. Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ
10 συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κό-
σμου τούτου ἢ τοῖς πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις,
11 ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νῦνὶ δὲ ἔγραψα
ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ
πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος
12 ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. τί γάρ μοι καί τοὺς
13 ἔξω κρίνειν· οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε· τοὺς δὲ ἔξω ὁ Θεὸς
κρινεῖ. καί ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

6 Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι
2 ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων· οὐκ οἴδατε ὅτι οἱ ἅ-

---

v.3 ἐγώ[rpn-s] μέν[xo] γάρ[c] ὡς[bo] ἄπειμι[vppxnms] ὁ[ddns] σῶμα[ndns] πάρειμι[vppxnms] δέ[c] ὁ[ddns] πνεῦμα[ndns] ἤδη[bo] κρίνω[vixa1s] ὡς[bo] πάρειμι[vppxnms] ὁ[dams] οὕτω[bo] οὗτος[rdans] κατεργάζομαι[vpadams]. **v.4** ἐν[p] ὁ[ddns] ὄνομα[ndns] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] συνάγω[vpapgmp] σύ[rpg-p] καί[c] ὁ[dgns] ἐμός[rpg-s] πνεῦμα[ngns] σύν[p] ὁ[ddfs] δύναμις[ndfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.5** παραδίδωμι[vnaa] ὁ[dams] τοιοῦτος[rdams] ὁ[ddms] Σατανᾶς[ndms] εἰς[p] ὄλεθρος[nams] ὁ[dgfs] σάρξ[ngfs] ἵνα[c] ὁ[dnns] πνεῦμα[nnns] σῴζω[vsap3s] ἐν[p] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[dgms] κύριος[ngms] Ἰησοῦς[ngms]. **v.6** οὐ[xo] καλός[annsn] ὁ[dnns] καύχημα[nnns] σύ[rpg-p] οὐ[xo] οἶδα[vixa2p] ὅτι[c] μικρός[anfsn] ζύμη[nnfs] ὅλος[aansn] ὁ[dans] φύραμα[nans] ζυμόω[vipa3s]. **v.7** ἐκκαθαίρω[vdaa2p] οὖν[c] ὁ[dafs] παλαιός[aafsn] ζύμη[nafs] ἵνα[c] εἰμί[vspx2p] νέος[annsn] φύραμα[nnns] καθώς[bo] εἰμί[vipx2p] ἄζυμος[anmpn] καί[c] γάρ[c] ὁ[dnns] πάσχα[ta] ἐγώ[rpg-p] ὑπέρ[p] ἐγώ[rpg-p] θύω[viap3s] Χριστός[nnms]. **v.8** ὥστε[c] ἑορτάζω[vspa1p] μή[xo] ἐν[p] ζύμη[ndfs] παλαιός[adfsn] μηδέ[c] ἐν[p] ζύμη[ndfs] κακία[ngfs] καί[c] πονηρία[ngfs] ἀλλά[c] ἐν[p] ἄζυμος[adnpn] εἰλικρίνεια[ngfs] καί[c] ἀλήθεια[ngfs]. **v.9** γράφω[viaa1s] σύ[rpd-p] ἐν[p] ὁ[ddfs] ἐπιστολή[ndfs] μή[xo] συναναμίγνυμι[vnpm] πόρνος[ndmp]. **v.10** καί[c] οὐ[xo] πάντως[bo] ὁ[ddmp] πόρνος[ndmp] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] ἤ[xo] ὁ[ddmp] πλεονέκτης[ndmp] ἤ[xo] ἅρπαξ[admpn] ἤ[xo] εἰδωλολάτρης[ndmp] ἐπεί[c] ὀφείλω[vipa2p] ἄρα[xo] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] ἐξέρχομαι[vnaa]. **v.11** νυνί[bo] δέ[c] γράφω[viaa1s] σύ[rpd-p] μή[xo] συναναμίγνυμι[vnpm] ἐάν[qo] τι-σρινμσ ἀδελφός[nnms] ὀνομάζω[vpppnms] εἰμί[xo] πόρνος[nnms] ἤ[xo] πλεονέκτης[nnms] ἤ[xo] εἰδωλολάτρης[nnms] ἤ[xo] λοίδορος[anmsn] ἤ[xo] μέθυσος[nnms] ἤ[xo] ἅρπαξ[anmsn] ὁ[ddms] τοιοῦτος[rddms] μηδέ[c] συνεσθίω[vnpa]. **v.12** τίς[rqnns] γάρ[c] ἐγώ[rpd-s] καί[c] ὁ[damp] ἔξω[bo] κρίνω[vnpa] οὐχί[xo] ὁ[damp] ἔσω[bo] σύ[rpn-p] κρίνω[vipa2p]. **v.13** ὁ[damp] δέ[c] ἔξω[bo] ὁ[dnms] θεός[nnms] κρίνω[vifa3s] καί[c] ἐξαίρω[vifa2p] ὁ[dams] πονηρός[aamsn] ἐκ[p] σύ[rpg-p] αὐτός[rpgmp]. **6. v.1** τολμάω[vipa3s] τι-σρινμσ σύ[rpg-p] πρᾶγμα[nans] ἔχω[vppanms] πρός[p] ὁ[dams] ἕτερος[aamsn] κρίνω[vnpp] ἐπί[p] ὁ[dgmp] ἄδικος[agmpn] καί[c] οὐχί[xo] ἐπί[p] ὁ[dgmp] ἅγιος[agmpn].

γιοι τὸν κόσμον κρινοῦσι· καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος,
ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων· οὐκ οἴδατε ὅτι ἀγγέλους 3
κρινοῦμεν· μήτι γε βιωτικά· βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔ- 4
χητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε.
πρὸς ἐντροπὴν ὑμῖν λέγω. οὕτως οὐκ ἔστιν ἐν ὑμῖν σοφὸς οὐ- 5
δὲ εἷς, ὃς δυνήσεται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ,
ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων· 6
ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' 7
ἑαυτῶν. διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε· διατί οὐχὶ μᾶλλον ἀ-
ποστερεῖσθε· ἀλλὰ ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτά 8
ἀδελφούς. ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κλη- 9
ρονομήσουσι· μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι,
οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, 10
οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βα-
σιλείαν Θεοῦ οὐ κληρονομήσουσι. καὶ ταῦτά τινες ἦτε, ἀλλὰ 11
ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι
τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν. Πάντα 12
μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, πάντα μοι ἔξεστιν, ἀλλ'
οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. τὰ βρώματα τῇ κοιλίᾳ, 13
καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα
καταργήσει. τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ

---

26 ὑπὸ παιδαγωγόν ἐσμεν. πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς
27 πίστεως ἐν Χριστῷ Ἰησοῦ. ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε,
28 Χριστὸν ἐνεδύσασθε, οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι
δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, πάντες γὰρ
29 ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ
Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι.

4 Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν
2 διαφέρει δούλου κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ
3 καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτω καὶ
ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἤμεν δε-
4 δουλωμένοι, ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστει-
λεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον
5 ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν
6 ἀπολάβωμεν. ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα
τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον, Αββα ὁ πατήρ.
7 ὥστε οὐκέτι εἶ δοῦλος, ἀλ᾽λ υἱός, εἰ δὲ υἱός, καὶ κληρονόμος
8 Θεοῦ διὰ Χριστοῦ. Ἀλλὰ τότε μὲν, οὐκ εἰδότες Θεὸν, ἐδουλεύ-
9 σατε τοῖς μὴ φύσει οὖσι θεοῖς, νῦν δὲ γνόντες Θεόν, μᾶλλον
δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ
10 καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε· ἡ-
μέρας παρατηρεῖσθε, καὶ μῆνας καὶ καιροὺς, καὶ ἐνιαυτούς.

---

v.25 ἔρχομαι[vpaagfs] δέ[c] ὁ[dgfs] πίστις[ngfs] οὐκέτι[bo] ὑπό[p] παιδαγωγός[nams] εἰμί[vipx1p]. **v.26** πᾶς[anmpn] γάρ[c] υἱός[nnmp] θεός[ngms] εἰμί[vipx2p] διά[p] ὁ[dgfs] πίστις[ngfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.27** ὅσος[rcnmp] γάρ[c] εἰς[p] Χριστός[nams] βαπτίζω[viap2p] Χριστός[nams] ἐνδύω[viam2p]. **v.28** οὐ[xo] ἔνι[vipx3s] Ἰουδαῖος[anmsn] οὐδέ[bo] Ἕλλην[nnms] οὐ[xo] ἔνι[vipx3s] δοῦλος[nnms] οὐδέ[bo] ἐλεύθερος[anmsn] οὐ[xo] ἔνι[vipx3s] ἄρσην[nnns] καί[c] θῆλυς[annsn] πᾶς[anmpn] γάρ[c] σύ[rpn-p] εἷς[nnms] εἰμί[vipx2p] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.29** εἰ[qo] δέ[c] σύ[rpn-p] Χριστός[ngms] ἄρα[xo] ὁ[dgms] Ἀβραάμ[tp] σπέρμα[nnns] εἰμί[vipx2p] καί[c] κατά[p] ἐπαγγελία[nafs] κληρονόμος[nnmp]. **4. v.1** λέγω[vipa1s] δέ[c] ἐπί[p] ὅσος[rcams] χρόνος[nams] ὁ[dnms] κληρονόμος[nnms] νήπιος[anmsn] εἰμί[vipx3s] οὐδείς[aansn] διαφέρω[vipa3s] δοῦλος[ngms] κύριος[nnms] πᾶς[agmpn] εἰμί[vppxnms]. **v.2** ἀλλά[c] ὑπό[p] ἐπίτροπος[namp] εἰμί[vipx3s] καί[c] οἰκονόμος[namp] ἄχρι[p] ὁ[dgfs] προθεσμία[ngfs] ὁ[dgms] πατήρ[ngms]. **v.3** οὕτω[bo] καί[c] ἐγώ[rpn-p] ὅτε[bo] εἰμί[viix1p] νήπιος[anmpn] ὑπό[p] ὁ[danp] στοιχεῖον[nanp] ὁ[dgms] κόσμος[ngms] εἰμί[viix1p] δουλόω[vpxpnmp]. **v.4** ὅτε[bo] δέ[c] ἔρχομαι[viaa3s] ὁ[dnns] πλήρωμα[nnns] ὁ[dgms] χρόνος[ngms] ἐξαποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] γίνομαι[vpadams] ἐκ[p] γυνή[ngfs] γίνομαι[vpadams] ὑπό[p] νόμος[nams]. **v.5** ἵνα[c] ὁ[damp] ὑπό[p] νόμος[nams] ἐξαγοράζω[vsaa3s] ἵνα[c] ὁ[dafs] υἱοθεσία[nafs] ἀπολαμβάνω[vsaa1p]. **v.6** ὅτι[c] δέ[c] εἰμί[vipx2p] υἱός[nnmp] ἐξαποστέλλω[viaa3s] ὁ[dnms] θεός[nnms] ὁ[dans] πνεῦμα[nans] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] εἰς[p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p] κράζω[vppaans] ἀββά[tp] ὁ[dnms] πατήρ[nnms]. **v.7** ὥστε[c] οὐκέτι[bo] εἰμί[vipx2s] δοῦλος[nnms] ἀλλά[c] υἱός[nnms] εἰ[qo] δέ[c] υἱός[nnms] καί[c] κληρονόμος[nnms] θεός[ngms] διά[p] Χριστός[ngms]. **v.8** ἀλλά[c] τότε[bo] μέν[xo] οὐ[xo] οἶδα[vpxanmp] θεός[nams] δουλεύω[viaa2p] ὁ[ddmp] μή[xo] φύσις[ndfs] εἰμί[vppxdmp] θεός[ndmp]. **v.9** νῦν[bo] δέ[c] γινώσκω[vpaanmp] θεός[nams] μᾶλλον[bo] δέ[c] γινώσκω[vpapnmp] ὑπό[p] θεός[ngms] πῶς[bo] ἐπιστρέφω[vipa2p] πάλιν[bo] ἐπί[p] ὁ[danp] ἀσθενής[aanpn] καί[c] πτωχός[aanpn] στοιχεῖον[nanp] ὅς[rrdnp] πάλιν[bo] ἄνωθεν[bo] δουλεύω[vnpa] θέλω[vipa2p]. **v.10** ἡμέρα[nafp] παρατηρέω[vipm2p] καί[c] μήν[namp] καί[c] καιρός[namp] καί[c] ἐνιαυτός[namp].

φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. Γίνεσθε 11, 12
ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέομαι ὑμῶν. οὐδέν με
ἠδικήσατε, οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισά- 13
μην ὑμῖν τὸ πρότερον, καὶ τὸν πειρασμὸν μοῦ τὸν ἐν τῇ σαρκί 14
μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, ἀλ᾽λ ὡς ἄγγελον Θεοῦ
ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. τίς οὖν ἦν ὁ μακαρισμὸς ὑ- 15
μῶν· μαρτυρῶ γὰρ ὑμῖν ὅτι, εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν
ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀλη- 16
θεύων ὑμῖν· ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς 17
θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε. καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ 18
πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς. τεκνία 19
μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν, ἤ- 20
θελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου,
ὅτι ἀποροῦμαι ἐν ὑμῖν. Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶ- 21
ναι, τὸν νόμον οὐκ ἀκούετε· γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο 22
υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας.
ἀλλ᾽ ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς 23
ἐλευθέρας διὰ τὴς ἐπαγγελίας. ἅτινά ἐστιν ἀλληγορούμενα, 24
αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς
δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἁγάρ. τὸ γὰρ Ἁγὰρ Σινᾶ ὄρος ἐ- 25
στὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἰερουσαλήμ, δουλεύει δὲ

---

v.11 φοβέομαι[vipn1s] σύ[rpa-p] μή&πώς[c] εἰκῇ[bo] κοπιάω[vixa1s] εἰς[p] σύ[rpa-p]. **v.12** γίνομαι[vdpn2p] ὡς[bo] ἐγώ[rpn-s] ὅτι[c] κἀγώ[rpn-s] ὡς[bo] σύ[rpn-p] ἀδελφός[nvmp] δέομαι[vipn1s] σύ[rpg-p] οὐδείς[aansn] ἐγώ[rpa-s] ἀδικέω[viaa2p]. **v.13** οἶδα[vixa2p] δέ[c] ὅτι[c] διά[p] ἀσθένεια[nafs] ὁ[dgfs] σάρξ[ngfs] εὐαγγελίζω[viam1s] σύ[rpd-p] ὁ[dans] πρότερος[aansn]. **v.14** καί[c] ὁ[dams] πειρασμός[nams] ἐγώ[rpg-s] ὁ[dams] ἐν[p] ὁ[ddfs] σάρξ[ndfs] ἐγώ[rpg-s] οὐ[xo] ἐξουθενέω[viaa2p] οὐδέ[bo] ἐκπτύω[viaa2p] ἀλλά[c] ὡς[bo] ἄγγελος[nams] θεός[ngms] δέχομαι[viad2p] ἐγώ[rpa-s] ὡς[bo] Χριστός[nams] Ἰησοῦς[nams]. **v.15** τίς[rqnms] οὖν[c] εἰμί[viix3s] ὁ[dnms] μακαρισμός[nnms] σύ[rpg-p] μαρτυρέω[vipa1s] γάρ[c] σύ[rpd-p] ὅτι[c] εἰ[qo] δυνατός[annsn] ὁ[damp] ὀφθαλμός[namp] σύ[rpg-p] ἐξορύσσω[vpaanmp] ἄν[xo] δίδωμι[viaa2p] ἐγώ[rpd-s]. **v.16** ὥστε[c] ἐχθρός[anmsn] σύ[rpg-p] γίνομαι[vixa1s] ἀληθεύω[vppanms] σύ[rpd-p]. **v.17** ζηλόω[vipa3p] σύ[rpa-p] οὐ[xo] καλῶς[bo] ἀλλά[c] ἐκκλείω[vnaa] σύ[rpa-p] θέλω[vipa3p] ἵνα[c] αὐτός[rpamp] ζηλόω[vspa2p]. **v.18** καλός[annsn] δέ[c] ὁ[dnns] ζηλόω[vnpp] ἐν[p] καλός[adnsn] πάντοτε[bo] καί[c] μή[xo] μόνος[bo] ἐν[p] ὁ[ddms] πάρειμι[vnpx] ἐγώ[rpa-s] πρός[p] σύ[rpa-p]. **v.19** τεκνίον[nvnp] ἐγώ[rpg-s] ὅς[rramp] πάλιν[bo] ὠδίνω[vipa1s] ἄχρι[p] ὅς[bo] μορφόω[vsap3s] Χριστός[nnms] ἐν[p] σύ[rpd-p]. **v.20** θέλω[viia1s] δέ[c] πάρειμι[vnpx] πρός[p] σύ[rpa-p] ἄρτι[bo] καί[c] ἀλλάσσω[vnaa] ὁ[dafs] φωνή[nafs] ἐγώ[rpg-s] ὅτι[c] ἀπορέω[vipm1s] ἐν[p] σύ[rpd-p]. **v.21** λέγω[vdpa2p] ἐγώ[rpd-s] ὁ[dnmp] ὑπό[p] νόμος[nams] θέλω[vppanmp] εἰμί[vnpx] ὁ[dams] νόμος[nams] οὐ[xo] ἀκούω[vipa2p]. **v.22** γράφω[vixp3s] γάρ[c] ὅτι[c] Ἀβραάμ[tp] δύο[tn] υἱός[namp] ἔχω[viaa3s] εἷς[nams] ἐκ[p] ὁ[dgfs] παιδίσκη[ngfs] καί[c] εἷς[nams] ἐκ[p] ὁ[dgfs] ἐλεύθερος[agfsn]. **v.23** ἀλλά[c] ὁ[dnms] μέν[xo] ἐκ[p] ὁ[dgfs] παιδίσκη[ngfs] κατά[p] σάρξ[nafs] γεννάω[vixp3s] ὁ[dnms] δέ[c] ἐκ[p] ὁ[dgfs] ἐλεύθερος[agfsn] διά[p] ὁ[dgfs] ἐπαγγελία[ngfs]. **v.24** ὅστις[rrnnp] εἰμί[vipx3s] ἀλληγορέω[vpppnnp] οὗτος[rdnfp] γάρ[c] εἰμί[vipx3p] ὁ[dnfp] δύο[tn] διαθήκη[nnfp] εἷς[nnfs] μέν[xo] ἀπό[p] ὄρος[ngns] Σινᾶ[tp] εἰς[p] δουλεία[nafs] γεννάω[vppanfs] ὅστις[rrnfs] εἰμί[vipx3s] Ἁγάρ[tp].

26 μετὰ τῶν τέκνων αὐτῆς. ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστίν,
27 ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν, γέγραπται γάρ, Εὐφράνθητι,
στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι
πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.
28, 29 ἡμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. ἀλλ'
ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ Πνεῦμα,
30 οὕτω καὶ νῦν. ἀλλὰ τί λέγει ἡ γραφή· Ἔκβαλε τὴν παιδίσκην
καὶ τὸν υἱὸν αὐτῆς, οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδί-
31 σκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. ἄρα, ἀδελφοί, οὐκ ἐσμὲν
παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.
5 τῇ ἐλευθερίᾳ οὖν ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ
2 μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν
3 ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. μαρτύ-
ρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης
4 ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ,
5 οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. ἡμεῖς γὰρ
6 Πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. ἐν
γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία,
7 ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. ἐτρέχετε καλῶς, τίς ὑ-
8 μᾶς ἀνέκοψεν τῇ ἀληθείᾳ μὴ πείθεσθαι· ἡ πεισμονὴ οὐκ ἐκ
9, 10 τοῦ καλοῦντος ὑμᾶς. μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἐγὼ

---

v.25 ὁ[dnns] γάρ[c] Ἁγάρ[tp] Σινᾶ[tp] ὄρος[nnns] εἰμί[vipx3s] ἐν[p] ὁ[ddfs] Ἀραβία[ndfs] συστοιχέω[vipa3s] δέ[c] ὁ[ddfs] νῦν[bo] Ἰερουσαλήμ[tp] δουλεύω[vipa3s] δέ[c] μετά[p] ὁ[dgnp] τέκνον[ngnp] αὐτός[rpgfs]. **v.26** ὁ[dnfs] δέ[c] ἄνω[bo] Ἰερουσαλήμ[tp] ἐλεύθερος[anfsn] εἰμί[vipx3s] ὅστις[rrnfs] εἰμί[vipx3s] μήτηρ[nnfs] πᾶς[agmpn] ἐγώ[rpg-p]. **v.27** γράφω[vixp3s] γάρ[c] εὐφραίνω[vdap2s] στεῖρα[nvfs] ὁ[dnfs] οὐ[xo] τίκτω[vppanfs] ῥήγνυμι[vdaa2s] καί[c] βοάω[vdaa2s] ὁ[dnfs] οὐ[xo] ὠδίνω[vppanfs] ὅτι[c] πολύς[annpn] ὁ[dnnp] τέκνον[nnnp] ὁ[dgfs] ἔρημος[agfsn] μᾶλλον[bo] ἤ[xo] ὁ[dgfs] ἔχω[vppagfs] ὁ[dams] ἀνήρ[nams]. **v.28** ἐγώ[rpn-p] δέ[c] ἀδελφός[nvmp] κατά[p] Ἰσαάκ[tp] ἐπαγγελία[ngfs] τέκνον[nnnp] εἰμί[vipx1p]. **v.29** ἀλλά[c] ὥσπερ[bo] τότε[bo] ὁ[dnms] κατά[p] σάρξ[nafs] γεννάω[vpapnms] διώκω[viia3s] ὁ[dams] κατά[p] πνεῦμα[nans] οὕτω[bo] καί[c] νῦν[bo]. **v.30** ἀλλά[c] τίς[rqans] λέγω[vipa3s] ὁ[dnfs] γραφή[nnfs] ἐκβάλλω[vdaa2s] ὁ[dafs] παιδίσκη[nafs] καί[c] ὁ[dams] υἱός[nams] αὐτός[rpgfs] οὐ[xo] γάρ[c] μή[xo] κληρονομέω[vsaa3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgfs] παιδίσκη[ngfs] μετά[p] ὁ[dgms] υἱός[ngms] ὁ[dgfs] ἐλεύθερος[agfsn]. **v.31** ἄρα[xo] ἀδελφός[nvmp] οὐ[xo] εἰμί[vipx1p] παιδίσκη[ngfs] τέκνον[nnnp] ἀλλά[c] ὁ[dgfs] ἐλεύθερος[agfsn]. **5. v.1** ὁ[ddfs] ἐλευθερία[ndfs] οὖν[c] ὅς[rrdfs] Χριστός[nnms] ἐγώ[rpa-p] ἐλευθερόω[viaa3s] στήκω[vdpa2p] καί[c] μή[xo] πάλιν[bo] ζυγός[ndms] δουλεία[ngfs] ἐνέχω[vdpp2p]. **v.2** ἴδε[i] ἐγώ[rpn-s] Παῦλος[nnms] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἐάν[qo] περιτέμνω[vspp2p] Χριστός[nnms] σύ[rpa-p] οὐδείς[aansn] ὠφελέω[vifa3s]. **v.3** μαρτύρομαι[vipn1s] δέ[c] πάλιν[bo] πᾶς[admsn] ἄνθρωπος[ndms] περιτέμνω[vpppdms] ὅτι[c] ὀφειλέτης[nnms] εἰμί[vipx3s] ὅλος[aamsn] ὁ[dams] νόμος[nams] ποιέω[vnaa]. **v.4** καταργέω[viap2p] ἀπό[p] ὁ[dgms] Χριστός[ngms] ὅστις[rrnmp] ἐν[p] νόμος[ndms] δικαιόω[vipp2p] ὁ[dgfs] χάρις[ngfs] ἐκπίπτω[viaa2p]. **v.5** ἐγώ[rpn-p] γάρ[c] πνεῦμα[ndns] ἐκ[p] πίστις[ngfs] ἐλπίς[nafs] δικαιοσύνη[ngfs] ἀπεκδέχομαι[vipn1p]. **v.6** ἐν[p] γάρ[c] Χριστός[ndms] Ἰησοῦς[ndms] οὔτε[c] περιτομή[nnfs] τι-σριανσ ἰσχύω[vipa3s] οὔτε[c] ἀκροβυστία[nnfs] ἀλλά[c] πίστις[nnfs] διά[p] ἀγάπη[ngfs] ἐνεργέω[vppmnfs]. **v.7** τρέχω[viia2p] καλῶς[bo] τίς[rqnms] σύ[rpa-p] ἐγκόπτω[viaa3s] ὁ[ddfs] ἀλήθεια[ndfs] μή[xo] πείθω[vnpp]. **v.8** ὁ[dnfs] πεισμονή[nnfs] οὐ[xo] ἐκ[p] ὁ[dgms] καλέω[vppagms] σύ[rpa-p]. **v.9** μικρός[anfsn] ζύμη[nnfs] ὅλος[aansn] ὁ[dans] φύραμα[nans] ζυμόω[vipa3s].

πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε, ὁ δὲ τα-
ράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. ἐγὼ δέ, ἀδελφοί, 11
εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι· ἄρα κατήργηται τὸ
σκάνδαλον τοῦ σταυροῦ. ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστα- 12
τοῦντες ὑμᾶς. Ὑμεῖς γὰρ ἐπ᾽ ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί, 13
μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς
ἀγάπης δουλεύετε ἀλλήλοις. ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ 14
πληροῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς εαυτόν. εἰ 15
δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπό ἀλλήλων
ἀναλωθῆτε. Λέγω δέ, Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν 16
σαρκὸς οὐ μὴ τελέσητε. ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύ- 17
ματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός, ταῦτα δὲ ἀντίκειται
ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. εἰ δὲ Πνεύ- 18
ματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. φανερὰ δέ ἐστι τὰ ἔργα 19
τῆς σαρκός, ἅτινά ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλ-
γεια, εἰδωλολατρεία φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, 20
ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, 21
καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι
οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσου-
σιν. ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, 22
μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραΰτης, ἐγ- 23

---

v.10 ἐγώ[rpn-s] πείθω[vixa1s] εἰς[p] σύ[rpa-p] ἐν[p] κύριος[ndms] ὅτι[c] οὐδείς[aansn] ἄλλος[aansn] φρονέω[vifa2p] ὁ[dnms] δέ[c] ταράσσω[vppanms] σύ[rpa-p] βαστάζω[vifa3s] ὁ[dans] κρίμα[nans] ὅστις[rrnms] ἄν[xo] εἰμί[vspx3s]. **v.11** ἐγώ[rpn-s] δέ[c] ἀδελφός[nvmp] εἰ[qo] περιτομή[nafs] ἔτι[bo] κηρύσσω[vipa1s] τίς[rqans] ἔτι[bo] διώκω[vipp1s] ἄρα[xo] καταργέω[vixp3s] ὁ[dnns] σκάνδαλον[nnns] ὁ[dgms] σταυρός[ngms]. **v.12** ὄφελον[i] καί[c] ἀποκόπτω[vifm3p] ὁ[dnmp] ἀναστατόω[vppanmp] σύ[rpa-p]. **v.13** σύ[rpn-p] γάρ[c] ἐπί[p] ἐλευθερία[ndfs] καλέω[viap2p] ἀδελφός[nvmp] μόνος[bo] μή[xo] ὁ[dafs] ἐλευθερία[nafs] εἰς[p] ἀφορμή[nafs] ὁ[ddfs] σάρξ[ndfs] ἀλλά[c] διά[p] ὁ[dgfs] ἀγάπη[ngfs] δουλεύω[vdpa2p] ἀλλήλων[redmp]. **v.14** ὁ[dnms] γάρ[c] πᾶς[anmsn] νόμος[nnms] ἐν[p] εἷς[ndms] λόγος[ndms] πληρόω[vipp3s] ἐν[p] ὁ[ddms] ἀγαπάω[vifa2s] ὁ[dams] πλησίον[bo] σύ[rpg-s] ὡς[bo] ἑαυτοῦ[rxams]. **v.15** εἰ[qo] δέ[c] ἀλλήλων[reamp] δάκνω[vipa2p] καί[c] κατεσθίω[vipa2p] βλέπω[vdpa2p] μή[xo] ὑπό[p] ἀλλήλων[regmp] ἀναλίσκω[vsap2p]. **v.16** λέγω[vipa1s] δέ[c] πνεῦμα[ndns] περιπατέω[vdpa2p] καί[c] ἐπιθυμία[nafs] σάρξ[ngfs] οὐ[xo] μή[xo] τελέω[vsaa2p]. **v.17** ὁ[dnfs] γάρ[c] σάρξ[nnfs] ἐπιθυμέω[vipa3s] κατά[p] ὁ[dgns] πνεῦμα[ngns] ὁ[dnns] δέ[c] πνεῦμα[nnns] κατά[p] ὁ[dgfs] σάρξ[ngfs] οὗτος[rdnnp] δέ[c] ἀντίκειμαι[vipn3s] ἀλλήλων[rednp] ἵνα[c] μή[xo] ὅς[rranp] ἄν[xo] θέλω[vspa2p] οὗτος[rdanp] ποιέω[vspa2p]. **v.18** εἰ[qo] δέ[c] πνεῦμα[ndns] ἄγω[vipp2p] οὐ[xo] εἰμί[vipx2p] ὑπό[p] νόμος[nams]. **v.19** φανερός[annpn] δέ[c] εἰμί[vipx3s] ὁ[dnnp] ἔργον[nnnp] ὁ[dgfs] σάρξ[ngfs] ὅστις[rrnnp] εἰμί[vipx3s] μοιχεία[nnfs] πορνεία[nnfs] ἀκαθαρσία[nnfs] ἀσέλγεια[nnfs]. **v.20** εἰδωλολατρία[nnfs] φαρμακεία[nnfs] ἔχθρα[nnfp] ἔρις[nnfp] ζηλόω[nnmp] θυμός[nnmp] ἐριθεία[nnfp] διχοστασία[nnfp] αἵρεσις[nnfp]. **v.21** φθόνος[nnmp] φόνος[nnmp] μέθη[nnfp] κῶμος[nnmp] καί[c] ὁ[dnnp] ὅμοιος[annpn] οὗτος[rddnp] ὅς[rranp] προλέγω[vipa1s] σύ[rpd-p] καθώς[bo] καί[c] προλέγω[viaa1s] ὅτι[c] ὁ[dnmp] ὁ[danp] τοιοῦτος[rdanp] πράσσω[vppanmp] βασιλεία[nafs] θεός[ngms] οὐ[xo] κληρονομέω[vifa3p]. **v.22** ὁ[dnms] δέ[c] καρπός[nnms] ὁ[dgns] πνεῦμα[ngns] εἰμί[vipx3s] ἀγάπη[nnfs] χαρά[nnfs] εἰρήνη[nnfs] μακροθυμία[nnfs] χρηστότης[nnfs] ἀγαθωσύνη[nnfs] πίστις[nnfs].

24 κράτεια, κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. οἱ δὲ τοῦ Χριστοῦ
τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.
25, 26 Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα
κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.
6 Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι,
ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρα-
2 ΐ̈οτητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ
βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χρι-
3 στοῦ. εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ,
4 τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν
5 μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. ἕκαστος γὰρ
6 τὸ ἴδιον φορτίον βαστάσει. Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν
7 λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. Μὴ πλανᾶσθε, Θεὸς
οὐ μυκτηρίζεται, ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος τοῦτο καὶ θερίσει.
8 ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθο-
ράν, ὁ δὲ σπείρων εἰς τὸ Πνεῦμα ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν
9 αἰώνιον. τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰ-
10 δίῳ θερίσομεν, μὴ ἐκλυόμενοι. ἄρα οὖν ὡς καιρὸν ἔχομεν,
ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰ-
11 κείους τῆς πίστεως. Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα
12 τῇ ἐμῇ χειρί. ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀ-

---

v.23 πραΰτης[nnfs] ἐγκράτεια[nnfs] κατά[p] ὁ[dgnp] τοιοῦτος[rdgnp] οὐ[xo] εἰμί[vipx3s] νόμος[nnms]. **v.24** ὁ[dnmp] δέ[c] ὁ[dgms] Χριστός[ngms] ὁ[dafs] σάρξ[nafs] σταυρόω[viaa3p] σύν[p] ὁ[ddnp] πάθημα[ndnp] καί[c] ὁ[ddfp] ἐπιθυμία[ndfp]. **v.25** εἰ[qo] ζάω[vipa1p] πνεῦμα[ndns] πνεῦμα[ndns] καί[c] στοιχέω[vspa1p]. **v.26** μή[xo] γίνομαι[vspn1p] κενόδοξος[anmpn] ἀλλήλων[reamp] προκαλέω[vppmnmp] ἀλλήλων[redmp] φθονέω[vppanmp]. **6. v.1** ἀδελφός[nvmp] ἐάν[qo] καί[c] προλαμβάνω[vsap3s] ἄνθρωπος[nnms] ἐν[p] τι-σ-ριδνσ παράπτωμα[ndns] σύ[rpn-p] ὁ[dnmp] πνευματικός[anmpn] καταρτίζω[vdpa2p] ὁ[dams] τοιοῦτος[rdams] ἐν[p] πνεῦμα[ndns] πραΰτης[ngfs] σκοπέω[vppanms] σεαυτοῦ[rxams] μή[xo] καί[c] σύ[rpn-s] πειράζω[vsap2s]. **v.2** ἀλλήλων[regmp] ὁ[danp] βάρος[nanp] βαστάζω[vdpa2p] καί[c] οὕτω[bo] ἀναπληρόω[vdaa2p] ὁ[dams] νόμος[nams] ὁ[dgms] Χριστός[ngms]. **v.3** εἰ[qo] γάρ[c] δοκέω[vipa3s] τι-σρινμσ εἰμί[vnpx] τι-σριννσ μηδείς[annsn] εἰμί[vppxnms] ἑαυτοῦ[rxams] φρεναπατάω[vipa3s]. **v.4** ὁ[dans] δέ[c] ἔργον[nans] ἑαυτοῦ[rxgms] δοκιμάζω[vdpa3s] ἕκαστος[anmsn] καί[c] τότε[bo] εἰς[p] ἑαυτοῦ[rxams] μόνος[aamsn] ὁ[dans] καύχημα[nans] ἔχω[vifa3s] καί[c] οὐ[xo] εἰς[p] ὁ[dams] ἕτερος[aamsn]. **v.5** ἕκαστος[anmsn] γάρ[c] ὁ[dans] ἴδιος[aamsn] φορτίον[nans] βαστάζω[vifa3s]. **v.6** κοινωνέω[vdpa3s] δέ[c] ὁ[dnms] κατηχέω[vpppnms] ὁ[dams] λόγος[nams] ὁ[ddms] κατηχέω[vppadms] ἐν[p] πᾶς[adnpn] ἀγαθός[adnpn]. **v.7** μή[xo] πλανάω[vdpp2p] θεός[nnms] οὐ[xo] μυκτηρίζω[vipp3s] ὅς[rrans] γάρ[c] ἐάν[qo] σπείρω[vspa3s] ἄνθρωπος[nnms] οὗτος[rdans] καί[c] θερίζω[vifa3s]. **v.8** ὅτι[c] ὁ[dnms] σπείρω[vppanms] εἰς[p] ὁ[dafs] σάρξ[nafs] ἑαυτοῦ[rxgms] ἐκ[p] ὁ[dgfs] σάρξ[ngfs] θερίζω[vifa3s] φθορά[nafs] ὁ[dnms] δέ[c] σπείρω[vppanms] εἰς[p] ὁ[dans] πνεῦμα[nans] ἐκ[p] ὁ[dgns] πνεῦμα[ngns] θερίζω[vifa3s] ζωή[nafs] αἰώνιος[aafsn]. **v.9** ὁ[dnns] δέ[c] καλός[aansn] ποιέω[vppanmp] μή[xo] ἐγκακέω[vspa1p] καιρός[ndms] γάρ[c] ἴδιος[admsn] θερίζω[vifa1p] μή[xo] ἐκλύω[vpppnmp]. **v.10** ἄρα[xo] οὖν[c] ὡς[bo] καιρός[nams] ἔχω[vipa1p] ἐργάζομαι[vspn1p] ὁ[dans] ἀγαθός[aansn] πρός[p] πᾶς[aampn] μάλιστα[bo] δέ[c] πρός[p] ὁ[damp] οἰκεῖος[aampn] ὁ[dgfs] πίστις[ngfs]. **v.11** ὁράω[vdaa2p] πηλίκος[adnpn] σύ[rpd-p] γράμμα[ndnp] γράφω[viaa1s] ὁ[ddfs] ἐμός[rsdfs] χείρ[ndfs].

ναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ
Χριστοῦ διώκωνται. οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον 13
φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑ-
μετέρᾳ σαρκὶ καυχήσωνται. ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ 14
μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ
κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. ἐν γὰρ Χριστῷ Ἰησοῦ 15
οὔτε περιτομή τί ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις.
καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτούς, καὶ 16
ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ, κόπους μοι 17
μηδεὶς παρεχέτω, ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυριοῦ Ἰησοῦ ἐν τῷ
σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι- 18
στοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. ἀμήν. πρός Γαλάτας
ἐγράφη ἀπό Ῥώμης.

---

v.12 ὅσος[rcnmp] θέλω[vipa3p] εὐπροσωπέω[vnaa] ἐν[p] σάρξ[ndfs] οὗτος[rdnmp] ἀναγκάζω[vipa3p] σύ[rpa-p] περιτέμνω[vnpp] μόνος[bo] ἵνα[c] μή[xo] ὁ[ddms] σταυρός[ndms] ὁ[dgms] Χριστός[ngms] διώκω[vspp3p]. **v.13** οὐδέ[bo] γάρ[c] ὁ[dnmp] περιτέμνω[vpppnmp] αὐτός[rpnmp] νόμος[nams] φυλάσσω[vipa3p] ἀλλά[c] θέλω[vipa3p] σύ[rpa-p] περιτέμνω[vnpp] ἵνα[c] ἐν[p] ὁ[ddfs] ὑμέτερος[rsdfs] σάρξ[ndfs] καυχάομαι[vsad3p]. **v.14** ἐγώ[rpd-s] δέ[c] μή[xo] γίνομαι[voad3s] καυχάομαι[vnpn] εἰ[qo] μή[xo] ἐν[p] ὁ[ddms] σταυρός[ndms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] διά[p] ὅς[rrgms] ἐγώ[rpd-s] κόσμος[nnms] σταυρόω[vixp3s] κἀγώ[rpn-s] ὁ[ddms] κόσμος[ndms]. **v.15** ἐν[p] γάρ[c] Χριστός[ndms] Ἰησοῦς[ndms] οὔτε[c] περιτομή[nnfs] τίς[rians] ἰσχύω[vipa3s] οὔτε[c] ἀκροβυστία[nnfs] ἀλλά[c] καινός[anfsn] κτίσις[nnfs]. **v.16** καί[c] ὅσος[rcnmp] ὁ[ddms] κανών[ndms] οὗτος[rddms] στοιχέω[vifa3p] εἰρήνη[nnfs] ἐπί[p] αὐτός[rpamp] καί[c] ἔλεος[nnms] καί[c] ἐπί[p] ὁ[dams] Ἰσραήλ[tp] ὁ[dgms] θεός[ngms]. **v.17** ὁ[dgns] λοιπός[agnsn] κόπος[namp] ἐγώ[rpd-s] μηδείς[anmsn] παρέχω[vdpa3s] ἐγώ[rpn-s] γάρ[c] ὁ[danp] στίγμα[nanp] ὁ[dgms] κύριος[ngms] Ἰησοῦς[ngms] ἐν[p] ὁ[ddns] σῶμα[ndns] ἐγώ[rpg-s] βαστάζω[vipa1s]. **v.18** ὁ[dnfs] χάρις[nnfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] μετά[p] ὁ[dgns] πνεῦμα[ngns] σύ[rpg-p] ἀδελφός[nvmp] ἀμήν[th] πρός[p] Γαλάτης[nams] γράφω[viap3s] ἀπό[p] Ῥώμη[ngfs].

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ,
τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ,
2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰη-
3 σοῦ Χριστοῦ. Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευμα-
4 τικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ, καθὼς ἐξελέξατο ἡμᾶς ἐν
αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους, καὶ ἀμώμους
5 κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν
διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήμα-
6 τος αὐτοῦ, εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρί-
7 τωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν
διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων, κατὰ τὸ
8 πλοῦτον τῆς χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ
9 σοφίᾳ καὶ φρονήσει, γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελή-
ματος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ.
10 εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσα-
σθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ
11 τῆς γῆς, ἐν αὐτῷ ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες κατὰ
πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελή-

---

1. v.1 Παῦλος$^{\text{nnms}}$ ἀπόστολος$^{\text{nnms}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ διά$^{\text{p}}$ θέλημα$^{\text{ngns}}$ θεός$^{\text{ngms}}$ ὁ$^{\text{ddmp}}$ ἅγιος$^{\text{admpn}}$ ὁ$^{\text{ddmp}}$ εἰμί$^{\text{vppxdmp}}$ ἐν$^{\text{p}}$ Ἔφεσος$^{\text{ndfs}}$ καί$^{\text{c}}$ πιστός$^{\text{admpn}}$ ἐν$^{\text{p}}$ Χριστός$^{\text{ndms}}$ Ἰησοῦς$^{\text{ndms}}$. **v.2** χάρις$^{\text{nnfs}}$ σύ$^{\text{rpd-p}}$ καί$^{\text{c}}$ εἰρήνη$^{\text{nnfs}}$ ἀπό$^{\text{p}}$ θεός$^{\text{ngms}}$ πατήρ$^{\text{ngms}}$ ἐγώ$^{\text{rpg-p}}$ καί$^{\text{c}}$ κύριος$^{\text{ngms}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$. **v.3** εὐλογητός$^{\text{anmsn}}$ ὁ$^{\text{dnms}}$ θεός$^{\text{nnms}}$ καί$^{\text{c}}$ πατήρ$^{\text{nnms}}$ ὁ$^{\text{dgms}}$ κύριος$^{\text{ngms}}$ ἐγώ$^{\text{rpg-p}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ ὁ$^{\text{dnms}}$ εὐλογέω$^{\text{vpaanms}}$ ἐγώ$^{\text{rpa-p}}$ ἐν$^{\text{p}}$ πᾶς$^{\text{adfsn}}$ εὐλογία$^{\text{ndfs}}$ πνευματικός$^{\text{adfsn}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddnp}}$ ἐπουράνιος$^{\text{adnpn}}$ ἐν$^{\text{p}}$ Χριστός$^{\text{ndms}}$. **v.4** καθώς$^{\text{bo}}$ ἐκλέγω$^{\text{viam3s}}$ ἐγώ$^{\text{rpa-p}}$ ἐν$^{\text{p}}$ αὐτός$^{\text{rpdms}}$ πρό$^{\text{p}}$ καταβολή$^{\text{ngfs}}$ κόσμος$^{\text{ngms}}$ εἰμί$^{\text{vnpx}}$ ἐγώ$^{\text{rpa-p}}$ ἅγιος$^{\text{aampn}}$ καί$^{\text{c}}$ ἄμωμος$^{\text{aampn}}$ κατενώπιον$^{\text{p}}$ αὐτός$^{\text{rpgms}}$ ἐν$^{\text{p}}$ ἀγάπη$^{\text{ndfs}}$. **v.5** προορίζω$^{\text{vpaanms}}$ ἐγώ$^{\text{rpa-p}}$ εἰς$^{\text{p}}$ υἱοθεσία$^{\text{nafs}}$ διά$^{\text{p}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ εἰς$^{\text{p}}$ αὐτός$^{\text{rpams}}$ κατά$^{\text{p}}$ ὁ$^{\text{dafs}}$ εὐδοκία$^{\text{nafs}}$ ὁ$^{\text{dgns}}$ θέλημα$^{\text{ngns}}$ αὐτός$^{\text{rpgms}}$. **v.6** εἰς$^{\text{p}}$ ἔπαινος$^{\text{nams}}$ δόξα$^{\text{ngfs}}$ ὁ$^{\text{dgfs}}$ χάρις$^{\text{ngfs}}$ αὐτός$^{\text{rpgms}}$ ἐν$^{\text{p}}$ ὅς$^{\text{rrdfs}}$ χαριτόω$^{\text{viaa3s}}$ ἐγώ$^{\text{rpa-p}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddms}}$ ἀγαπάω$^{\text{vpxpdms}}$. **v.7** ἐν$^{\text{p}}$ ὅς$^{\text{rrdms}}$ ἔχω$^{\text{vipa1p}}$ ὁ$^{\text{dafs}}$ ἀπολύτρωσις$^{\text{nafs}}$ διά$^{\text{p}}$ ὁ$^{\text{dgns}}$ αἷμα$^{\text{ngns}}$ αὐτός$^{\text{rpgms}}$ ὁ$^{\text{dafs}}$ ἄφεσις$^{\text{nafs}}$ ὁ$^{\text{dgnp}}$ παράπτωμα$^{\text{ngnp}}$ κατά$^{\text{p}}$ ὁ$^{\text{dams}}$ πλοῦτος$^{\text{nams}}$ ὁ$^{\text{dgfs}}$ χάρις$^{\text{ngfs}}$ αὐτός$^{\text{rpgms}}$. **v.8** ὅς$^{\text{rrgfs}}$ περισσεύω$^{\text{viaa3s}}$ εἰς$^{\text{p}}$ ἐγώ$^{\text{rpa-p}}$ ἐν$^{\text{p}}$ πᾶς$^{\text{adfsn}}$ σοφία$^{\text{ndfs}}$ καί$^{\text{c}}$ φρόνησις$^{\text{ndfs}}$. **v.9** γνωρίζω$^{\text{vpaanms}}$ ἐγώ$^{\text{rpd-p}}$ ὁ$^{\text{dans}}$ μυστήριον$^{\text{nans}}$ ὁ$^{\text{dgns}}$ θέλημα$^{\text{ngns}}$ αὐτός$^{\text{rpgms}}$ κατά$^{\text{p}}$ ὁ$^{\text{dafs}}$ εὐδοκία$^{\text{nafs}}$ αὐτός$^{\text{rpgms}}$ ὅς$^{\text{rrafs}}$ προτίθημι$^{\text{viam3s}}$ ἐν$^{\text{p}}$ αὐτός$^{\text{rpdms}}$. **v.10** εἰς$^{\text{p}}$ οἰκονομία$^{\text{nafs}}$ ὁ$^{\text{dgns}}$ πλήρωμα$^{\text{ngns}}$ ὁ$^{\text{dgmp}}$ καιρός$^{\text{ngmp}}$ ἀνακεφαλαιόω$^{\text{vnad}}$ ὁ$^{\text{danp}}$ πᾶς$^{\text{aanpn}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddms}}$ Χριστός$^{\text{ndms}}$ ὁ$^{\text{danp}}$ τέ$^{\text{xo}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddmp}}$ οὐρανός$^{\text{ndmp}}$ καί$^{\text{c}}$ ὁ$^{\text{danp}}$ ἐπί$^{\text{p}}$ ὁ$^{\text{dgfs}}$ γῆ$^{\text{ngfs}}$.

ματος αὐτοῦ. εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, 12
τοὺς προηλπικότας ἐν τῷ Χριστῷ, ἐν ᾧ καὶ ὑμεῖς, ἀκούσαντες 13
τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ
καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ
Ἁγίῳ, ὅς ἐστιν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρω- 14
σιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ. Διὰ τοῦτο 15
κἀγώ ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ καὶ τὴν
ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, οὐ παύομαι εὐχαριστῶν 16
ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, 17
δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐ-
τοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν, εἰς 18
τὸ εἰδέναι, ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ
πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ 19
τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς
πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ.
ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ ἐ- 20
κάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις, ὑπεράνω πάσης 21
ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς
ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ
ἐν τῷ μέλλοντι, καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, 22

---

v.11 ἐν[p] αὐτός[rpdms] ἐν[p] ὅς[rrdms] καί[c] κληρόω[viap1p] προορίζω[vpapnmp] κατά[p] πρόθεσις[nafs] ὁ[dgms] ὁ[danp] πᾶς[aanpn] ἐνεργέω[vppagms] κατά[p] ὁ[dafs] βουλή[nafs] ὁ[dgns] θέλημα[ngns] αὐτός[rpgms]. **v.12** εἰς[p] ὁ[dans] εἰμί[vnpx] ἐγώ[rpa-p] εἰς[p] ἔπαινος[nams] ὁ[dgfs] δόξα[ngfs] αὐτός[rpgms] ὁ[damp] προελπίζω[vpxaamp] ἐν[p] ὁ[ddms] Χριστός[ndms]. **v.13** ἐν[p] ὅς[rrdms] καί[c] σύ[rpn-p] ἀκούω[vpaanmp] ὁ[dams] λόγος[nams] ὁ[dgfs] ἀλήθεια[ngfs] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgfs] σωτηρία[ngfs] σύ[rpg-p] ἐν[p] ὅς[rrdms] καί[c] πιστεύω[vpaanmp] σφραγίζω[viap2p] ὁ[ddns] πνεῦμα[ndns] ὁ[dgfs] ἐπαγγελία[ngfs] ὁ[ddns] ἅγιος[adnsn]. **v.14** ὅς[rrnms] εἰμί[vipx3s] ἀρραβών[nnms] ὁ[dgfs] κληρονομία[ngfs] ἐγώ[rpg-p] εἰς[p] ἀπολύτρωσις[nafs] ὁ[dgfs] περιποίησις[ngfs] εἰς[p] ἔπαινος[nams] ὁ[dgfs] δόξα[ngfs] αὐτός[rpgms]. **v.15** διά[p] οὗτος[rdans] κἀγώ[rpn-s] ἀκούω[vpaanms] ὁ[dafs] κατά[p] σύ[rpa-p] πίστις[nafs] ἐν[p] ὁ[ddms] κύριος[ndms] Ἰησοῦς[ndms] καί[c] ὁ[dafs] ἀγάπη[nafs] ὁ[dafs] εἰς[p] πᾶς[aampn] ὁ[damp] ἅγιος[aampn]. **v.16** οὐ[xo] παύω[vipm1s] εὐχαριστέω[vppanms] ὑπέρ[p] σύ[rpg-p] μνεία[nafs] σύ[rpg-p] ποιέω[vppmnms] ἐπί[p] ὁ[dgfp] προσευχή[ngfp] ἐγώ[rpg-s]. **v.17** ἵνα[c] ὁ[dnms] θεός[nnms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dnms] πατήρ[nnms] ὁ[dgfs] δόξα[ngfs] δίδωμι[vsaa3s] σύ[rpd-p] πνεῦμα[nans] σοφία[ngfs] καί[c] ἀποκάλυψις[ngfs] ἐν[p] ἐπίγνωσις[ndfs] αὐτός[rpgms]. **v.18** φωτίζω[vpxpamp] ὁ[damp] ὀφθαλμός[namp] ὁ[dgfs] διάνοια[ngfs] σύ[rpg-p] εἰς[p] ὁ[dans] οἶδα[vnxa] σύ[rpa-p] τίς[rqnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἐλπίς[nnfs] ὁ[dgfs] κλῆσις[ngfs] αὐτός[rpgms] καί[c] τίς[rqnms] ὁ[dnms] πλοῦτος[nnms] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgfs] κληρονομία[ngfs] αὐτός[rpgms] ἐν[p] ὁ[ddmp] ἅγιος[admpn]. **v.19** καί[c] τίς[rqnns] ὁ[dnns] ὑπερβάλλω[vppanns] μέγεθος[nnns] ὁ[dgfs] δύναμις[ngfs] αὐτός[rpgms] εἰς[p] ἐγώ[rpa-p] ὁ[damp] πιστεύω[vppaamp] κατά[p] ὁ[dafs] ἐνέργεια[nafs] ὁ[dgns] κράτος[ngns] ὁ[dgfs] ἰσχύς[ngfs] αὐτός[rpgms]. **v.20** ὅς[rrafs] ἐνεργέω[viaa3s] ἐν[p] ὁ[ddms] Χριστός[ndms] ἐγείρω[vpaanms] αὐτός[rpams] ἐκ[p] νεκρός[agmpn] καί[c] καθίζω[viaa3s] ἐν[p] δεξιός[adfsn] αὐτός[rpgms] ἐν[p] ὁ[ddnp] ἐπουράνιος[adnpn]. **v.21** ὑπεράνω[bo] πᾶς[agfsn] ἀρχή[ngfs] καί[c] ἐξουσία[ngfs] καί[c] δύναμις[ngfs] καί[c] κυριότης[ngfs] καί[c] πᾶς[agnsn] ὄνομα[ngns] ὀνομάζω[vpppgns] οὐ[xo] μόνος[bo] ἐν[p] ὁ[ddms] αἰών[ndms] οὗτος[rddms] ἀλλά[c] καί[c] ἐν[p] ὁ[ddms] μέλλω[vppadms].

23 καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ
τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ πάντα ἐν πᾶσι πληρουμένου.
2 Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι, καὶ ταῖς ἁμαρ-
2 τίαις, ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου
τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύ-
3 ματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐν οἷς
καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς
σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν δι-
4 ανοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί, ὁ δὲ
Θεὸς, πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν
5 ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι
6 συνεζωοποίησε τῷ Χριστῷ χάριτί ἐστε σεσῳσμένοι, καὶ συνή-
γειρε, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ,
7 ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλ-
λοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν
8 Χριστῷ Ἰησοῦ, τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως,
9 καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα
10 μή τις καυχήσηται. αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν
Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς,
11 ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Διὸ μνημονεύετε ὅτι ὑμεῖς ποτὲ
τὰ ἔθνη ἐν σαρκί, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης

---

v.22 καί[c] πᾶς[aanpn] ὑποτάσσω[viaa3s] ὑπό[p] ὁ[damp] πούς[namp] αὐτός[rpgms] καί[c] αὐτός[rpams] δίδωμι[viaa3s] κεφαλή[nafs] ὑπέρ[p] πᾶς[aanpn] ὁ[ddfs] ἐκκλησία[ndfs]. **v.23** ὅστις[rrnfs] εἰμί[vipx3s] ὁ[dnns] σῶμα[nnns] αὐτός[rpgms] ὁ[dnns] πλήρωμα[nnns] ὁ[dgns] πᾶς[aanpn] ἐν[p] πᾶς[adnpn] πληρόω[vppmgms]. **2. v.1** καί[c] σύ[rpa-p] εἰμί[vppxamp] νεκρός[aampn] ὁ[ddnp] παράπτωμα[ndnp] καί[c] ὁ[ddfp] ἁμαρτία[ndfp]. **v.2** ἐν[p] ὅς[rrdfp] ποτέ[xo] περιπατέω[viaa2p] κατά[p] ὁ[dams] αἰών[nams] ὁ[dgms] κόσμος[ngms] οὗτος[rdgms] κατά[p] ὁ[dams] ἄρχων[nams] ὁ[dgfs] ἐξουσία[ngfs] ὁ[dgms] ἀήρ[ngms] ὁ[dgns] πνεῦμα[ngns] ὁ[dgns] νῦν[bo] ἐνεργέω[vppagns] ἐν[p] ὁ[ddmp] υἱός[ndmp] ὁ[dgfs] ἀπείθεια[ngfs]. **v.3** ἐν[p] ὅς[rrdmp] καί[c] ἐγώ[rpn-p] πᾶς[anmpn] ἀναστρέφω[viap1p] ποτέ[xo] ἐν[p] ὁ[ddfp] ἐπιθυμία[ndfp] ὁ[dgfs] σάρξ[ngfs] ἐγώ[rpg-p] ποιέω[vppanmp] ὁ[danp] θέλημα[nanp] ὁ[dgfs] σάρξ[ngfs] καί[c] ὁ[dgfp] διάνοια[ngfp] καί[c] εἰμί[viix1p] τέκνον[nnnp] φύσις[ndfs] ὀργή[ngfs] ὡς[bo] καί[c] ὁ[dnmp] λοιπός[anmpn]. **v.4** ὁ[dnms] δέ[c] θεός[nnms] πλούσιος[anmsn] εἰμί[vppxnms] ἐν[p] ἔλεος[ndns] διά[p] ὁ[dafs] πολύς[aafsn] ἀγάπη[nafs] αὐτός[rpgms] ὅς[rrafs] ἀγαπάω[viaa3s] ἐγώ[rpa-p]. **v.5** καί[c] εἰμί[vppxamp] ἐγώ[rpa-p] νεκρός[aampn] ὁ[ddnp] παράπτωμα[ndnp] συζωοποιέω[viaa3s] ὁ[ddms] Χριστός[ndms] χάρις[ndfs] εἰμί[vipx2p] σῴζω[vpxpnmp]. **v.6** καί[c] συνεγείρω[viaa3s] καί[c] συγκαθίζω[viaa3s] ἐν[p] ὁ[ddnp] ἐπουράνιος[adnpn] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.7** ἵνα[c] ἐνδείκνυμι[vsam3s] ἐν[p] ὁ[ddmp] αἰών[ndmp] ὁ[ddmp] ἐπέρχομαι[vppndmp] ὁ[dams] ὑπερβάλλω[vppaams] πλοῦτος[nams] ὁ[dgfs] χάρις[ngfs] αὐτός[rpgms] ἐν[p] χρηστότης[ndfs] ἐπί[p] ἐγώ[rpa-p] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.8** ὁ[ddfs] γάρ[c] χάρις[ndfs] εἰμί[vipx2p] σῴζω[vpxpnmp] διά[p] ὁ[dgfs] πίστις[ngfs] καί[c] οὗτος[rdnns] οὐ[xo] ἐκ[p] σύ[rpg-p] θεός[ngms] ὁ[dnns] δῶρον[nnns]. **v.9** οὐ[xo] ἐκ[p] ἔργον[ngnp] ἵνα[c] μή[xo] τι-σρινμσ καυχάομαι[vsad3s]. **v.10** αὐτός[rpgms] γάρ[c] εἰμί[vipx1p] ποίημα[nnns] κτίζω[vpapnmp] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ἐπί[p] ἔργον[ndnp] ἀγαθός[adnpn] ὅς[rrdnp] προετοιμάζω[viaa3s] ὁ[dnms] θεός[nnms] ἵνα[c] ἐν[p] αὐτός[rpdnp] περιπατέω[vsaa1p].

περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκεί- 12
νῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ,
καὶ ξένοι τῶν διαθηκῶν, τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες,
καὶ ἄθεοι ἐν τῷ κόσμῳ. νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἵ ποτε 13
ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ. αὐ- 14
τὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ
μεσότοιχον τοῦ φραγμοῦ λύσας, τήν ἔχθραν ἐν τῇ σαρκί αὐ- 15
τοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν καταργήσας ἵνα τοὺς
δύο κτίσῃ ἐν ἑαὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην.
καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ 16
τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ, καὶ ἐλθὼν εὐ- 17
ηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς, ὅτι δἰ 18
αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ Πνεύματι
πρὸς τὸν πατέρα. ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, 19
ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδο- 20
μηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος
ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ 21
συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, ἐν ᾧ καὶ 22
ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύ-
ματι.

Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑ- **3**

---

v.11 διό^{c} μνημονεύω^{vdpa2p} ὅτι^{c} σύ$^{rpn-p}$ ποτέ^{xo} ὁ^{dnnp} ἔθνος^{nnnp} ἐν^{p} σάρξ^{ndfs} ὁ^{dnmp} λέγω^{vpppnmp} ἀκροβυστία^{nnfs} ὑπό^{p} ὁ^{dgfs} λέγω^{vpppgfs} περιτομή^{ngfs} ἐν^{p} σάρξ^{ndfs} χειροποίητος^{agfsn}. **v.12** ὅτι^{c} εἰμί^{viix2p} ἐν^{p} ὁ^{ddms} καιρός^{ndms} ἐκεῖνος^{rddms} χωρίς^{bo} Χριστός^{ngms} ἀπαλλοτριόω^{vpxpnmp} ὁ^{dgfs} πολιτεία^{ngfs} ὁ^{dgms} Ἰσραήλ^{tp} καί^{c} ξένος^{anmpn} ὁ^{dgfp} διαθήκη^{ngfp} ὁ^{dgfs} ἐπαγγελία^{ngfs} ἐλπίς^{nafs} μή^{xo} ἔχω^{vppanmp} καί^{c} ἄθεος^{anmpn} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms}. **v.13** νυνί^{bo} δέ^{c} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} σύ$^{rpn-p}$ ὁ^{dnmp} ποτέ^{xo} εἰμί^{vppxnmp} μακράν^{bo} ἐγγύς^{bo} γίνομαι^{viao2p} ἐν^{p} ὁ^{ddns} αἷμα^{ndns} ὁ^{dgms} Χριστός^{ngms}. **v.14** αὐτός^{rpnms} γάρ^{c} εἰμί^{vipx3s} ὁ^{dnfs} εἰρήνη^{nnfs} ἐγώ$^{rpg-p}$ ὁ^{dnms} ποιέω^{vpaanms} ὁ^{danp} ἀμφότεροι^{aanpn} εἷς^{nans} καί^{c} ὁ^{dans} μεσότοιχον^{nans} ὁ^{dgms} φραγμός^{ngms} λύω^{vpaanms}. **v.15** ὁ^{dafs} ἔχθρα^{nafs} ἐν^{p} ὁ^{ddfs} σάρξ^{ndfs} αὐτός^{rpgms} ὁ^{dams} νόμος^{nams} ὁ^{dgfp} ἐντολή^{ngfp} ἐν^{p} δόγμα^{ndnp} καταργέω^{vpaanms} ἵνα^{c} ὁ^{damp} δύο^{tn} κτίζω^{vsaa3s} ἐν^{p} ἑαυτοῦ^{rxdms} εἰς^{p} εἷς^{nams} καινός^{aamsn} ἄνθρωπος^{nams} ποιέω^{vppanms} εἰρήνη^{nafs}. **v.16** καί^{c} ἀποκαταλλάσσω^{vsaa3s} ὁ^{damp} ἀμφότεροι^{aampn} ἐν^{p} εἷς^{ndns} σῶμα^{ndns} ὁ^{ddms} θεός^{ndms} διά^{p} ὁ^{dgms} σταυρός^{ngms} ἀποκτείνω^{vpaanms} ὁ^{dafs} ἔχθρα^{nafs} ἐν^{p} αὐτός^{rpdms}. **v.17** καί^{c} ἔρχομαι^{vpaanms} εὐαγγελίζω^{viam3s} εἰρήνη^{nafs} σύ$^{rpd-p}$ ὁ^{ddmp} μακράν^{bo} καί^{c} ὁ^{ddmp} ἐγγύς^{bo}. **v.18** ὅτι^{c} διά^{p} αὐτός^{rpgms} ἔχω^{vipa1p} ὁ^{dafs} προσαγωγή^{nafs} ὁ^{dnmp} ἀμφότεροι^{anmpn} ἐν^{p} εἷς^{ndns} πνεῦμα^{ndns} πρός^{p} ὁ^{dams} πατήρ^{nams}. **v.19** ἄρα^{xo} οὖν^{c} οὐκέτι^{bo} εἰμί^{vipx2p} ξένος^{anmpn} καί^{c} πάροικος^{anmpn} ἀλλά^{c} συμπολίτης^{nnmp} ὁ^{dgmp} ἅγιος^{agmpn} καί^{c} οἰκεῖος^{anmpn} ὁ^{dgms} θεός^{ngms}. **v.20** ἐποικοδομέω^{vpapnmp} ἐπί^{p} ὁ^{ddms} θεμέλιον^{ndms} ὁ^{dgmp} ἀπόστολος^{ngmp} καί^{c} προφήτης^{ngmp} εἰμί^{vppxgms} ἀκρογωνιαῖος^{agmsn} αὐτός^{rpgms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.21** ἐν^{p} ὅς^{rrdms} πᾶς^{anfsn} ὁ^{dnfs} οἰκοδομή^{nnfs} συναρμολογέω^{vpppnfs} αὐξάνω^{vipa3s} εἰς^{p} ναός^{nams} ἅγιος^{aamsn} ἐν^{p} κύριος^{ndms}. **v.22** ἐν^{p} ὅς^{rrdms} καί^{c} σύ$^{rpn-p}$ συνοικοδομέω^{vipp2p} εἰς^{p} κατοικητήριον^{nnns} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} πνεῦμα^{ndns}.

2 πὲρ ὑμῶν τῶν ἐθνῶν, εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάρι-
3 τος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς. ὅτι κατὰ ἀποκάλυψιν
4 ἐγνωρισέ μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ, πρὸς
ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυ-
5 στηρίῳ τοῦ Χριστοῦ, ὃ ἐν ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς
υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστό-
6 λοις αὐτοῦ καὶ προφήταις ἐν Πνεύματι, εἶναι τὰ ἔθνη συγκλη-
ρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν
7 τῷ Χριστῷ, διὰ τοῦ εὐαγγελίου, οὗ ἐγενόμην διάκονος κατὰ
τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ τὴν δοθεῖσαν μοι κατὰ τὴν
8 ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ. ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων
τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι
9 τὸ ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας τίς
ἡ κοινωνία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώ-
10 νων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ, ἵνα
γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανί-
11 οις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. κατὰ
πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ
12 ἡμῶν, ἐν ᾧ ἔχομεν τὴν παρρησίαν καὶ τὴν προσαγωγὴν ἐν πε-
13 ποιθήσει, διὰ τῆς πίστεως αὐτοῦ. διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν
14 ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν. Τούτου

---

3. v.1 οὗτος[rdgns] χάριν[bo] ἐγώ[rpn-s] Παῦλος[nnms] ὁ[dnms] δέσμιος[nnms] ὁ[dgms] Χριστός[ngms] Ἰησοῦς[ngms] ὑπέρ[p] σύ[rpg-p] ὁ[dgnp] ἔθνος[ngnp]. **v.2** εἴ&γε[qo] ἀκούω[viaa2p] ὁ[dafs] οἰκονομία[nafs] ὁ[dgfs] χάρις[ngfs] ὁ[dgms] θεός[ngms] ὁ[dgfs] δίδωμι[vpapgfs] ἐγώ[rpd-s] εἰς[p] σύ[rpa-p]. **v.3** ὅτι[c] κατά[p] ἀποκάλυψις[nafs] γνωρίζω[viaa3s] ἐγώ[rpd-s] ὁ[dans] μυστήριον[nans] καθώς[bo] προγράφω[viaa1s] ἐν[p] ὀλίγος[admsn]. **v.4** πρός[p] ὅς[rrans] δύναμαι[vipn2p] ἀναγινώσκω[vppanmp] νοέω[vnaa] ὁ[dafs] σύνεσις[nafs] ἐγώ[rpg-s] ἐν[p] ὁ[ddns] μυστήριον[ndns] ὁ[dgms] Χριστός[ngms]. **v.5** ὅς[rrnns] ἐν[p] ἕτερος[adfpn] γενεά[ndfp] οὐ[xo] γνωρίζω[viap3s] ὁ[ddmp] υἱός[ndmp] ὁ[dgmp] ἄνθρωπος[ngmp] ὡς[bo] νῦν[bo] ἀποκαλύπτω[viap3s] ὁ[ddmp] ἅγιος[admpn] ἀπόστολος[ndmp] αὐτός[rpgms] καί[c] προφήτης[ndmp] ἐν[p] πνεῦμα[ndns]. **v.6** εἰμί[vnpx] ὁ[danp] ἔθνος[nanp] συγκληρονόμος[aanpn] καί[c] σύσσωμος[aanpn] καί[c] συμμέτοχος[aanpn] ὁ[dgfs] ἐπαγγελία[ngfs] αὐτός[rpgms] ἐν[p] ὁ[ddms] Χριστός[ndms] διά[p] ὁ[dgns] εὐαγγέλιον[ngns]. **v.7** ὅς[rrgns] γίνομαι[viad1s] διάκονος[nnms] κατά[p] ὁ[dafs] δωρεά[nafs] ὁ[dgfs] χάρις[ngfs] ὁ[dgms] θεός[ngms] ὁ[dafs] δίδωμι[vpapafs] ἐγώ[rpd-s] κατά[p] ὁ[dafs] ἐνέργεια[nafs] ὁ[dgfs] δύναμις[ngfs] αὐτός[rpgms]. **v.8** ἐγώ[rpd-s] ὁ[ddms] ἐλάχιστος[admsc] πᾶς[agmpn] ὁ[dgmp] ἅγιος[agmpn] δίδωμι[viap3s] ὁ[dnfs] χάρις[nnfs] οὗτος[rdnfs] ἐν[p] ὁ[ddnp] ἔθνος[ndnp] εὐαγγελίζω[vnam] ὁ[dams] ἀνεξιχνίαστος[aamsn] πλοῦτος[nams] ὁ[dgms] Χριστός[ngms]. **v.9** καί[c] φωτίζω[vnaa] πᾶς[aampn] τίς[rqnms] ὁ[dnfs] κοινωνία[nnfs] ὁ[dgns] μυστήριον[ngns] ὁ[dgns] ἀποκρύπτω[vpxpgns] ἀπό[p] ὁ[dgmp] αἰών[ngmp] ἐν[p] ὁ[ddms] θεός[ndms] ὁ[ddms] ὁ[danp] πᾶς[aanpn] κτίζω[vpaadms] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.10** ἵνα[c] γνωρίζω[vsap3s] νῦν[bo] ὁ[ddfp] ἀρχή[ndfp] καί[c] ὁ[ddfp] ἐξουσία[ndfp] ἐν[p] ὁ[ddnp] ἐπουράνιος[adnpn] διά[p] ὁ[dgfs] ἐκκλησία[ngfs] ὁ[dnfs] πολυποίκιλος[anmsn] σοφία[nnfs] ὁ[dgms] θεός[ngms]. **v.11** κατά[p] πρόθεσις[nafs] ὁ[dgmp] αἰών[ngmp] ὅς[rrafs] ποιέω[viaa3s] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὁ[ddms] κύριος[ndms] ἐγώ[rpg-p]. **v.12** ἐν[p] ὅς[rrdms] ἔχω[vipa1p] ὁ[dafs] παρρησία[nafs] καί[c] ὁ[dafs] προσαγωγή[nafs] ἐν[p] πεποίθησις[ndfs] διά[p] ὁ[dgfs] πίστις[ngfs] αὐτός[rpgms]. **v.13** διό[c] αἰτέω[vipm1s] μή[xo] ἐγκακέω[vnpa] ἐν[p] ὁ[ddfp] θλῖψις[ndfp] ἐγώ[rpg-s] ὑπέρ[p] σύ[rpg-p] ὅστις[rrnfs] εἰμί[vipx3s] δόξα[nnfs] σύ[rpg-p].

χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡ-
μῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ 15
γῆς ὀνομάζεται, ἵνα δῴη ὑμῖν, κατὰ τὸν πλοῦτον τῆς δόξης 16
αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς
τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν 17
ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι.
ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος 18
καὶ μῆκος καὶ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλου- 19
σαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν
τὸ πλήρωμα τοῦ Θεοῦ. Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι 20
ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν
τὴν ἐνεργουμένην ἐν ἡμῖν, αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ ἐν 21
Χριστῷ Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων.
ἀμήν.

Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ, ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περι- **4**
πατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφρο- 2
σύνης καὶ πρᾳότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων
ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν 3
τῷ συνδέσμῳ τῆς εἰρήνης. ἓν σῶμα καὶ ἓν Πνεῦμα, καθὼς 4
καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν, εἷς Κύριος, 5
μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ 6
πάντων καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν. ἑνὶ δὲ ἑκάστῳ ἡ- 7

---

v.14 οὗτος[rdgns] χάριν[bo] κάμπτω[vipa1s] ὁ[danp] γόνυ[nanp] ἐγώ[rpg-s] πρός[p] ὁ[dams] πατήρ[nams] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.15** ἐκ[p] ὅς[rrgms] πᾶς[anfsn] πατριά[nnfs] ἐν[p] οὐρανός[ndmp] καί[c] ἐπί[p] γῆ[ngfs] ὀνομάζω[vipp3s]. **v.16** ἵνα[c] δίδωμι[vsaa3s] σύ[rpd-p] κατά[p] ὁ[dams] πλοῦτος[nams] ὁ[dgfs] δόξα[ngfs] αὐτός[rpgms] δύναμις[ndfs] κραταιόω[vnap] διά[p] ὁ[dgns] πνεῦμα[ngns] αὐτός[rpgms] εἰς[p] ὁ[dams] ἔσω[bo] ἄνθρωπος[nams]. **v.17** κατοικέω[vnaa] ὁ[dams] Χριστός[nams] διά[p] ὁ[dgfs] πίστις[ngfs] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] σύ[rpg-p] ἐν[p] ἀγάπη[ndfs] ῥιζόω[vpxpnmp] καί[c] θεμελιόω[vpxpnmp]. **v.18** ἵνα[c] ἐξισχύω[vsaa2p] καταλαμβάνω[vnam] σύν[p] πᾶς[admpn] ὁ[ddmp] ἅγιος[admpn] τίς[rqnns] ὁ[dnns] πλάτος[nnns] καί[c] μῆκος[nnns] καί[c] βάθος[nnns] καί[c] ὕψος[nnns]. **v.19** γινώσκω[vnaa] τέ[xo] ὁ[dafs] ὑπερβάλλω[vppaafs] ὁ[dgfs] γνῶσις[ngfs] ἀγάπη[nafs] ὁ[dgms] Χριστός[ngms] ἵνα[c] πληρόω[vsap2p] εἰς[p] πᾶς[aansn] ὁ[dans] πλήρωμα[nans] ὁ[dgms] θεός[ngms]. **v.20** ὁ[ddms] δέ[c] δύναμαι[vppndms] ὑπέρ[p] πᾶς[aanpn] ποιέω[vnaa] ὑπέρ[p] ἐκ[p] περισσός[agnsn] ὅς[rrgnp] αἰτέω[vipm1p] ἤ[xo] νοέω[vipa1p] κατά[p] ὁ[dafs] δύναμις[nafs] ὁ[dafs] ἐνεργέω[vppmafs] ἐν[p] ἐγώ[rpd-p]. **v.21** αὐτός[rpdms] ὁ[dnfs] δόξα[nnfs] ἐν[p] ὁ[ddfs] ἐκκλησία[ndfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] εἰς[p] πᾶς[aafpn] ὁ[dafp] γενεά[nafp] ὁ[dgms] αἰών[ngms] ὁ[dgmp] αἰών[ngmp] ἀμήν[th]. **4. v.1** παρακαλέω[vipa1s] οὖν[c] σύ[rpa-p] ἐγώ[rpn-s] ὁ[dnms] δέσμιος[nnms] ἐν[p] κύριος[ndms] ἀξίως[bo] περιπατέω[vnaa] ὁ[dgfs] κλῆσις[ngfs] ὅς[rrgfs] καλέω[viap2p]. **v.2** μετά[p] πᾶς[agfsn] ταπεινοφροσύνη[ngfs] καί[c] πραΰτης[ngfs] μετά[p] μακροθυμία[ngfs] ἀνέχω[vppnnmp] ἀλλήλων[regmp] ἐν[p] ἀγάπη[ndfs]. **v.3** σπουδάζω[vppanmp] τηρέω[vnpa] ὁ[dafs] ἑνότης[nafs] ὁ[dgns] πνεῦμα[ngns] ἐν[p] ὁ[ddms] σύνδεσμος[ndms] ὁ[dgfs] εἰρήνη[ngfs]. **v.4** εἷς[nnns] σῶμα[nnns] καί[c] εἷς[nnns] πνεῦμα[nnns] καθώς[bo] καί[c] καλέω[viap2p] ἐν[p] εἷς[ndfs] ἐλπίς[ndfs] ὁ[dgfs] κλῆσις[ngfs] σύ[rpg-p]. **v.5** εἷς[nnms] κύριος[nnms] εἷς[nnfs] πίστις[nnfs] εἷς[nnns] βάπτισμα[nnns]. **v.6** εἷς[nnms] θεός[nnms] καί[c] πατήρ[nnms] πᾶς[agmpn] ὁ[dnms] ἐπί[p] πᾶς[agmpn] καί[c] διά[p] πᾶς[agmpn] καί[c] ἐν[p] πᾶς[admpn] σύ[rpd-p].

μῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.
8 διὸ λέγει, Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ
9 ἔδωκε, δόματα τοῖς ἀνθρώποις. τὸ δὲ, Ἀνέβη, τί ἐστιν εἰ μὴ
10 ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς· ὁ κα-
ταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν,
11 ἵνα πληρώσῃ τὰ πάντα. καὶ αὐτὸς ἔδωκε τοὺς μὲν, ἀποστό-
λους, τοὺς δὲ, προφήτας, τοὺς δὲ, εὐαγγελιστάς, τοὺς δὲ, ποι-
12 μένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς
13 ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέ-
χρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ
τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέ-
14 τρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν
νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς δι-
δασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν
15 μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν
16 εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, ὁ Χριστός, ἐξ οὗ πᾶν
τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης
ἁφῆς τῆς ἐπιχορηγίας, κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου
μέρους, τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυ-
17 τοῦ ἐν ἀγάπῃ. Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ,
μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ

---

v.7 εἷς[ndms] δέ[c] ἕκαστος[admsn] ἐγώ[rpg-p] δίδωμι[viap3s] ὁ[dnfs] χάρις[nnfs] κατά[p] ὁ[dans] μέτρον[nans] ὁ[dgfs] δωρεά[ngfs] ὁ[dgms] Χριστός[ngms]. **v.8** διό[c] λέγω[vipa3s] ἀναβαίνω[vpaanms] εἰς[p] ὕψος[nans] αἰχμαλωτεύω[viaa3s] αἰχμαλωσία[nafs] καί[c] δίδωμι[viaa3s] δόμα[nanp] ὁ[ddmp] ἄνθρωπος[ndmp]. **v.9** ὁ[dnns] δέ[c] ἀναβαίνω[viaa3s] τίς[rqnns] εἰμί[vipx3s] εἰ[qo] μή[xo] ὅτι[c] καί[c] καταβαίνω[viaa3s] πρῶτος[bo] εἰς[p] ὁ[danp] κατώτερος[aanpc] μέρος[nanp] ὁ[dgfs] γῆ[ngfs]. **v.10** ὁ[dnms] καταβαίνω[vpaanms] αὐτός[rpnms] εἰμί[vipx3s] καί[c] ὁ[dnms] ἀναβαίνω[vpaanms] ὑπεράνω[bo] πᾶς[agmpn] ὁ[dgmp] οὐρανός[ngmp] ἵνα[c] πληρόω[vsaa3s] ὁ[danp] πᾶς[aanpn]. **v.11** καί[c] αὐτός[rpnms] δίδωμι[viaa3s] ὁ[damp] μέν[xo] ἀπόστολος[namp] ὁ[damp] δέ[c] προφήτης[namp] ὁ[damp] δέ[c] εὐαγγελιστής[namp] ὁ[damp] δέ[c] ποιμήν[namp] καί[c] διδάσκαλος[namp]. **v.12** πρός[p] ὁ[dams] καταρτισμός[nams] ὁ[dgmp] ἅγιος[agmpn] εἰς[p] ἔργον[nans] διακονία[ngfs] εἰς[p] οἰκοδομή[nafs] ὁ[dgns] σῶμα[ngns] ὁ[dgms] Χριστός[ngms]. **v.13** μέχρι[bo] καταντάω[vsaa1p] ὁ[dnmp] πᾶς[anmpn] εἰς[p] ὁ[dafs] ἑνότης[nafs] ὁ[dgfs] πίστις[ngfs] καί[c] ὁ[dgfs] ἐπίγνωσις[ngfs] ὁ[dgms] υἱός[ngms] ὁ[dgms] θεός[ngms] εἰς[p] ἀνήρ[nams] τέλειος[aamsn] εἰς[p] μέτρον[nans] ἡλικία[ngfs] ὁ[dgns] πλήρωμα[ngns] ὁ[dgms] Χριστός[ngms]. **v.14** ἵνα[c] μηκέτι[bo] εἰμί[vspx1p] νήπιος[anmpn] κλυδωνίζομαι[vppnnmp] καί[c] περιφέρω[vpppnmp] πᾶς[admsn] ἄνεμος[ndms] ὁ[dgfs] διδασκαλία[ngfs] ἐν[p] ὁ[ddfs] κυβεία[ndfs] ὁ[dgmp] ἄνθρωπος[ngmp] ἐν[p] πανουργία[ndfs] πρός[p] ὁ[dafs] μεθοδεία[nafs] ὁ[dgfs] πλάνη[ngfs]. **v.15** ἀληθεύω[vppanmp] δέ[c] ἐν[p] ἀγάπη[ndfs] αὐξάνω[vsaa1p] εἰς[p] αὐτός[rpams] ὁ[danp] πᾶς[aanpn] ὅς[rrnms] εἰμί[vipx3s] ὁ[dnfs] κεφαλή[nnfs] ὁ[dnms] Χριστός[nnms]. **v.16** ἐκ[p] ὅς[rrgms] πᾶς[annsn] ὁ[dnns] σῶμα[nnns] συναρμολογέω[vpppnns] καί[c] συμβιβάζω[vpppnns] διά[p] πᾶς[agfsn] ἁφή[ngfs] ὁ[dgfs] ἐπιχορηγία[ngfs] κατά[p] ἐνέργεια[nafs] ἐν[p] μέτρον[ndns] εἷς[ngms] ἕκαστος[agmsn] μέρος[ngns] ὁ[dafs] αὔξησις[nafs] ὁ[dgns] σῶμα[ngns] ποιέω[vipm3s] εἰς[p] οἰκοδομή[nafs] ἑαυτοῦ[rxgms] ἐν[p] ἀγάπη[ndfs].

ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες 18
ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν
ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, οἵτινες ἀπηλ- 19
γηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκα-
θαρσίας πάσης ἐν πλεονεξίᾳ. ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν 20
Χριστόν, εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς 21
ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς, κατὰ τὴν προ- 22
τέραν ἀναστροφὴν, τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον
κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ τῷ πνεύματι 23
τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κα- 24
τὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.
Διὸ ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ 25
πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. ὀργίζεσθε καὶ μὴ 26
ἁμαρτάνετε, ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν,
μήτε δίδοτε τόπον τῷ διαβόλῳ. ὁ κλέπτων μηκέτι κλεπτέτω, 27, 28
μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθόν ταῖς χερσὶν, ἵνα
ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. πᾶς λόγος σαπρὸς ἐκ τοῦ 29
στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλ᾽λ εἴ τις ἀγαθὸς πρὸς οἰκο-
δομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. καὶ μὴ λυπεῖτε 30
τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν
ἀπολυτρώσεως. πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ 31

---

αὐτοῦ ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ. τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν 20
ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Ἀσπάσασθε πάντα 21
ἅγιον ἐν Χριστῷ Ἰησοῦ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.
ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσα- 22
ρος οἰκίας. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ 23
πάντων υμῶν. ἀμην. πρός Φιλιππησίους ἐγράφη ἀπό Ῥώμης
δι' Ἐπαφροδίτου.

---

v.18 ἀπέχω[vipa1s] δέ[c] πᾶς[aanpn] καί[c] περισσεύω[vipa1s] πληρόω[vixp1s] δέχομαι[vpadnms] παρά[p] Ἐπαφρόδιτος[ngms] ὁ[danp] παρά[p] σύ[rpg-p] ὀσμή[nafs] εὐωδία[ngfs] θυσία[nafs] δεκτός[aafsn] εὐάρεστος[aafsn] ὁ[ddms] θεός[ndms]. **v.19** ὁ[dnms] δέ[c] θεός[nnms] ἐγώ[rpg-s] πληρόω[vifa3s] πᾶς[aafsn] χρεία[nafs] σύ[rpg-p] κατά[p] ὁ[dams] πλοῦτος[nams] αὐτός[rpgms] ἐν[p] δόξα[ndfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.20** ὁ[ddms] δέ[c] θεός[ndms] καί[c] πατήρ[ndms] ἐγώ[rpg-p] ὁ[dnfs] δόξα[nnfs] εἰς[p] ὁ[damp] αἰών[namp] ὁ[dgmp] αἰών[ngmp] ἀμήν[th]. **v.21** ἀσπάζομαι[vdad2p] πᾶς[aamsn] ἅγιος[aamsn] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ἀσπάζομαι[vipn3p] σύ[rpa-p] ὁ[dnmp] σύν[p] ἐγώ[rpd-s] ἀδελφός[nnmp]. **v.22** ἀσπάζομαι[vipn3p] σύ[rpa-p] πᾶς[anmpn] ὁ[dnmp] ἅγιος[anmpn] μάλιστα[bo] δέ[c] ὁ[dnmp] ἐκ[p] ὁ[dgfs] Καῖσαρ[ngms] οἰκία[ngfs]. **v.23** ὁ[dnfs] χάρις[nnfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] μετά[p] πᾶς[agmpn] σύ[rpg-p] ἀμήν[th] πρός[p] Φιλιππήσιος[namp] γράφω[viap3s] ἀπό[p] Ῥώμη[ngfs] διά[p] Ἐπαφρόδιτος[ngms].

Η ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

1 Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ
2 Τιμόθεος ὁ ἀδελφὸς, τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀ-
δελφοῖς ἐν Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς
3 ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστοῦμεν τῷ Θεῷ
καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πάντοτε περὶ ὑ-
4 μῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ
5 Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, διὰ τὴν ἐλ-
πίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε
6 ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου, τοῦ παρόντος εἰς
ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἐστὶ καρποφορούμε-
νον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε
7 τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ, καθὼς καί ἐμάθετε ἀπὸ Ἐπα-
φρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν
8 διάκονος τοῦ Χριστοῦ, ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην
9 ἐν Πνεύματι. Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν,
οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα
πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ
10 καὶ συνέσει πνευματικῇ, περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου
εἰς πᾶσαν ἀρεσκείαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες

---

1. v.1 Παῦλος[nnms] ἀπόστολος[nnms] Ἰησοῦς[ngms] Χριστός[ngms] διά[p] θέλημα[ngns] θεός[ngms] καί[c] Τιμόθεος[nnms] ὁ[dnms] ἀδελφός[nnms]. **v.2** ὁ[ddmp] ἐν[p] Κολοσσαί[ndfp] ἅγιος[admpn] καί[c] πιστός[admpn] ἀδελφός[ndmp] ἐν[p] Χριστός[ndms] χάρις[nnfs] σύ[rpd-p] καί[c] εἰρήνη[nnfs] ἀπό[p] θεός[ngms] πατήρ[ngms] ἐγώ[rpg-p] καί[c] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.3** εὐχαριστέω[vipa1p] ὁ[ddms] θεός[ndms] καί[c] πατήρ[ndms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] πάντοτε[bo] περί[p] σύ[rpg-p] προσεύχομαι[vppnnmp]. **v.4** ἀκούω[vpaanmp] ὁ[dafs] πίστις[nafs] σύ[rpg-p] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] καί[c] ὁ[dafs] ἀγάπη[nafs] ὁ[dafs] εἰς[p] πᾶς[aampn] ὁ[damp] ἅγιος[aampn]. **v.5** διά[p] ὁ[dafs] ἐλπίς[nafs] ὁ[dafs] ἀπόκειμαι[vppnafs] σύ[rpd-p] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] ὅς[rrafs] προακούω[viaa2p] ἐν[p] ὁ[ddms] λόγος[ndms] ὁ[dgfs] ἀλήθεια[ngfs] ὁ[dgns] εὐαγγέλιον[ngns]. **v.6** ὁ[dgns] πάρειμι[vppxgns] εἰς[p] σύ[rpa-p] καθώς[bo] καί[c] ἐν[p] πᾶς[admsn] ὁ[ddms] κόσμος[ndms] καί[c] εἰμί[vipx3s] καρποφορέω[vppmnns] καθώς[bo] καί[c] ἐν[p] σύ[rpd-p] ἀπό[p] ὅς[rrgfs] ἡμέρα[ngfs] ἀκούω[viaa2p] καί[c] ἐπιγινώσκω[viaa2p] ὁ[dafs] χάρις[nafs] ὁ[dgms] θεός[ngms] ἐν[p] ἀλήθεια[ndfs]. **v.7** καθώς[bo] καί[c] μανθάνω[viaa2p] ἀπό[p] Ἐπαφρᾶς[ngms] ὁ[dgms] ἀγαπητός[agmsn] σύνδουλος[ngms] ἐγώ[rpg-p] ὅς[rrnms] εἰμί[vipx3s] πιστός[anmsn] ὑπέρ[p] σύ[rpg-p] διάκονος[nnms] ὁ[dgms] Χριστός[ngms]. **v.8** ὁ[dnms] καί[c] δηλόω[vpaanms] ἐγώ[rpd-p] ὁ[dafs] σύ[rpg-p] ἀγάπη[nafs] ἐν[p] πνεῦμα[ndns]. **v.9** διά[p] οὗτος[rdans] καί[c] ἐγώ[rpn-p] ἀπό[p] ὅς[rrgfs] ἡμέρα[ngfs] ἀκούω[viaa1p] οὐ[xo] παύω[vipm1p] ὑπέρ[p] σύ[rpg-p] προσεύχομαι[vppnnmp] καί[c] αἰτέω[vppmnmp] ἵνα[c] πληρόω[vsap2p] ὁ[dafs] ἐπίγνωσις[nafs] ὁ[dgns] θέλημα[ngns] αὐτός[rpgms] ἐν[p] πᾶς[adfsn] σοφία[ndfs] καί[c] σύνεσις[ndfs] πνευματικός[adfsn].

καὶ αὐξανόμενοι εἰς τὴν ἐπιγνώσιν τοῦ Θεοῦ, ἐν πάσῃ δυνά- 11
μει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν
ὑπομονὴν καὶ μακροθυμίαν, μετὰ χαρᾶς, εὐχαριστοῦντες τῷ 12
πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων
ἐν τῷ φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, 13
καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ,
ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄ- 14
φεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, 15
πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ 16
ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα,
εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα
δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων, 17
καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. καὶ αὐτός ἐστιν ἡ κεφα- 18
λὴ τοῦ σώματος, τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχή, πρωτότοκος
ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, ὅτι ἐν 19
αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι᾽ αὐτοῦ 20
ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵ-
ματος τοῦ σταυροῦ αὐτοῦ, δι᾽ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε
τὰ ἐν τοῖς οὐρανοῖς. καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους 21
καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνί δέ
ἀποκατήλλαξεν. ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θα- 22

---

v.10 περιπατέω[vnaa] σύ[rpa-p] ἀξίως[bo] ὁ[dgms] κύριος[ngms] εἰς[p] πᾶς[aafsn] ἀρεσκεία[nafs] ἐν[p] πᾶς[adnsn] ἔργον[ndns] ἀγαθός[adnsn] καρποφορέω[vppanmp] καί[c] αὐξάνω[vpppnmp] εἰς[p] ὁ[dafs] ἐπίγνωσις[nafs] ὁ[dgms] θεός[ngms]. **v.11** ἐν[p] πᾶς[adfsn] δύναμις[ndfs] δυναμόω[vpppnmp] κατά[p] ὁ[dans] κράτος[nans] ὁ[dgfs] δόξα[ngfs] αὐτός[rpgms] εἰς[p] πᾶς[aafsn] ὑπομονή[nafs] καί[c] μακροθυμία[nafs] μετά[p] χαρά[ngfs]. **v.12** εὐχαριστέω[vppanmp] ὁ[ddms] πατήρ[ndms] ὁ[ddms] ἱκανόω[vpaadms] ἐγώ[rpa-p] εἰς[p] ὁ[dafs] μερίς[nafs] ὁ[dgms] κλῆρος[ngms] ὁ[dgmp] ἅγιος[agmpn] ἐν[p] ὁ[ddns] φῶς[ndns]. **v.13** ὅς[rrnms] ῥύομαι[vian3s] ἐγώ[rpa-p] ἐκ[p] ὁ[dgfs] ἐξουσία[ngfs] ὁ[dgns] σκότος[ngns] καί[c] μεθίστημι[viaa3s] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] υἱός[ngms] ὁ[dgfs] ἀγάπη[ngfs] αὐτός[rpgms]. **v.14** ἐν[p] ὅς[rrdms] ἔχω[vipa1p] ὁ[dafs] ἀπολύτρωσις[nafs] διά[p] ὁ[dgns] αἷμα[ngns] αὐτός[rpgms] ὁ[dafs] ἄφεσις[nafs] ὁ[dgfp] ἁμαρτία[ngfp]. **v.15** ὅς[rrnms] εἰμί[vipx3s] εἰκών[nnfs] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ἀόρατος[agmsn] πρωτότοκος[anmsn] πᾶς[agfsn] κτίσις[ngfs]. **v.16** ὅτι[c] ἐν[p] αὐτός[rpdms] κτίζω[viap3s] ὁ[dnnp] πᾶς[annpn] ὁ[dnnp] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] καί[c] ὁ[dnnp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ὁ[dnnp] ὁρατός[annpn] καί[c] ὁ[dnnp] ἀόρατος[annpn] εἴτε[c] θρόνος[nnmp] εἴτε[c] κυριότης[nnfp] εἴτε[c] ἀρχή[nnfp] εἴτε[c] ἐξουσία[nnfp] ὁ[dnnp] πᾶς[annpn] διά[p] αὐτός[rpgms] καί[c] εἰς[p] αὐτός[rpams] κτίζω[vixp3s]. **v.17** καί[c] αὐτός[rpnms] εἰμί[vipx3s] πρό[p] πᾶς[agmpn] καί[c] ὁ[dnnp] πᾶς[annpn] ἐν[p] αὐτός[rpdms] συνίστημι[vixa3s]. **v.18** καί[c] αὐτός[rpnms] εἰμί[vipx3s] ὁ[dnfs] κεφαλή[nnfs] ὁ[dgns] σῶμα[ngns] ὁ[dgfs] ἐκκλησία[ngfs] ὅς[rrnms] εἰμί[vipx3s] ἀρχή[nnfs] πρωτότοκος[anmsn] ἐκ[p] ὁ[dgmp] νεκρός[agmpn] ἵνα[c] γίνομαι[vsad3s] ἐν[p] πᾶς[adnpn] αὐτός[rpnms] πρωτεύω[vppanms]. **v.19** ὅτι[c] ἐν[p] αὐτός[rpdms] εὐδοκέω[viaa3s] πᾶς[annsn] ὁ[dnns] πλήρωμα[nnns] κατοικέω[vnaa]. **v.20** καί[c] διά[p] αὐτός[rpgms] ἀποκαταλλάσσω[vnaa] ὁ[danp] πᾶς[aanpn] εἰς[p] αὐτός[rpams] εἰρηνοποιέω[vpaanms] διά[p] ὁ[dgns] αἷμα[ngns] ὁ[dgms] σταυρός[ngms] αὐτός[rpgms] διά[p] αὐτός[rpgms] εἴτε[c] ὁ[danp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] εἴτε[c] ὁ[danp] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp]. **v.21** καί[c] σύ[rpa-p] ποτέ[xo] εἰμί[vppxamp] ἀπαλλοτριόω[vpxpamp] καί[c] ἐχθρός[aampn] ὁ[ddfs] διάνοια[ndfs] ἐν[p] ὁ[ddnp] ἔργον[ndnp] ὁ[ddnp] πονηρός[adnpn] νυνί[bo] δέ[c] ἀποκαταλλάσσω[viaa3s].

νάτου παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους
23 κατενώπιον αὐτοῦ. εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι
καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐ-
αγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ
24 ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Ὅς
νῦν χαίρω ἐν τοῖς παθήμασι μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπλη-
ρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου
25 ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, ἧς ἐγενόμην
ἐγὼ διάκονος, κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι
26 εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ, τὸ μυστήριον τὸ ἀ-
ποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ
27 ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι
τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν,
28 ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλ-
λομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα
ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον
29 τέλειον ἐν Χριστῷ Ἰησοῦ, εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ
τὴν ἐνέργειαν αὐτοῦ, τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.
2 Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν καὶ τῶν
ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑώρακασι τὸ πρόσωπόν μου ἐν σαρ-
2 κί, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν
ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως,

---

v.22 ἐν[p] ὁ[ddns] σῶμα[ndns] ὁ[dgfs] σάρξ[ngfs] αὐτός[rpgms] διά[p] ὁ[dgms] θάνατος[ngms] παρίστημι[vnaa] σύ[rpa-p] ἅγιος[aampn] καί[c] ἄμωμος[aampn] καί[c] ἀνέγκλητος[aampn] κατενώπιον[p] αὐτός[rpgms]. **v.23** εἴ&γε[qo] ἐπιμένω[vipa2p] ὁ[ddfs] πίστις[ndfs] θεμελιόω[vpxpnmp] καί[c] ἑδραῖος[anmpn] καί[c] μή[xo] μετακινέω[vpppnmp] ἀπό[p] ὁ[dgfs] ἐλπίς[ngfs] ὁ[dgns] εὐαγγέλιον[ngns] ὅς[rrgns] ἀκούω[viaa2p] ὁ[dgns] κηρύσσω[vpapgns] ἐν[p] πᾶς[adfsn] ὁ[ddfs] κτίσις[ndfs] ὁ[ddfs] ὑπό[p] ὁ[dams] οὐρανός[nams] ὅς[rrgns] γίνομαι[viad1s] ἐγώ[rpn-s] Παῦλος[nnms] διάκονος[nnms]. **v.24** ὅς[rrnms] νῦν[bo] χαίρω[vipa1s] ἐν[p] ὁ[ddnp] πάθημα[ndnp] ἐγώ[rpg-s] ὑπέρ[p] σύ[rpg-p] καί[c] ἀνταναπληρόω[vipa1s] ὁ[danp] ὑστέρημα[nanp] ὁ[dgfp] θλῖψις[ngfp] ὁ[dgms] Χριστός[ngms] ἐν[p] ὁ[ddfs] σάρξ[ndfs] ἐγώ[rpg-s] ὑπέρ[p] ὁ[dgns] σῶμα[ngns] αὐτός[rpgms] ὅς[rrnns] εἰμί[vipx3s] ὁ[dnfs] ἐκκλησία[nnfs]. **v.25** ὅς[rrgfs] γίνομαι[viad1s] ἐγώ[rpn-s] διάκονος[nnms] κατά[p] ὁ[dafs] οἰκονομία[nafs] ὁ[dgms] θεός[ngms] ὁ[dafs] δίδωμι[vpapafs] ἐγώ[rpd-s] εἰς[p] σύ[rpa-p] πληρόω[vnaa] ὁ[dams] λόγος[nams] ὁ[dgms] θεός[ngms]. **v.26** ὁ[dans] μυστήριον[nans] ὁ[dans] ἀποκρύπτω[vpxpans] ἀπό[p] ὁ[dgmp] αἰών[ngmp] καί[c] ἀπό[p] ὁ[dgfp] γενεά[ngfp] νυνί[bo] δέ[c] φανερόω[viap3s] ὁ[ddmp] ἅγιος[admpn] αὐτός[rpgms]. **v.27** ὅς[rrdmp] θέλω[viaa3s] ὁ[dnms] θεός[nnms] γνωρίζω[vnaa] τίς[rqnms] ὅς[dnms] πλοῦτος[nnms] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgns] μυστήριον[ngns] οὗτος[rdgns] ἐν[p] ὁ[ddnp] ἔθνος[ndnp] ὅς[rrnms] εἰμί[vipx3s] Χριστός[nnms] ἐν[p] σύ[rpd-p] ὁ[dnfs] ἐλπίς[nnfs] ὁ[dgfs] δόξα[ngfs]. **v.28** ὅς[rrams] ἐγώ[rpn-p] καταγγέλλω[vipa1p] νουθετέω[vppanmp] πᾶς[aamsn] ἄνθρωπος[nams] καί[c] διδάσκω[vppanmp] πᾶς[aamsn] ἄνθρωπος[nams] ἐν[p] πᾶς[adfsn] σοφία[ndfs] ἵνα[c] παρίστημι[vsaa1p] πᾶς[aamsn] ἄνθρωπος[nams] τέλειος[aamsn] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.29** εἰς[p] ὅς[rrans] καί[c] κοπιάω[vipa1s] ἀγωνίζομαι[vppnnms] κατά[p] ὁ[dafs] ἐνέργεια[nafs] αὐτός[rpgms] ὁ[dafs] ἐνεργέω[vppmafs] ἐν[p] ἐγώ[rpd-s] ἐν[p] δύναμις[ndfs]. **2. v.1** θέλω[vipa1s] γάρ[c] σύ[rpa-p] οἶδα[vnxa] ἡλίκος[aamsn] ἀγών[nams] ἔχω[vipa1s] περί[p] σύ[rpg-p] καί[c] ὁ[dgmp] ἐν[p] Λαοδίκεια[ndfs] καί[c] ὅσος[rcnmp] οὐ[xo] ὁράω[vixa3p] ὁ[dans] πρόσωπον[nans] ἐγώ[rpg-s] ἐν[p] σάρξ[ndfs].

εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ πατρὸς καὶ τοῦ Χρι-
στοῦ, ἐν ᾧ εἰσὶ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως 3
ἀπόκρυφοι. τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν 4
πιθανολογίᾳ. εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι 5
σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στε-
ρέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. Ὡς οὖν παρελάβετε τὸν 6
Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, ἐρριζωμένοι 7
καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει,
καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. βλέ- 8
πετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ
κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ
στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν, ὅτι ἐν αὐτῷ κατοι- 9
κεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ 10
πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας,
ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύ- 11
σει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ
Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνη- 12
γέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραντος
αὐτὸν ἐκ τῶν νεκρῶν. καὶ ὑμᾶς νεκροὺς ὄντας ἐν τοῖς παρα- 13
πτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησε

---

v.2 ἵνα[c] παρακαλέω[vsap3p] ὁ[dnfp] καρδία[nnfp] αὐτός[rpgmp] συμβιβάζω[vpapgmp] ἐν[p] ἀγάπη[ndfs] καί[c] εἰς[p] πᾶς[aamsn] πλοῦτος[nams] ὁ[dgfs] πληροφορία[ngfs] ὁ[dgfs] σύνεσις[ngfs] εἰς[p] ἐπίγνωσις[nafs] ὁ[dgns] μυστήριον[ngns] ὁ[dgms] θεός[ngms] καί[c] πατήρ[ngms] καί[c] ὁ[dgms] Χριστός[ngms]. **v.3** ἐν[p] ὅς[rrdms] εἰμί[vipx3p] πᾶς[anmpn] ὁ[dnmp] θησαυρός[nnmp] ὁ[dgfs] σοφία[ngfs] καί[c] ὁ[dgfs] γνῶσις[ngfs] ἀπόκρυφος[anmpn]. **v.4** οὗτος[rdans] δέ[c] λέγω[vipa1s] ἵνα[c] μή[xo] τίς[rinms] σύ[rpa-p] παραλογίζομαι[vspn3s] ἐν[p] πιθανολογία[ndfs]. **v.5** εἰ[qo] γάρ[c] καί[c] ὁ[ddfs] σάρξ[ndfs] ἄπειμι[vipx1s] ἀλλά[c] ὁ[ddns] πνεῦμα[ndns] σύν[p] σύ[rpd-p] εἰμί[vipx1s] χαίρω[vppanms] καί[c] βλέπω[vppanms] σύ[rpg-p] ὁ[dafs] τάξις[nafs] καί[c] ὁ[dans] στερέωμα[nans] ὁ[dgfs] εἰς[p] Χριστός[nams] πίστις[ngfs] σύ[rpg-p]. **v.6** ὡς[bo] οὖν[c] παραλαμβάνω[viaa2p] ὁ[dams] Χριστός[nams] Ἰησοῦς[nams] ὁ[dams] κύριος[nams] ἐν[p] αὐτός[rpdms] περιπατέω[vdpa2p]. **v.7** ῥιζόω[vpxpnmp] καί[c] ἐποικοδομέω[vpppnmp] ἐν[p] αὐτός[rpdms] καί[c] βεβαιόω[vpppnmp] ἐν[p] ὁ[ddfs] πίστις[ndfs] καθώς[bo] διδάσκω[viap2p] περισσεύω[vppanmp] ἐν[p] αὐτός[rpdfs] ἐν[p] εὐχαριστία[ndfs]. **v.8** βλέπω[vdpa2p] μή[xo] τι-σρινμσ σύ[rpa-p] εἰμί[vifx3s] ὁ[dnms] συλαγωγέω[vppanms] διά[p] ὁ[dgfs] φιλοσοφία[ngfs] καί[c] κενός[agfsn] ἀπάτη[ngfs] κατά[p] ὁ[dafs] παράδοσις[nafs] ὁ[dgmp] ἄνθρωπος[ngmp] κατά[p] ὁ[danp] στοιχεῖον[nanp] ὁ[dgms] κόσμος[ngms] καί[c] οὐ[xo] κατά[p] Χριστός[nams]. **v.9** ὅτι[c] ἐν[p] αὐτός[rpdms] κατοικέω[vipa3s] πᾶς[annsn] ὁ[dnns] πλήρωμα[nnns] ὁ[dgfs] θεότης[ngfs] σωματικῶς[bo]. **v.10** καί[c] εἰμί[vipx2p] ἐν[p] αὐτός[rpdms] πληρόω[vpxpnmp] ὅς[rrnms] εἰμί[vipx3s] ὁ[dnfs] κεφαλή[nnfs] πᾶς[agfsn] ἀρχή[ngfs] καί[c] ἐξουσία[ngfs]. **v.11** ἐν[p] ὅς[rrdms] καί[c] περιτέμνω[viap2p] περιτομή[ndfs] ἀχειροποίητος[adfsn] ἐν[p] ὁ[ddfs] ἀπέκδυσις[ndfs] ὁ[dgns] σῶμα[ngns] ὁ[dgfp] ἁμαρτία[ngfp] ὁ[dgfs] σάρξ[ngfs] ἐν[p] ὁ[ddfs] περιτομή[ndfs] ὁ[dgms] Χριστός[ngms]. **v.12** συνθάπτω[vpapnmp] αὐτός[rpdms] ἐν[p] ὁ[ddns] βάπτισμα[ndns] ἐν[p] ὅς[rrdms] καί[c] συνεγείρω[viap2p] διά[p] ὁ[dgfs] πίστις[ngfs] ὁ[dgfs] ἐνέργεια[ngfs] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ἐγείρω[vpaagms] αὐτός[rpams] ἐκ[p] ὁ[dgmp] νεκρός[agmpn].

14 σὺν αὐτῷ, χαρισάμενος ὑμῖν πάντα τὰ παραπτώματα, ἐξαλεί-
ψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον
ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυ-
15 ρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν
16 ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. Μὴ οὖν τις ὑμᾶς
κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας
17 ἢ σαββάτων, ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χρι-
18 στοῦ. μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ
καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυ-
19 σιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν
τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα, διὰ τῶν ἁφῶν καὶ συνδέσμων
ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ
20 Θεοῦ. Εἰ οὖν ἀπεθάνετε σὺν τῷ Χριστῷ, ἀπὸ τῶν στοιχείων τοῦ
21 κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε, Μὴ ἅψῃ, μηδὲ
22 γεύσῃ, μηδὲ θίγῃς. ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει,
23 κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων· ἅτινά ἐστι
λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύ-
νῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς
σαρκός.

3 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός
2 ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. τὰ ἄνω φρονεῖτε, μὴ τὰ

---

v.13 καί[c] σύ[rpa-p] νεκρός[aampn] εἰμί[vppxamp] ἐν[p] ὁ[ddnp] παράπτωμα[ndnp] καί[c] ὁ[ddfs] ἀκροβυστία[ndfs] ὁ[dgfs] σάρξ[ngfs] σύ[rpg-p] συζωοποιέω[viaa3s] σύν[p] αὐτός[rpdms] χαρίζομαι[vpadnms] σύ[rpd-p] πᾶς[aanpn] ὁ[danp] παράπτωμα[nanp]. **v.14** ἐξαλείφω[vpaanms] ὁ[dans] κατά[p] ἐγώ[rpg-p] χειρόγραφον[nans] ὁ[ddnp] δόγμα[ndnp] ὅς[rrnns] εἰμί[viix3s] ὑπεναντίος[annsn] ἐγώ[rpd-p] καί[c] αὐτός[rpans] αἴρω[vixa3s] ἐκ[p] ὁ[dgns] μέσος[agnsn] προσηλόω[vpaanms] αὐτός[rpans] ὁ[ddms] σταυρός[ndms]. **v.15** ἀπεκδύομαι[vpadnms] ὁ[dafp] ἀρχή[nafp] καί[c] ὁ[dafp] ἐξουσία[nafp] δειγματίζω[viaa3s] ἐν[p] παρρησία[ndfs] θριαμβεύω[vpaanms] αὐτός[rpamp] ἐν[p] αὐτός[rpdns]. **v.16** μή[xo] οὖν[c] τι-σρινμσ σύ[rpa-p] κρίνω[vdpa3s] ἐν[p] βρῶσις[ndfs] ἤ[xo] ἐν[p] πόσις[ndfs] ἤ[xo] ἐν[p] μέρος[ndns] ἑορτή[ngfs] ἤ[xo] νεομηνία[ngfs] ἤ[xo] σάββατον[ngnp]. **v.17** ὅς[rrnnp] εἰμί[vipx3s] σκιά[nnfs] ὁ[dgnp] μέλλω[vppagnp] ὁ[dnns] δέ[c] σῶμα[nnns] ὁ[dgms] Χριστός[ngms]. **v.18** μηδείς[anmsn] σύ[rpa-p] καταβραβεύω[vdpa3s] θέλω[vppanms] ἐν[p] ταπεινοφροσύνη[ndfs] καί[c] θρησκεία[ndfs] ὁ[dgmp] ἄγγελος[ngmp] ὅς[rranp] μή[xo] ὁράω[vixa3s] ἐμβατεύω[vppanms] εἰκῇ[bo] φυσιόω[vppnms] ὑπό[p] ὁ[dgms] νοῦς[ngms] ὁ[dgfs] σάρξ[ngfs] αὐτός[rpgms]. **v.19** καί[c] οὐ[xo] κρατέω[vppanms] ὁ[dafs] κεφαλή[nafs] ἐκ[p] ὅς[rrgms] πᾶς[annsn] ὁ[dnns] σῶμα[nnns] διά[p] ὁ[dgfp] ἁφή[ngfp] καί[c] σύνδεσμος[ngmp] ἐπιχορηγέω[vpppnns] καί[c] συμβιβάζω[vpppnns] αὐξάνω[vipa3s] ὁ[dafs] αὔξησις[nafs] ὁ[dgms] θεός[ngms]. **v.20** εἰ[qo] οὖν[c] ἀποθνήσκω[viaa2p] σύν[p] ὁ[ddms] Χριστός[ndms] ἀπό[p] ὁ[dgnp] στοιχεῖον[ngnp] ὁ[dgms] κόσμος[ngms] τίς[rqans] ὡς[bo] ζάω[vppanmp] ἐν[p] κόσμος[ndms] δογματίζω[vipp2p]. **v.21** μή[xo] ἅπτω[vsam2s] μηδέ[c] γεύομαι[vsad2s] μηδέ[c] θιγγάνω[vsaa2s]. **v.22** ὅς[rrnnp] εἰμί[vipx3s] πᾶς[annpn] εἰς[p] φθορά[nafs] ὁ[ddfs] ἀπόχρησις[ndfs] κατά[p] ὁ[danp] ἔνταλμα[nanp] καί[c] διδασκαλία[nafp] ὁ[dgmp] ἄνθρωπος[ngmp]. **v.23** ὅστις[rrnnp] εἰμί[vipx3s] λόγος[nams] μέν[xo] ἔχω[vppannp] σοφία[ngfs] ἐν[p] ἐθελοχρησκία[ndfs] καί[c] ταπεινοφροσύνη[ndfs] καί[c] ἀφειδία[ndfs] σῶμα[ngns] οὐ[xo] ἐν[p] τιμή[ndfs] τι-σριδφσ πρός[p] πλησμονή[nafs] ὁ[dgfs] σάρξ[ngfs]. **3. v.1** εἰ[qo] οὖν[c] συνεγείρω[viap2p] ὁ[ddms] Χριστός[ndms] ὁ[danp] ἄνω[bo] ζητέω[vdpa2p] ὅς[bo] ὁ[dnms] Χριστός[nnms] εἰμί[vipx3s] ἐν[p] δεξιός[adfsn] ὁ[dgms] θεός[ngms] κάθημαι[vppnnms].

ἐπὶ τῆς γῆς. ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ 3
Χριστῷ ἐν τῷ Θεῷ. ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε 4
καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσατε οὖν 5
τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐ-
πιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία,
δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· 6
ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὔτοις. νυνὶ 7, 8
δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλα-
σφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν, μὴ ψεύδεσθε 9
εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς
πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμε- 10
νον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν, ὅπου οὐκ 11
ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος,
Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χρι-
στός. Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγα- 12
πημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην,
πρᾳότητα, μακροθυμίαν, ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμε- 13
νοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν, καθὼς καὶ ὁ Χριστὸς
ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς, ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγά- 14
πην, ἥτις ἐστι σύνδεσμος τῆς τελειότητος. καὶ ἡ εἰρήνη τοῦ 15
Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε

---

v.2 ὁ[danp] ἄνω[bo] φρονέω[vdpa2p] μή[xo] ὁ[danp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs]. **v.3** ἀποθνῄσκω[viaa2p] γάρ[c] καί[c] ὁ[dnfs] ζωή[nnfs] σύ[rpg-p] κρύπτω[vixp3s] σύν[p] ὁ[ddms] Χριστός[ndms] ἐν[p] ὁ[ddms] θεός[ndms]. **v.4** ὅταν[c] ὁ[dnms] Χριστός[nnms] φανερόω[vsap3s] ὁ[dnfs] ζωή[nnfs] ἐγώ[rpg-p] τότε[bo] καί[c] σύ[rpn-p] σύν[p] αὐτός[rpdms] φανερόω[vifp2p] ἐν[p] δόξα[ndfs]. **v.5** νεκρόω[vdaa2p] οὖν[c] ὁ[danp] μέλος[nanp] σύ[rpg-p] ὁ[danp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] πορνεία[nafs] ἀκαθαρσία[nafs] πάθος[nans] ἐπιθυμία[nafs] κακός[aafsn] καί[c] ὁ[dafs] πλεονεξία[nafs] ὅστις[rrnfs] εἰμί[vipx3s] εἰδωλολατρία[nnfs]. **v.6** διά[p] ὅς[rranp] ἔρχομαι[vipn3s] ὁ[dnfs] ὀργή[nnfs] ὁ[dgms] θεός[ngms] ἐπί[p] ὁ[damp] υἱός[namp] ὁ[dgfs] ἀπείθεια[ngfs]. **v.7** ἐν[p] ὅς[rrdmp] καί[c] σύ[rpn-p] περιπατέω[viaa2p] ποτέ[xo] ὅτε[bo] ζάω[viia2p] ἐν[p] αὐτός[rpdnp]. **v.8** νυνί[bo] δέ[c] ἀποτίθημι[vdam2p] καί[c] σύ[rpn-p] ὁ[danp] πᾶς[aanpn] ὀργή[nafs] θυμός[nams] κακία[nafs] βλασφημία[nafs] αἰσχρολογία[nafs] ἐκ[p] ὁ[dgns] στόμα[ngns] σύ[rpg-p]. **v.9** μή[xo] ψεύδομαι[vdpm2p] εἰς[p] ἀλλήλων[reamp] ἀπεκδύομαι[vpadnmp] ὁ[dams] παλαιός[aamsn] ἄνθρωπος[nams] σύν[p] ὁ[ddfp] πρᾶξις[ndfp] αὐτός[rpgms]. **v.10** καί[c] ἐνδύω[vpamnmp] ὁ[dams] νέος[aamsn] ὁ[dams] ἀνακαινόω[vpppams] εἰς[p] ἐπίγνωσις[nafs] κατά[p] εἰκών[nafs] ὁ[dgms] κτίζω[vpaagms] αὐτός[rpams]. **v.11** ὅπου[bo] οὐ[xo] ἔνι[vipx3s] Ἕλλην[nnms] καί[c] Ἰουδαῖος[anmsn] περιτομή[nnfs] καί[c] ἀκροβυστία[nnfs] βάρβαρος[anmsn] Σκύθης[nnms] δοῦλος[nnms] ἐλεύθερος[anmsn] ἀλλά[c] ὁ[dnnp] πᾶς[annpn] καί[c] ἐν[p] πᾶς[adnpn] Χριστός[nnms]. **v.12** ἐνδύω[vdam2p] οὖν[c] ὡς[bo] ἐκλεκτός[anmpn] ὁ[dgms] θεός[ngms] ἅγιος[anmpn] καί[c] ἀγαπάω[vpxpnmp] σπλάγχνον[nanp] οἰκτιρμός[ngmp] χρηστότης[nafs] ταπεινοφροσύνη[nafs] πραΰτης[nafs] μακροθυμία[nafs]. **v.13** ἀνέχω[vppnnmp] ἀλλήλων[regmp] καί[c] χαρίζομαι[vppnnmp] ἑαυτοῦ[rxdmp] ἐάν[qo] τι-σρινμσ πρός[p] τι-σριαμσ ἔχω[vspa3s] μομφή[nafs] καθώς[bo] καί[c] ὁ[dnms] Χριστός[nnms] χαρίζομαι[viad3s] σύ[rpd-p] οὕτω[bo] καί[c] σύ[rpn-p]. **v.14** ἐπί[p] πᾶς[adnpn] δέ[c] οὗτος[rddnp] ὁ[dafs] ἀγάπη[nafs] ὅστις[rrnfs] εἰμί[vipx3s] σύνδεσμος[nnms] ὁ[dgfs] τελειότης[ngfs].

16 ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε. ὁ λόγος τοῦ Χριστοῦ
ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ, διδάσκοντες καὶ
νουθετοῦντες ἑαυτοὺς, ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευ-
17 ματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. καὶ
πᾶν ὅ τι ἂν ποιῆτε, ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυ-
18 ρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι᾽ αὐτοῦ. Αἱ
γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυ-
19 ρίῳ. οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε
20 πρὸς αὐτάς. τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα,
21 τοῦτο γὰρ ἐστιν εὐάρεστόν τῷ Κυρίῳ. οἱ πατέρες, μὴ ἐρεθί-
22 ζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Οἱ δοῦλοι, ὑπακούετε
κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις
ὡς ἀνθρωπάρεσκοι, ἀλλ᾽ ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν
23 Θεόν, καὶ πᾶν ὃ τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ
24 Κυρίῳ καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψε-
σθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας, τῷ γὰρ Κυρίῳ Χριστῷ
25 δουλεύετε. ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι
προσωποληψία.

4 οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέ-
2 χεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς. Τῇ
προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαρι-

---

v.15 καί[c] ὁ[dnfs] εἰρήνη[nnfs] ὁ[dgms] θεός[ngms] βραβεύω[vdpa3s] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] σύ[rpg-p] εἰς[p] ὅς[rrafs] καί[c] καλέω[viap2p] ἐν[p] εἷς[ndns] σῶμα[ndns] καί[c] εὐχάριστος[anmpn] γίνομαι[vdpn2p]. **v.16** ὁ[dnms] λόγος[nnms] ὁ[dgms] Χριστός[ngms] ἐνοικέω[vdpa3s] ἐν[p] σύ[rpd-p] πλουσίως[bo] ἐν[p] πᾶς[adfsn] σοφία[ndfs] διδάσκω[vppanmp] καί[c] νουθετέω[vppanmp] ἑαυτοῦ[rxamp] ψαλμός[ndmp] καί[c] ὕμνος[ndmp] καί[c] ᾠδή[ndfp] πνευματικός[adfpn] ἐν[p] χάρις[ndfs] ᾄδω[vppanmp] ἐν[p] ὁ[ddfs] καρδία[ndfs] σύ[rpg-p] ὁ[ddms] κύριος[ndms]. **v.17** καί[c] πᾶς[aansn] ὅς[rrans] τι-σριανο ἄν[xo] ποιέω[vspa2p] ἐν[p] λόγος[ndms] ἤ[xo] ἐν[p] ἔργον[ndns] πᾶς[aanpn] ἐν[p] ὄνομα[ndns] κύριος[ngms] Ἰησοῦς[ngms] εὐχαριστέω[vppanmp] ὁ[ddms] θεός[ndms] καί[c] πατήρ[ndms] διά[p] αὐτός[rpgms]. **v.18** ὁ[dnfp] γυνή[nnfp] ὑποτάσσω[vdpm2p] ὁ[ddmp] ἴδιος[admpn] ἀνήρ[ndmp] ὡς[bo] ἀνήκω[viia3s] ἐν[p] κύριος[ndms]. **v.19** ὁ[dnmp] ἀνήρ[nnmp] ἀγαπάω[vdpa2p] ὁ[dafp] γυνή[nafp] καί[c] μή[xo] πικραίνω[vdpp2p] πρός[p] αὐτός[rpafp]. **v.20** ὁ[dnnp] τέκνον[nnnp] ὑπακούω[vdpa2p] ὁ[ddmp] γονεύς[ndmp] κατά[p] πᾶς[aanpn] οὗτος[rdnns] γάρ[c] εἰμί[vipx3s] εὐάρεστος[annsn] ὁ[ddms] κύριος[ndms]. **v.21** ὁ[dnmp] πατήρ[nnmp] μή[xo] ἐρεθίζω[vdpa2p] ὁ[danp] τέκνον[nanp] σύ[rpg-p] ἵνα[c] μή[xo] ἀθυμέω[vspa3p]. **v.22** ὁ[dnmp] δοῦλος[nnmp] ὑπακούω[vdpa2p] κατά[p] πᾶς[aanpn] ὁ[ddmp] κατά[p] σάρξ[nafs] κύριος[ndmp] μή[xo] ἐν[p] ὀφθαλμοδουλία[ndfp] ὡς[bo] ἀνθρωπάρεσκος[anmpn] ἀλλά[c] ἐν[p] ἁπλότης[ndfs] καρδία[ngfs] φοβέομαι[vppnnmp] ὁ[dams] θεός[nams]. **v.23** καί[c] πᾶς[aansn] ὅς[rrans] τίς[rians] ἐάν[qo] ποιέω[vspa2p] ἐκ[p] ψυχή[ngfs] ἐργάζομαι[vdpn2p] ὡς[bo] ὁ[ddms] κύριος[ndms] καί[c] οὐ[xo] ἄνθρωπος[ndmp]. **v.24** οἶδα[vpxanmp] ὅτι[c] ἀπό[p] κύριος[ngms] ἀπολαμβάνω[vifd2p] ὁ[dafs] ἀνταπόδοσις[nafs] ὁ[dgfs] κληρονομία[ngfs] ὁ[ddms] γάρ[c] κύριος[ndms] Χριστός[ndms] δουλεύω[vipa2p]. **v.25** ὁ[dnms] δέ[c] ἀδικέω[vppanms] κομίζω[vifd3s] ὅς[rrans] ἀδικέω[viaa3s] καί[c] οὐ[xo] εἰμί[vipx3s] προσωπολημψία[nnfs]. **4. v.1** ὁ[dnmp] κύριος[nnmp] ὁ[dans] δίκαιος[aansn] καί[c] ὁ[dafs] ἰσότης[nafs] ὁ[ddmp] δοῦλος[ndmp] παρέχω[vdpm2p] οἶδα[vpxanmp] ὅτι[c] καί[c] σύ[rpn-p] ἔχω[vipa2p] κύριος[nams] ἐν[p] οὐρανός[ndmp].

στίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ 3
ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι'
ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. ἐν 4, 5
σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.
ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς 6
δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Τὰ κατ' ἐμὲ πάντα γνωρί- 7
σει ὑμῖν Τυχικός, ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ
σύνδουλος ἐν Κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, 8
ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, σὺν 9
Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν.
πάντα ὑμῖν γνωριοῦσιν τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος 10
ὁ συναιχμάλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρναβᾶ περὶ
οὗ ἐλάβετε ἐντολάς, ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν, καὶ 11
Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μό-
νοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν
μοι παρηγορία. ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν, δοῦλος 12
Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς,
ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ θεοῦ.
μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν καὶ τῶν ἐν 13
Λαοδικείᾳ καὶ τῶν ἐν Ἱεραπόλει. ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ 14

---

v.2 ὁ[ddfs] προσευχή[ndfs] προσκαρτερέω[vdpa2p] γρηγορέω[vppanmp] ἐν[p] αὐτός[rpdfs] ἐν[p] εὐχαριστία[ndfs]. **v.3** προσεύχομαι[vppnnmp] ἅμα[bo] καί[c] περί[p] ἐγώ[rpg-p] ἵνα[c] ὁ[dnms] θεός[nnms] ἀνοίγω[vsaa3s] ἐγώ[rpd-p] θύρα[nafs] ὁ[dgms] λόγος[ngms] λαλέω[vnaa] ὁ[dans] μυστήριον[nans] ὁ[dgms] Χριστός[ngms] διά[p] ὅς[rrans] καί[c] δέω[vixp1s]. **v.4** ἵνα[c] φανερόω[vsaa1s] αὐτός[rpans] ὡς[bo] δεῖ[vipq3s] ἐγώ[rpa-s] λαλέω[vnaa]. **v.5** ἐν[p] σοφία[ndfs] περιπατέω[vdpa2p] πρός[p] ὁ[damp] ἔξω[bo] ὁ[dams] καιρός[nams] ἐξαγοράζω[vppmnmp]. **v.6** ὁ[dnms] λόγος[nnms] σύ[rpg-p] πάντοτε[bo] ἐν[p] χάρις[ndfs] ἅλας[ndns] ἀρτύω[vpxpnms] οἶδα[vnxa] πῶς[bo] δεῖ[vipq3s] σύ[rpa-p] εἷς[ndms] ἕκαστος[admsn] ἀποκρίνομαι[vnpn]. **v.7** ὁ[danp] κατά[p] ἐγώ[rpa-s] πᾶς[aanpn] γνωρίζω[vifa3s] σύ[rpd-p] Τυχικός[nnms] ὁ[dnms] ἀγαπητός[anmsn] ἀδελφός[nnms] καί[c] πιστός[anmsn] διάκονος[nnms] καί[c] σύνδουλος[nnms] ἐν[p] κύριος[ndms]. **v.8** ὅς[rrams] πέμπω[viaa1s] πρός[p] σύ[rpa-p] εἰς[p] αὐτός[rpans] οὗτος[rdans] ἵνα[c] γινώσκω[vsaa1s] ὁ[danp] περί[p] σύ[rpg-p] καί[c] παρακαλέω[vsaa3s] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p]. **v.9** σύν[p] Ὀνήσιμος[ndms] ὁ[ddms] πιστός[admsn] καί[c] ἀγαπητός[admsn] ἀδελφός[ndms] ὅς[rrnms] εἰμί[vipx3s] ἐκ[p] σύ[rpg-p] πᾶς[aanpn] σύ[rpd-p] γνωρίζω[vifa3p] ὁ[danp] ὧδε[bo]. **v.10** ἀσπάζομαι[vipn3s] σύ[rpa-p] Ἀρίσταρχος[nnms] ὁ[dnms] συναιχμάλωτος[anmsn] ἐγώ[rpg-s] καί[c] Μᾶρκος[nnms] ὁ[dnms] ἀνεψιός[nnms] Βαρναβᾶς[ngms] περί[p] ὅς[rrgms] λαμβάνω[viaa2p] ἐντολή[nafp] ἐάν[qo] ἔρχομαι[vsaa3s] πρός[p] σύ[rpa-p] δέχομαι[vdad2p] αὐτός[rpams]. **v.11** καί[c] Ἰησοῦς[nnms] ὁ[dnms] λέγω[vpppnms] Ἰοῦστος[nnms] ὁ[dnmp] εἰμί[vppxnmp] ἐκ[p] περιτομή[ngfs] οὗτος[rdnmp] μόνος[anmpn] συνεργός[anmpn] εἰς[p] ὁ[dafs] βασιλεία[nafs] ὁ[dgms] θεός[ngms] ὅστις[rrnmp] γίνομαι[viao3p] ἐγώ[rpd-s] παρηγορία[nnfs]. **v.12** ἀσπάζομαι[vipn3s] σύ[rpa-p] Ἐπαφρᾶς[nnms] ὁ[dnms] ἐκ[p] σύ[rpg-p] δοῦλος[nnms] Χριστός[ngms] πάντοτε[bo] ἀγωνίζομαι[vppnnms] ὑπέρ[p] σύ[rpg-p] ἐν[p] ὁ[ddfp] προσευχή[ndfp] ἵνα[c] ἵστημι[vsaa2p] τέλειος[anmpn] καί[c] πληρόω[vpxpnmp] ἐν[p] πᾶς[adnsn] θέλημα[ndns] ὁ[dgms] θεός[ngms]. **v.13** μαρτυρέω[vipa1s] γάρ[c] αὐτός[rpdms] ὅτι[c] ἔχω[vipa3s] ζῆλος[nams] πολύς[aamsn] ὑπέρ[p] σύ[rpg-p] καί[c] ὁ[dgmp] ἐν[p] Λαοδίκεια[ndfs] καί[c] ὁ[dgmp] ἐν[p] Ἱεράπολις[ndfs].

15 ἰατρὸς ὁ ἀγαπητὸς, καὶ Δημᾶς. ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ
ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ′ οἶκον αὐτοῦ ἐκκλησίαν.
16 καὶ ὅταν ἀναγνωσθῇ παρ′ ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν
τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα
17 καὶ ὑμεῖς ἀναγνῶτε. καὶ εἴπατε Ἀρχίππῳ, Βλέπε τὴν διακο-
18 νίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Ὁ ἀσπασμὸς
τῇ ἐμῇ χειρὶ Παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις
μεθ′ ὑμῶν. ἀμήν. πρός Κολασσαεῖς ἐγράφη ἀπό Ῥώμης διά
τυχικοῦ καί Ὀνησίμου.

---

v.14 ἀσπάζομαι[vipn3s] σύ[rpa-p] Λουκᾶς[nnms] ὁ[dnms] ἰατρός[nnms] ὁ[dnms] ἀγαπητός[anmsn] καί[c] Δημᾶς[nnms]. **v.15** ἀσπάζομαι[vdad2p] ὁ[damp] ἐν[p] Λαοδίκεια[ndfs] ἀδελφός[namp] καί[c] Νύμφα[nams] καί[c] ὁ[dafs] κατά[p] οἶκος[nams] αὐτός[rpgms] ἐκκλησία[nafs]. **v.16** καί[c] ὅταν[c] ἀναγινώσκω[vsap3s] παρά[p] σύ[rpd-p] ὁ[dnfs] ἐπιστολή[nnfs] ποιέω[vdaa2p] ἵνα[c] καί[c] ἐν[p] ὁ[ddfs] Λαοδικεύς[ngmp] ἐκκλησία[ndfs] ἀναγινώσκω[vsap3s] καί[c] ὁ[dafs] ἐκ[p] Λαοδίκεια[ngfs] ἵνα[c] καί[c] σύ[rpn-p] ἀναγινώσκω[vsaa2p]. **v.17** καί[c] λέγω[vdaa2p] Ἄρχιππος[ndms] βλέπω[vdpa2s] ὁ[dafs] διακονία[nafs] ὅς[rrafs] παραλαμβάνω[viaa2s] ἐν[p] κύριος[ndms] ἵνα[c] αὐτός[rpafs] πληρόω[vspa2s]. **v.18** ὁ[dnms] ἀσπασμός[nnms] ὁ[ddfs] ἐμός[rsdfs] χείρ[ndfs] Παῦλος[ngms] μνημονεύω[vdpa2p] ἐγώ[rpg-s] ὁ[dgmp] δεσμός[ngmp] ὁ[dnfs] χάρις[nnfs] μετά[p] σύ[rpg-p] ἀμήν[th] πρός[p] Κολοσσαί[namp] γράφω[viap3s] ἀπό[p] Ῥώμη[ngfs] διά[p] Τυχικός[ngms] καί[c] Ὀνήσιμος[ngms].

Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ ΠΡΩΤΗ

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος, τῇ ἐκκλησίᾳ Θεσσα- **1**
λονικέων ἐν Θεῷ πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, χάρις ὑμῖν
καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑ- 2
μῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, ἀδιαλείπτως μνη- 3
μονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς
ἀγάπης καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰη-
σοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, εἰδότες, 4
ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν, ὅτι τὸ εὐ- 5
αγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ
ἐν δυνάμει, καὶ ἐν Πνεύματι Ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ,
καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς. καὶ ὑμεῖς 6
μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον
ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος Ἁγίου, ὥστε γενέσθαι 7
ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ τῇ
Ἀχαΐᾳ. ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου οὐ μόνον 8
ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις
ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν
λαλεῖν τι. αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσο- 9
δον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν

---

1. v.1 Παῦλος[nnms] καί[c] Σιλουανός[nnms] καί[c] Τιμόθεος[nnms] ὁ[ddfs] ἐκκλησία[ndfs] Θεσσαλονικεύς[ngmp] ἐν[p] θεός[ndms] πατήρ[ndms] καί[c] κύριος[ndms] Ἰησοῦς[ndms] Χριστός[ndms] χάρις[nnfs] σύ[rpd-p] καί[c] εἰρήνη[nnfs] ἀπό[p] θεός[ngms] πατήρ[ngms] ἐγώ[rpg-p] καί[c] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.2** εὐχαριστέω[vipa1p] ὁ[ddms] θεός[ndms] πάντοτε[bo] περί[p] πᾶς[agmpn] σύ[rpg-p] μνεία[nafs] σύ[rpg-p] ποιέω[vppmnmp] ἐπί[p] ὁ[dgfp] προσευχή[ngfp] ἐγώ[rpg-p]. **v.3** ἀδιαλείπτως[bo] μνημονεύω[vppanmp] σύ[rpg-p] ὁ[dgns] ἔργον[ngns] ὁ[dgfs] πίστις[ngfs] καί[c] ὁ[dgms] κόπος[ngms] ὁ[dgfs] ἀγάπη[ngfs] καί[c] ὁ[dgfs] ὑπομονή[ngfs] ὁ[dgfs] ἐλπίς[ngfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] ἔμπροσθεν[p] ὁ[dgms] θεός[ngms] καί[c] πατήρ[ngms] ἐγώ[rpg-p]. **v.4** οἶδα[vpxanmp] ἀδελφός[nvmp] ἀγαπάω[vpxpnmp] ὑπό[p] θεός[ngms] ὁ[dafs] ἐκλογή[nafs] σύ[rpg-p]. **v.5** ὅτι[c] ὁ[dnns] εὐαγγέλιον[nnns] ἐγώ[rpg-p] οὐ[xo] γίνομαι[viao3s] εἰς[p] σύ[rpa-p] ἐν[p] λόγος[ndms] μόνος[bo] ἀλλά[c] καί[c] ἐν[p] δύναμις[ndfs] καί[c] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn] καί[c] ἐν[p] πληροφορία[ndfs] πολύς[adfsn] καθώς[bo] οἶδα[vixa2p] οἷος[rcnmp] γίνομαι[viao1p] ἐν[p] σύ[rpd-p] διά[p] σύ[rpa-p]. **v.6** καί[c] σύ[rpn-p] μιμητής[nnmp] ἐγώ[rpg-p] γίνομαι[viao2p] καί[c] ὁ[dgms] κύριος[ngms] δέχομαι[vpadnmp] ὁ[dams] λόγος[nams] ἐν[p] θλῖψις[ndfs] πολύς[adfsn] μετά[p] χαρά[ngfs] πνεῦμα[ngns] ἅγιος[agnsn]. **v.7** ὥστε[c] γίνομαι[vnad] σύ[rpa-p] τύπος[namp] πᾶς[admpn] ὁ[ddmp] πιστεύω[vppadmp] ἐν[p] ὁ[ddfs] Μακεδονία[ndfs] καί[c] ὁ[ddfs] Ἀχαΐα[ndfs]. **v.8** ἀπό[p] σύ[rpg-p] γάρ[c] ἐξηχέω[vixp3s] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] κύριος[ngms] οὐ[xo] μόνος[bo] ἐν[p] ὁ[ddfs] Μακεδονία[ndfs] καί[c] Ἀχαΐα[ndfs] ἀλλά[c] καί[c] ἐν[p] πᾶς[admsn] τόπος[ndms] ὁ[dnfs] πίστις[nnfs] σύ[rpg-p] ὁ[dnfs] πρός[p] ὁ[dams] θεός[nams] ἐξέρχομαι[vixa3s] ὥστε[c] μή[xo] χρεία[nafs] ἐγώ[rpa-p] ἔχω[vnpa] λαλέω[vnpa] τι-σριανς.

10 ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀνα-
μένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν,
Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

2 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς,
2 ὅτι οὐ κενὴ γέγονεν, ἀλλὰ καὶ προπαθόντες καὶ ὑβρισθέντες,
καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν
λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.
3 ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας,
4 οὔτὲ ἐν δόλῳ, ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πι-
στευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις
ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.
5 οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε,
6 οὔτε ἐν προφάσει πλεονεξίας, Θεὸς μάρτυς, οὔτε ζητοῦντες ἐξ
ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν
7 βάρει εἶναι ὥς Χριστοῦ ἀπόστολοι. ἀλ̓λ ἐγενήθημεν ἤπιοι ἐν
8 μέσῳ ὑμῶν ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα. οὕτως ἱμει-
ρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγ-
γέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ
9 ἡμῖν γεγένησθε. μνημονεύετε γάρ, ἀδελφοί, τὸν κόπον ἡμῶν
καὶ τὸν μόχθον, νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ
μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον

---

v.9 αὐτός$^{\text{rpnmp}}$ γάρ$^{\text{c}}$ περί$^{\text{p}}$ ἐγώ$^{\text{rpg-p}}$ ἀπαγγέλλω$^{\text{vipa3p}}$ ὁποῖος$^{\text{aafsn}}$ εἴσοδος$^{\text{nafs}}$ ἔχω$^{\text{viaa1p}}$ πρός$^{\text{p}}$ σύ$^{\text{rpa-p}}$ καί$^{\text{c}}$ πῶς$^{\text{bo}}$ ἐπιστρέφω$^{\text{viaa2p}}$ πρός$^{\text{p}}$ ὁ$^{\text{dams}}$ θεός$^{\text{nams}}$ ἀπό$^{\text{p}}$ ὁ$^{\text{dgnp}}$ εἴδωλον$^{\text{ngnp}}$ δουλεύω$^{\text{vnpa}}$ θεός$^{\text{ndms}}$ ζάω$^{\text{vppadms}}$ καί$^{\text{c}}$ ἀληθινός$^{\text{admsn}}$. **v.10** καί$^{\text{c}}$ ἀναμένω$^{\text{vnpa}}$ ὁ$^{\text{dams}}$ υἱός$^{\text{nams}}$ αὐτός$^{\text{rpgms}}$ ἐκ$^{\text{p}}$ ὁ$^{\text{dgmp}}$ οὐρανός$^{\text{ngmp}}$ ὅς$^{\text{rrams}}$ ἐγείρω$^{\text{viaa3s}}$ ἐκ$^{\text{p}}$ νεκρός$^{\text{agmpn}}$ Ἰησοῦς$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ ῥύομαι$^{\text{vppnams}}$ ἐγώ$^{\text{rpa-p}}$ ἀπό$^{\text{p}}$ ὁ$^{\text{dgfs}}$ ὀργή$^{\text{ngfs}}$ ὁ$^{\text{dgfs}}$ ἔρχομαι$^{\text{vppngfs}}$. **2. v.1** αὐτός$^{\text{rpnmp}}$ γάρ$^{\text{c}}$ οἶδα$^{\text{vixa2p}}$ ἀδελφός$^{\text{nvmp}}$ ὁ$^{\text{dafs}}$ εἴσοδος$^{\text{nafs}}$ ἐγώ$^{\text{rpg-p}}$ ὁ$^{\text{dafs}}$ πρός$^{\text{p}}$ σύ$^{\text{rpa-p}}$ ὅτι$^{\text{c}}$ οὐ$^{\text{xo}}$ κενός$^{\text{anfsn}}$ γίνομαι$^{\text{vixa3s}}$. **v.2** ἀλλά$^{\text{c}}$ καί$^{\text{c}}$ προπάσχω$^{\text{vpaanmp}}$ καί$^{\text{c}}$ ὑβρίζω$^{\text{vpapnmp}}$ καθώς$^{\text{bo}}$ οἶδα$^{\text{vixa2p}}$ ἐν$^{\text{p}}$ Φίλιπποι$^{\text{ndmp}}$ παρρησιάζομαι$^{\text{viad1p}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddms}}$ θεός$^{\text{ndms}}$ ἐγώ$^{\text{rpg-p}}$ λαλέω$^{\text{vnaa}}$ πρός$^{\text{p}}$ σύ$^{\text{rpa-p}}$ ὁ$^{\text{dans}}$ εὐαγγέλιον$^{\text{nans}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngms}}$ ἐν$^{\text{p}}$ πολύς$^{\text{admsn}}$ ἀγών$^{\text{ndms}}$. **v.3** ὁ$^{\text{dnfs}}$ γάρ$^{\text{c}}$ παράκλησις$^{\text{nnfs}}$ ἐγώ$^{\text{rpg-p}}$ οὐ$^{\text{xo}}$ ἐκ$^{\text{p}}$ πλάνη$^{\text{ngfs}}$ οὐδέ$^{\text{bo}}$ ἐκ$^{\text{p}}$ ἀκαθαρσία$^{\text{ngfs}}$ οὔτε$^{\text{c}}$ ἐν$^{\text{p}}$ δόλος$^{\text{ndms}}$. **v.4** ἀλλά$^{\text{c}}$ καθώς$^{\text{bo}}$ δοκιμάζω$^{\text{vixp1p}}$ ὑπό$^{\text{p}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngms}}$ πιστεύω$^{\text{vnap}}$ ὁ$^{\text{dans}}$ εὐαγγέλιον$^{\text{nans}}$ οὕτω$^{\text{bo}}$ λαλέω$^{\text{vipa1p}}$ οὐ$^{\text{xo}}$ ὡς$^{\text{bo}}$ ἄνθρωπος$^{\text{ndmp}}$ ἀρέσκω$^{\text{vppanmp}}$ ἀλλά$^{\text{c}}$ ὁ$^{\text{ddms}}$ θεός$^{\text{ndms}}$ ὁ$^{\text{ddms}}$ δοκιμάζω$^{\text{vppadms}}$ ὁ$^{\text{dafp}}$ καρδία$^{\text{nafp}}$ ἐγώ$^{\text{rpg-p}}$. **v.5** οὔτε$^{\text{c}}$ γάρ$^{\text{c}}$ ποτέ$^{\text{xo}}$ ἐν$^{\text{p}}$ λόγος$^{\text{ndms}}$ κολακεία$^{\text{ngfs}}$ γίνομαι$^{\text{viao1p}}$ καθώς$^{\text{bo}}$ οἶδα$^{\text{vixa2p}}$ οὔτε$^{\text{c}}$ ἐν$^{\text{p}}$ πρόφασις$^{\text{ndfs}}$ πλεονεξία$^{\text{ngfs}}$ θεός$^{\text{nnms}}$ μάρτυς$^{\text{nnms}}$. **v.6** οὔτε$^{\text{c}}$ ζητέω$^{\text{vppanmp}}$ ἐκ$^{\text{p}}$ ἄνθρωπος$^{\text{ngmp}}$ δόξα$^{\text{nafs}}$ οὔτε$^{\text{c}}$ ἀπό$^{\text{p}}$ σύ$^{\text{rpg-p}}$ οὔτε$^{\text{c}}$ ἀπό$^{\text{p}}$ ἄλλος$^{\text{agmpn}}$ δύναμαι$^{\text{vppnnmp}}$ ἐν$^{\text{p}}$ βάρος$^{\text{ndns}}$ εἰμί$^{\text{vnpx}}$ ὡς$^{\text{bo}}$ Χριστός$^{\text{ngms}}$ ἀπόστολος$^{\text{nnmp}}$. **v.7** ἀλλά$^{\text{c}}$ γίνομαι$^{\text{viao1p}}$ ἤπιος$^{\text{anmpn}}$ ἐν$^{\text{p}}$ μέσος$^{\text{adnsn}}$ σύ$^{\text{rpg-p}}$ ὡς$^{\text{bo}}$ ἄν$^{\text{xo}}$ τροφός$^{\text{nnfs}}$ θάλπω$^{\text{vspa3s}}$ ὁ$^{\text{danp}}$ ἑαυτοῦ$^{\text{rxgfs}}$ τέκνον$^{\text{nanp}}$. **v.8** οὕτω$^{\text{bo}}$ ἱμείρομαι$^{\text{vppmnmp}}$ σύ$^{\text{rpg-p}}$ εὐδοκέω$^{\text{viia1p}}$ μεταδίδωμι$^{\text{vnaa}}$ σύ$^{\text{rpd-p}}$ οὐ$^{\text{xo}}$ μόνος$^{\text{bo}}$ ὁ$^{\text{dans}}$ εὐαγγέλιον$^{\text{nans}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngms}}$ ἀλλά$^{\text{c}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dafp}}$ ἑαυτοῦ$^{\text{rxgmp}}$ ψυχή$^{\text{nafp}}$ διότι$^{\text{c}}$ ἀγαπητός$^{\text{anmpn}}$ ἐγώ$^{\text{rpd-p}}$ γίνομαι$^{\text{vixp2p}}$.

τοῦ Θεοῦ. ὑμεῖς μάρτυρες καὶ ὁ Θεός, ὡς ὁσίως καὶ δικαίως 10
καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν, καθάπερ 11
οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακα-
λοῦντες ὑμᾶς καί παραμυθούμενοι καί μαρτυρούμενοι. εἰς 12
τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς
τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν. Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαρι- 13
στοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς
παρ' ἡμῶν, τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ κα-
θώς ἐστιν ἀληθῶς λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς
πιστεύουσιν. ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκ- 14
κλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ,
ὅτι ταὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς
καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάν- 15
των Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων,
καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κω- 16
λυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀνα-
πληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε, ἔφθασε δὲ ἐπ' αὐτοὺς
ἡ ὀργὴ εἰς τέλος. Ἡμεῖς δέ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' 17
ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως
ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ,
διό ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ 18

---

v.9 μνημονεύω[vipa2p] γάρ[c] ἀδελφός[nvmp] ὁ[dams] κόπος[nams] ἐγώ[rpg-p] καί[c] ὁ[dams] μόχθος[nams] νύξ[ngfs] γάρ[c] καί[c] ἡμέρα[ngfs] ἐργάζομαι[vppnnmp] πρός[p] ὁ[dans] μή[xo] ἐπιβαρέω[vnaa] τι-σριαμσ σύ[rpg-p] κηρύσσω[viaa1p] εἰς[p] σύ[rpa-p] ὁ[dans] εὐαγγέλιον[nans] ὁ[dgms] θεός[ngms]. **v.10** σύ[rpn-p] μάρτυς[nnmp] καί[c] ὁ[dnms] θεός[nnms] ὡς[bo] ὁσίως[bo] καί[c] δικαίως[bo] καί[c] ἀμέμπτως[bo] σύ[rpd-p] ὁ[ddmp] πιστεύω[vppadmp] γίνομαι[viao1p]. **v.11** καθάπερ[bo] οἶδα[vixa2p] ὡς[bo] εἷς[nams] ἕκαστος[aamsn] σύ[rpg-p] ὡς[bo] πατήρ[nnms] τέκνον[nanp] ἑαυτοῦ[rxgms] παρακαλέω[vppanmp] σύ[rpa-p] καί[c] παραμυθέομαι[vppnnmp] καί[c] μαρτυρέω[vppmnmp]. **v.12** εἰς[p] ὁ[dans] περιπατέω[vnaa] σύ[rpa-p] ἀξίως[bo] ὁ[dgms] θεός[ngms] ὁ[dgms] καλέω[vppagms] σύ[rpa-p] εἰς[p] ὁ[dafs] ἑαυτοῦ[rxgms] βασιλεία[nafs] καί[c] δόξα[nafs]. **v.13** διά[p] οὗτος[rdans] καί[c] ἐγώ[rpn-p] εὐχαριστέω[vipa1p] ὁ[ddms] θεός[ndms] ἀδιαλείπτως[bo] ὅτι[c] παραλαμβάνω[vpaanmp] λόγος[nams] ἀκοή[ngfs] παρά[p] ἐγώ[rpg-p] ὁ[dgms] θεός[ngms] δέχομαι[viad2p] οὐ[xo] λόγος[nams] ἄνθρωπος[ngmp] ἀλλά[c] καθώς[bo] εἰμί[vipx3s] ἀληθῶς[bo] λόγος[nams] θεός[ngms] ὅς[rrnms] καί[c] ἐνεργέω[vipm3s] ἐν[p] σύ[rpd-p] ὁ[ddmp] πιστεύω[vppadmp]. **v.14** σύ[rpn-p] γάρ[c] μιμητής[nnmp] γίνομαι[viao2p] ἀδελφός[nvmp] ὁ[dgfp] ἐκκλησία[ngfp] ὁ[dgms] θεός[ngms] ὁ[dgfp] εἰμί[vppxgfp] ἐν[p] ὁ[ddfs] Ἰουδαία[ndfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὅτι[c] οὗτος[nanp] πάσχω[viaa2p] καί[c] σύ[rpn-p] ὑπό[p] ὁ[dgmp] ἴδιος[agmpn] συμφυλέτης[ngmp] καθώς[bo] καί[c] αὐτός[rpnmp] ὑπό[p] ὁ[dgmp] Ἰουδαῖος[agmpn]. **v.15** ὁ[dgmp] καί[c] ὁ[dams] κύριος[nams] ἀποκτείνω[vpaagmp] Ἰησοῦς[nams] καί[c] ὁ[damp] ἴδιος[aampn] προφήτης[namp] καί[c] ἐγώ[rpa-p] ἐκδιώκω[vpaagmp] καί[c] θεός[ndms] μή[xo] ἀρέσκω[vppagmp] καί[c] πᾶς[admpn] ἄνθρωπος[ndmp] ἐναντίος[agmpn]. **v.16** κωλύω[vppagmp] ἐγώ[rpa-p] ὁ[ddnp] ἔθνος[ndnp] λαλέω[vnaa] ἵνα[c] σῴζω[vsap3p] εἰς[p] ὁ[dans] ἀναπληρόω[vnaa] αὐτός[rpgmp] ὁ[dafp] ἁμαρτία[nafp] πάντοτε[bo] φθάνω[viaa3s] δέ[c] ἐπί[p] αὐτός[rpamp] ὁ[dnfs] ὀργή[nnfs] εἰς[p] τέλος[nans]. **v.17** ἐγώ[rpn-p] δέ[c] ἀδελφός[nvmp] ἀπορφανίζω[vpapnmp] ἀπό[p] σύ[rpg-p] πρός[p] καιρός[nams] ὥρα[ngfs] πρόσωπον[ndns] οὐ[xo] καρδία[ndfs] περισσοτέρως[bo] σπουδάζω[viaa1p] ὁ[dans] πρόσωπον[nans] σύ[rpg-p] ὁράω[vnaa] ἐν[p] πολύς[adfsn] ἐπιθυμία[ndfs].

19 καὶ δίς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς, τίς γὰρ ἡμῶν ἐλπὶς,
ἢ χαρὰ ἢ στέφανος καυχήσεως· ἢ οὐχὶ καὶ ὑμεῖς, ἔμπροσθεν
20 τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ· ὑμεῖς
γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.
3 Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθή-
2 ναις μόνοι, καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ
διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ
Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς
3 πίστεως ὑμῶν, τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις,
4 αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα. καὶ γὰρ ὅτε πρὸς ὑ-
μᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς
5 καὶ ἐγένετο, καὶ οἴδατε. διὰ τοῦτο κἀγὼ μηκέτι στέγων, ἔ-
πεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς
6 ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. ἄρτι δὲ ἐλ-
θόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ᾽ ὑμῶν, καὶ εὐαγγελισαμένου
ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡ-
μῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ
7 ἡμεῖς ὑμᾶς, διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ᾽ ὑμῖν, ἐπὶ
8 πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως, ὅτι
9 νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκετε ἐν Κυρίῳ. τίνα γὰρ εὐχαριστίαν
δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ τῇ χα-

---

v.18 διό$^{\text{c}}$ θέλω$^{\text{viaa1p}}$ ἔρχομαι$^{\text{vnaa}}$ πρός$^{\text{p}}$ σύ$^{\text{rpa-p}}$ ἐγώ$^{\text{rpn-s}}$ μέν$^{\text{xo}}$ Παῦλος$^{\text{nnms}}$ καί$^{\text{c}}$ ἅπαξ$^{\text{bo}}$ καί$^{\text{c}}$ δίς$^{\text{bo}}$ καί$^{\text{c}}$ ἐγκόπτω$^{\text{viaa3s}}$ ἐγώ$^{\text{rpa-p}}$ ὁ$^{\text{dnms}}$ Σατανᾶς$^{\text{nnms}}$. **v.19** τίς$^{\text{rqnfs}}$ γάρ$^{\text{c}}$ ἐγώ$^{\text{rpg-p}}$ ἐλπίς$^{\text{nnfs}}$ ἤ$^{\text{xo}}$ χαρά$^{\text{nnfs}}$ ἤ$^{\text{xo}}$ στέφανος$^{\text{nnms}}$ καύχησις$^{\text{ngfs}}$ ἤ$^{\text{xo}}$ οὐχί$^{\text{xo}}$ καί$^{\text{c}}$ σύ$^{\text{rpn-p}}$ ἔμπροσθεν$^{\text{p}}$ ὁ$^{\text{dgms}}$ κύριος$^{\text{ngms}}$ ἐγώ$^{\text{rpg-p}}$ Ἰησοῦς$^{\text{ngms}}$ Χριστός$^{\text{ngms}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddfs}}$ αὐτός$^{\text{rpgms}}$ παρουσία$^{\text{ndfs}}$. **v.20** σύ$^{\text{rpn-p}}$ γάρ$^{\text{c}}$ εἰμί$^{\text{vipx2p}}$ ὁ$^{\text{dnfs}}$ δόξα$^{\text{nnfs}}$ ἐγώ$^{\text{rpg-p}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dnfs}}$ χαρά$^{\text{nnfs}}$. **3. v.1** διό$^{\text{c}}$ μηκέτι$^{\text{bo}}$ στέγω$^{\text{vppanmp}}$ εὐδοκέω$^{\text{viaa1p}}$ καταλείπω$^{\text{vnap}}$ ἐν$^{\text{p}}$ Ἀθῆναι$^{\text{ndfp}}$ μόνος$^{\text{anmpn}}$. **v.2** καί$^{\text{c}}$ πέμπω$^{\text{viaa1p}}$ Τιμόθεος$^{\text{nams}}$ ὁ$^{\text{dams}}$ ἀδελφός$^{\text{nams}}$ ἐγώ$^{\text{rpg-p}}$ καί$^{\text{c}}$ διάκονος$^{\text{nams}}$ ὁ$^{\text{dgms}}$ θεός$^{\text{ngms}}$ καί$^{\text{c}}$ συνεργός$^{\text{aamsn}}$ ἐγώ$^{\text{rpg-p}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddns}}$ εὐαγγέλιον$^{\text{ndns}}$ ὁ$^{\text{dgms}}$ Χριστός$^{\text{ngms}}$ εἰς$^{\text{p}}$ ὁ$^{\text{dans}}$ στηρίζω$^{\text{vnaa}}$ σύ$^{\text{rpa-p}}$ καί$^{\text{c}}$ παρακαλέω$^{\text{vnaa}}$ σύ$^{\text{rpa-p}}$ περί$^{\text{p}}$ ὁ$^{\text{dgfs}}$ πίστις$^{\text{ngfs}}$ σύ$^{\text{rpg-p}}$. **v.3** ὁ$^{\text{ddms}}$ μηδείς$^{\text{aamsn}}$ σαίνω$^{\text{vnpp}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddfp}}$ θλῖψις$^{\text{ndfp}}$ οὗτος$^{\text{rddfp}}$ αὐτός$^{\text{rpnmp}}$ γάρ$^{\text{c}}$ οἶδα$^{\text{vixa2p}}$ ὅτι$^{\text{c}}$ εἰς$^{\text{p}}$ οὗτος$^{\text{rdans}}$ κεῖμαι$^{\text{vipn1p}}$. **v.4** καί$^{\text{c}}$ γάρ$^{\text{c}}$ ὅτε$^{\text{bo}}$ πρός$^{\text{p}}$ σύ$^{\text{rpa-p}}$ εἰμί$^{\text{viix1p}}$ προλέγω$^{\text{viia1p}}$ σύ$^{\text{rpd-p}}$ ὅτι$^{\text{c}}$ μέλλω$^{\text{vipa1p}}$ θλίβω$^{\text{vnpp}}$ καθώς$^{\text{bo}}$ καί$^{\text{c}}$ γίνομαι$^{\text{viad3s}}$ καί$^{\text{c}}$ οἶδα$^{\text{vixa2p}}$. **v.5** διά$^{\text{p}}$ οὗτος$^{\text{rdans}}$ κἀγώ$^{\text{rpn-s}}$ μηκέτι$^{\text{bo}}$ στέγω$^{\text{vppanms}}$ πέμπω$^{\text{viaa1s}}$ εἰς$^{\text{p}}$ ὁ$^{\text{dans}}$ γινώσκω$^{\text{vnaa}}$ ὁ$^{\text{dafs}}$ πίστις$^{\text{nafs}}$ σύ$^{\text{rpg-p}}$ μή&πώς$^{\text{c}}$ πειράζω$^{\text{viia3s}}$ σύ$^{\text{rpa-p}}$ ὁ$^{\text{dnms}}$ πειράζω$^{\text{vppanms}}$ καί$^{\text{c}}$ εἰς$^{\text{p}}$ κενός$^{\text{aansn}}$ γίνομαι$^{\text{vsad3s}}$ ὁ$^{\text{dnms}}$ κόπος$^{\text{nnms}}$ ἐγώ$^{\text{rpg-p}}$. **v.6** ἄρτι$^{\text{bo}}$ δέ$^{\text{c}}$ ἔρχομαι$^{\text{vpaagms}}$ Τιμόθεος$^{\text{ngms}}$ πρός$^{\text{p}}$ ἐγώ$^{\text{rpa-p}}$ ἀπό$^{\text{p}}$ σύ$^{\text{rpg-p}}$ καί$^{\text{c}}$ εὐαγγελίζω$^{\text{vpamgms}}$ ἐγώ$^{\text{rpd-p}}$ ὁ$^{\text{dafs}}$ πίστις$^{\text{nafs}}$ καί$^{\text{c}}$ ὁ$^{\text{dafs}}$ ἀγάπη$^{\text{nafs}}$ σύ$^{\text{rpg-p}}$ καί$^{\text{c}}$ ὅτι$^{\text{c}}$ ἔχω$^{\text{vipa2p}}$ μνεία$^{\text{nafs}}$ ἐγώ$^{\text{rpg-p}}$ ἀγαθός$^{\text{aafsn}}$ πάντοτε$^{\text{bo}}$ ἐπιποθέω$^{\text{vppanmp}}$ ἐγώ$^{\text{rpa-p}}$ ὁράω$^{\text{vnaa}}$ καθάπερ$^{\text{bo}}$ καί$^{\text{c}}$ ἐγώ$^{\text{rpn-p}}$ σύ$^{\text{rpa-p}}$. **v.7** διά$^{\text{p}}$ οὗτος$^{\text{rdans}}$ παρακαλέω$^{\text{viap1p}}$ ἀδελφός$^{\text{nvmp}}$ ἐπί$^{\text{p}}$ σύ$^{\text{rpd-p}}$ ἐπί$^{\text{p}}$ πᾶς$^{\text{adfsn}}$ ὁ$^{\text{ddfs}}$ θλῖψις$^{\text{ndfs}}$ καί$^{\text{c}}$ ἀνάγκη$^{\text{ndfs}}$ ἐγώ$^{\text{rpg-p}}$ διά$^{\text{p}}$ ὁ$^{\text{dgfs}}$ σύ$^{\text{rpg-p}}$ πίστις$^{\text{ngfs}}$. **v.8** ὅτι$^{\text{c}}$ νῦν$^{\text{bo}}$ ζάω$^{\text{vipa1p}}$ ἐάν$^{\text{qo}}$ σύ$^{\text{rpn-p}}$ στήκω$^{\text{vspa2p}}$ ἐν$^{\text{p}}$ κύριος$^{\text{ndms}}$.

ρᾷ ᾗ χαίρομεν δι᾽ ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν, νυκτὸς 10
καὶ ἡμέρας ὑπὲρ ἐκ περισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ
πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν·
Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς 11
Χριστός κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς, ὑμᾶς δὲ ὁ Κύ- 12
ριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ
εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν 13
τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ
πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

Τὸ λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν **4**
ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ᾽ ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς
περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον. οἴδατε 2
γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.
τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχε- 3
σθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ 4
σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας, 5
5 μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου
τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν
6 καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία τῆς πίστεώς σου
ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς
7 Χριστόν Ἰησοῦν. χαρὰν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν
ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται
8 διὰ σοῦ, ἀδελφέ. Διό πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐ-
9 πιτάσσειν σοι τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ,
τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ
10 Χριστοῦ. παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα
11 ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον, τόν ποτέ σοι ἄχρηστον, νυνὶ
12 δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψά, συ δὲ αὐτόν, τοῦτ'
13 ἔστιν τὰ ἐμὰ σπλάγχνα, πρὸσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς
ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς

---

1. **v.1** Παῦλος[nnms] δέσμιος[nnms] Χριστός[ngms] Ἰησοῦς[ngms] καί[c] Τιμόθεος[nnms] ὁ[dnms] ἀδελφός[nnms] Φιλήμων[ndms] ὁ[ddms] ἀγαπητός[admsn] καί[c] συνεργός[admsn] ἐγώ[rpg-p]. **v.2** καί[c] Ἀπφία[ndfs] ὁ[ddfs] ἀγαπητός[adfsn] καί[c] Ἄρχιππος[ndms] ὁ[ddms] συστρατιώτης[ndms] ἐγώ[rpg-p] καί[c] ὁ[ddfs] κατά[p] οἶκος[nams] σύ[rpg-s] ἐκκλησία[ndfs]. **v.3** χάρις[nnfs] σύ[rpd-p] καί[c] εἰρήνη[nnfs] ἀπό[p] θεός[ngms] πατήρ[ngms] ἐγώ[rpg-p] καί[c] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.4** εὐχαριστέω[vipa1s] ὁ[ddms] θεός[ndms] ἐγώ[rpg-s] πάντοτε[bo] μνεία[nafs] σύ[rpg-s] ποιέω[vppmnms] ἐπί[p] ὁ[dgfp] προσευχή[ngfp] ἐγώ[rpg-s]. **v.5** ἀκούω[vppanms] σύ[rpg-s] ὁ[dafs] ἀγάπη[nafs] καί[c] ὁ[dafs] πίστις[nafs] ὅς[rrafs] ἔχω[vipa2s] πρός[p] ὁ[dams] κύριος[nams] Ἰησοῦς[nams] καί[c] εἰς[p] πᾶς[aampn] ὁ[damp] ἅγιος[aampn]. **v.6** ὅπως[bo] ὁ[dnfs] κοινωνία[nnfs] ὁ[dgfs] πίστις[ngfs] σύ[rpg-s] ἐνεργής[anfsn] γίνομαι[vsad3s] ἐν[p] ἐπίγνωσις[ndfs] πᾶς[agnsn] ἀγαθός[agnsn] ὁ[dgns] ἐν[p] σύ[rpd-p] εἰς[p] Χριστός[nams] Ἰησοῦς[nams]. **v.7** χαρά[nafs] γάρ[c] ἔχω[vipa1p] πολύς[aafsn] καί[c] παράκλησις[nafs] ἐπί[p] ὁ[ddfs] ἀγάπη[ndfs] σύ[rpg-s] ὅτι[c] ὁ[dnnp] σπλάγχνον[nnnp] ὁ[dgmp] ἅγιος[agmpn] ἀναπαύω[vixp3s] διά[p] σύ[rpg-s] ἀδελφός[nvms]. **v.8** διό[c] πολύς[aafsn] ἐν[p] Χριστός[ndms] παρρησία[nafs] ἔχω[vppanms] ἐπιτάσσω[vnpa] σύ[rpd-s] ὁ[dans] ἀνήκω[vppaans]. **v.9** διά[p] ὁ[dafs] ἀγάπη[nafs] μᾶλλον[bo] παρακαλέω[vipa1s] τοιοῦτος[rdnms] εἰμί[vppxnms] ὡς[bo] Παῦλος[nnms] πρεσβύτης[nnms] νυνί[bo] δέ[c] καί[c] δέσμιος[nnms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.10** παρακαλέω[vipa1s] σύ[rpa-s] περί[p] ὁ[dgms] ἐμός[rpg-s] τέκνον[ngns] ὅς[rrams] γεννάω[viaa1s] ἐν[p] ὁ[ddmp] δεσμός[ndmp] ἐγώ[rpg-s] Ὀνήσιμος[nams]. **v.11** ὁ[dams] ποτέ[xo] σύ[rpd-s] ἄχρηστος[aamsn] νυνί[bo] δέ[c] σύ[rpd-s] καί[c] ἐγώ[rpd-s] εὔχρηστος[aamsn]. **v.12** ὅς[rrams] ἀναπέμπω[viaa1s] σύ[rpn-s] δέ[c] αὐτός[rpams] εἰμί[rdnns] ὁ[dnnp] ἐμός[rsnnp] σπλάγχνον[nnnp] προσλαμβάνω[vdam2s].

τοῦ εὐαγγελίου, χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποι- 14
ῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ
ἑκούσιον. Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰ- 15
ώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ᾽ ὑπὲρ δοῦλον, 16
ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν
σαρκὶ καὶ ἐν Κυρίῳ. εἰ οὖν ἐμὲ ἔχεις κοινωνόν, προσλαβοῦ 17
αὐτὸν ὡς ἐμέ. εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλό- 18
γει, ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω, ἵνα μὴ 19
λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. ναί, ἀδελφέ, ἐγώ 20
σου ὀναίμην ἐν Κυρίῳ, ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.
πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ 21
λέγω ποιήσεις. ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν, ἐλπίζω γὰρ ὅτι 22
διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν. Ἀσπάζονταί σε 23
Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, Μᾶρκος, 24
Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου. Ἡ χάρις τοῦ 25
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. ἀμήν.
πρός Φιλήμονα ἐγράφη ἀπό Ῥώμης διά Ὀνησίμου οἰκέτου.

---

v.13 ὅς[rrams] ἐγώ[rpn-s] βούλομαι[viin1s] πρός[p] ἐμαυτοῦ[rxams] κατέχω[vnpa] ἵνα[c] ὑπέρ[p] σύ[rpg-s] διακονέω[vspa3s] ἐγώ[rpd-s] ἐν[p] ὁ[ddmp] δεσμός[ndmp] ὁ[dgns] εὐαγγέλιον[ngns]. **v.14** χωρίς[bo] δέ[c] ὁ[dgfs] σός[rsgfs] γνώμη[ngfs] οὐδείς[aansn] θέλω[viaa1s] ποιέω[vnaa] ἵνα[c] μή[xo] ὡς[bo] κατά[p] ἀνάγκη[nafs] ὁ[dnns] ἀγαθός[annsn] σύ[rpg-s] εἰμί[vspx3s] ἀλλά[c] κατά[p] ἑκούσιος[aansn]. **v.15** τάχα[bo] γάρ[c] διά[p] οὗτος[rdans] χωρίζω[viap3s] πρός[p] ὥρα[nafs] ἵνα[c] αἰώνιος[aamsn] αὐτός[rpams] ἀπέχω[vipa2s]. **v.16** οὐκέτι[bo] ὡς[bo] δοῦλος[nams] ἀλλά[c] ὑπέρ[p] δοῦλος[nams] ἀδελφός[nams] ἀγαπητός[aamsn] μάλιστα[bo] ἐγώ[rpd-s] πόσος[rodns] δέ[c] μᾶλλον[bo] σύ[rpd-s] καί[c] ἐν[p] σάρξ[ndfs] καί[c] ἐν[p] κύριος[ndms]. **v.17** εἰ[qo] οὖν[c] ἐγώ[rpa-s] ἔχω[vipa2s] κοινωνός[aamsn] προσλαμβάνω[vdam2s] αὐτός[rpams] ὡς[bo] ἐγώ[rpa-s]. **v.18** εἰ[qo] δέ[c] τι-σριανσ ἀδικέω[viaa3s] σύ[rpa-s] ἤ[xo] ὀφείλω[vipa3s] οὗτος[rdans] ἐγώ[rpd-s] ἐλλογέω[vdpa2s]. **v.19** ἐγώ[rpn-s] Παῦλος[nnms] γράφω[viaa1s] ὁ[ddfs] ἐμός[rsdfs] χείρ[ndfs] ἐγώ[rpn-s] ἀποτίνω[vifa1s] ἵνα[c] μή[xo] λέγω[vspa1s] σύ[rpd-s] ὅτι[c] καί[c] σεαυτοῦ[rxams] ἐγώ[rpd-s] προσοφείλω[vipa2s]. **v.20** ναί[xo] ἀδελφός[nvms] ἐγώ[rpn-s] σύ[rpg-s] ὀνίναμαι[voad1s] ἐν[p] κύριος[ndms] ἀναπαύω[vdaa2s] ἐγώ[rpg-s] ὁ[danp] σπλάγχνον[nanp] ἐν[p] κύριος[ndms]. **v.21** πείθω[vpxanms] ὁ[ddfs] ὑπακοή[ndfs] σύ[rpg-s] γράφω[viaa1s] σύ[rpd-s] οἶδα[vpxanms] ὅτι[c] καί[c] ὑπέρ[p] ὅς[rrans] λέγω[vipa1s] ποιέω[vifa2s]. **v.22** ἅμα[bo] δέ[c] καί[c] ἑτοιμάζω[vdpa2s] ἐγώ[rpd-s] ξενία[nafs] ἐλπίζω[vipa1s] γάρ[c] ὅτι[c] διά[p] ὁ[dgfp] προσευχή[ngfp] σύ[rpg-p] χαρίζομαι[vifp1s] σύ[rpd-p]. **v.23** ἀσπάζομαι[vipn3p] σύ[rpa-s] Ἐπαφρᾶς[nnms] ὁ[dnms] συναιχμάλωτος[anmsn] ἐγώ[rpg-s] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms]. **v.24** Μᾶρκος[nnms] Ἀρίσταρχος[nnms] Δημᾶς[nnms] Λουκᾶς[nnms] ὁ[dnmp] συνεργός[anmpn] ἐγώ[rpg-s]. **v.25** ὁ[dnfs] χάρις[nnfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] μετά[p] ὁ[dgns] πνεῦμα[ngns] σύ[rpg-p] ἀμήν[th] πρός[p] Φιλήμων[nams] γράφω[viap3s] ἀπό[p] Ῥώμη[ngfs] διά[p] Ὀνήσιμος[ngms] οἰκέτης[ngms].

Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

1 Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πα-
2 τράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐ-
λάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ
3 τοὺς αἰῶνας ἐποίησεν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρα-
κτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς
δυνάμεως αὐτοῦ, δι᾽ εαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁ-
μαρτιῶν ημῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς,
4 τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον
5 παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα. τίνι γὰρ εἶπέ ποτε τῶν
ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· Καὶ πά-
λιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν·
6 ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην,
7 λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. καὶ
πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ
8 πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, πρὸς
δὲ τὸν υἱόν, Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
9 ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δι-
καιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ
10 Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καί,

---

1. **v.1** πολυμερῶς[bo] καί[c] πολυτρόπως[bo] πάλαι[bo] ὁ[dnms] θεός[nnms] λαλέω[vpaanms] ὁ[ddmp] πατήρ[ndmp] ἐν[p] ὁ[ddmp] προφήτης[ndmp]. **v.2** ἐπί[p] ἔσχατος[agfpn] ὁ[dgfp] ἡμέρα[ngfp] οὗτος[rdgfp] λαλέω[viaa3s] ἐγώ[rpd-p] ἐν[p] υἱός[ndms] ὅς[rrams] τίθημι[viaa3s] κληρονόμος[nams] πᾶς[agnpn] διά[p] ὅς[rrgms] καί[c] ὁ[damp] αἰών[namp] ποιέω[viaa3s]. **v.3** ὅς[rrnms] εἰμί[vppxnms] ἀπαύγασμα[nnns] ὁ[dgfs] δόξα[ngfs] καί[c] χαρακτήρ[nnms] ὁ[dgfs] ὑπόστασις[ngfs] αὐτός[rpgms] φέρω[vppanms] τέ[xo] ὁ[danp] πᾶς[aanpn] ὁ[ddns] ῥῆμα[ndns] ὁ[dgfs] δύναμις[ngfs] αὐτός[rpgms] διά[p] ἑαυτοῦ[rxgms] καθαρισμός[nams] ποιέω[vpamnms] ὁ[dgfp] ἁμαρτία[ngfp] ἐγώ[rpg-p] καθίζω[viaa3s] ἐν[p] δεξιός[adfsn] ὁ[dgfs] μεγαλωσύνη[ngfs] ἐν[p] ὑψηλός[adnpn]. **v.4** τοσοῦτος[rddms] κρείττων[anmsn] γίνομαι[vpadnms] ὁ[dgmp] ἄγγελος[ngmp] ὅσος[rcdns] διάφορος[aansc] παρά[p] αὐτός[rpamp] κληρονομέω[vixa3s] ὄνομα[nans]. **v.5** τίς[rqdms] γάρ[c] λέγω[viaa3s] ποτέ[xo] ὁ[dgmp] ἄγγελος[ngmp] υἱός[nnms] ἐγώ[rpg-s] εἰμί[vipx2s] σύ[rpn-s] ἐγώ[rpn-s] σήμερον[bo] γεννάω[vixa1s] σύ[rpa-s] καί[c] πάλιν[bo] ἐγώ[rpn-s] εἰμί[vifx1s] αὐτός[rpdms] εἰς[p] πατήρ[nams] καί[c] αὐτός[rpnms] εἰμί[vifx3s] ἐγώ[rpd-s] εἰς[p] υἱός[nams]. **v.6** ὅταν[c] δέ[c] πάλιν[bo] εἰσάγω[vsaa3s] ὁ[dams] πρωτότοκος[aamsn] εἰς[p] ὁ[dafs] οἰκουμένη[nafs] λέγω[vipa3s] καί[c] προσκυνέω[vdaa3p] αὐτός[rpdms] πᾶς[anmpn] ἄγγελος[nnmp] θεός[ngms]. **v.7** καί[c] πρός[p] μέν[xo] ὁ[damp] ἄγγελος[namp] λέγω[vipa3s] ὁ[dnms] ποιέω[vppanms] ὁ[damp] ἄγγελος[namp] αὐτός[rpgms] πνεῦμα[nanp] καί[c] ὁ[damp] λειτουργός[namp] αὐτός[rpgms] πῦρ[ngns] φλόξ[nafs]. **v.8** πρός[p] δέ[c] ὁ[dams] υἱός[nams] ὁ[dnms] θρόνος[nnms] σύ[rpg-s] ὁ[dnms] θεός[nnms] εἰς[p] ὁ[dams] αἰών[nams] ὁ[dgms] αἰών[ngms] ῥάβδος[nnfs] εὐθύτης[ngfs] ὁ[dnfs] ῥάβδος[nnfs] ὁ[dgfs] βασιλεία[ngfs] σύ[rpg-s]. **v.9** ἀγαπάω[viaa2s] δικαιοσύνη[nafs] καί[c] μισέω[viaa2s] ἀνομία[nafs] διά[p] οὗτος[rdans] χρίω[viaa3s] σύ[rpa-s] ὁ[dnms] θεός[nnms] ὁ[dnms] θεός[nnms] σύ[rpg-s] ἔλαιον[nans] ἀγαλλίασις[ngfs] παρά[p] ὁ[damp] μέτοχος[aampn] σύ[rpg-s].

Σὺ κατ᾽ ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρ-
ῶν σού εἰσιν οἱ οὐρανοί, αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, 11
καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον 12
ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη
σου οὐκ ἐκλείψουσι. πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, 13
Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπό-
διον τῶν ποδῶν σου· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα 14
εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν
σωτηρίαν·

Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, **2**
μή ποτε παραρρυῶμεν. εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος 2
ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔν-
δικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀ- 3
μελήσαντες σωτηρίας· ἥτις, ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ
Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπι- 4
μαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις
δυνάμεσι, καὶ Πνεύματος Ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ
θέλησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλ- 5
λουσαν, περὶ ἧς λαλοῦμεν. διεμαρτύρατο δέ πού τις λέγων, 6
Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι
ἐπισκέπτῃ αὐτόν· ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους, 7
δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αυτὸν ἐπὶ

---

v.10 καί[c] σύ[rpn-s] κατά[p] ἀρχή[nafp] κύριος[nvms] ὁ[dafs] γῆ[nafs] θεμελιόω[viaa2s] καί[c] ἔργον[nnnp] ὁ[dgfp] χείρ[ngfp] σύ[rpg-s] εἰμί[vipx3p] ὁ[dnmp] οὐρανός[nnmp]. **v.11** αὐτός[rpnmp] ἀπόλλυμι[vifm3p] σύ[rpn-s] δέ[c] διαμένω[vipa2s] καί[c] πᾶς[anmpn] ὡς[bo] ἱμάτιον[nnns] παλαιόω[vifp3p]. **v.12** καί[c] ὡσεί[bo] περιβόλαιον[nnns] ἑλίσσω[vifa2s] αὐτός[rpamp] καί[c] ἀλλάσσω[vifp3p] σύ[rpn-s] δέ[c] ὁ[dnms] αὐτός[rpnms] εἰμί[vipx2s] καί[c] ὁ[dnnp] ἔτος[nnnp] σύ[rpg-s] οὐ[xo] ἐκλείπω[vifa3p]. **v.13** πρός[p] τίς[rqams] δέ[c] ὁ[dgmp] ἄγγελος[ngmp] λέγω[vixa3s] ποτέ[xo] κάθημαι[vdpn2s] ἐκ[p] δεξιός[agmpn] ἐγώ[rpg-s] ἕως[c] ἄν[xo] τίθημι[vsaa1s] ὁ[damp] ἐχθρός[aampn] σύ[rpg-s] ὑποπόδιον[nans] ὁ[dgmp] πούς[ngmp] σύ[rpg-s]. **v.14** οὐχί[xo] πᾶς[anmpn] εἰμί[vipx3p] λειτουργικός[annpn] πνεῦμα[nnnp] εἰς[p] διακονία[nafs] ἀποστέλλω[vpppnnp] διά[p] ὁ[damp] μέλλω[vppaamp] κληρονομέω[vnpa] σωτηρία[nafs]. **2. v.1** διά[p] οὗτος[rdans] δεῖ[vipq3s] περισσοτέρως[bo] ἐγώ[rpa-p] προσέχω[vnpa] ὁ[ddnp] ἀκούω[vpapdnp] μήποτε[bo] παραρρέω[vsaa1p]. **v.2** εἰ[qo] γάρ[c] ὁ[dnms] διά[p] ἄγγελος[ngmp] λαλέω[vpapnms] λόγος[nnms] γίνομαι[viad3s] βέβαιος[anmsn] καί[c] πᾶς[anfsn] παράβασις[nnfs] καί[c] παρακοή[nnfs] λαμβάνω[viaa3s] ἔνδικος[aafsn] μισθαποδοσία[nafs]. **v.3** πῶς[bo] ἐγώ[rpn-p] ἐκφεύγω[vifd1p] τηλικοῦτος[rdgfs] ἀμελέω[vpaanmp] σωτηρία[ngfs] ὅστις[rrnfs] ἀρχή[nafs] λαμβάνω[vpaanfs] λαλέω[vnpp] διά[p] ὁ[dgms] κύριος[ngms] ὑπό[p] ὁ[dgmp] ἀκούω[vpaagmp] εἰς[p] ἐγώ[rpa-p] βεβαιόω[viap3s]. **v.4** συνεπιμαρτυρέω[vppagms] ὁ[dgms] θεός[ngms] σημεῖον[ndnp] τέ[xo] καί[c] τέρας[ndnp] καί[c] ποικίλος[adfpn] δύναμις[ndfp] καί[c] πνεῦμα[ngns] ἅγιος[agnsn] μερισμός[ndmp] κατά[p] ὁ[dafs] αὐτός[rpgms] θέλησις[nafs]. **v.5** οὐ[xo] γάρ[c] ἄγγελος[ndmp] ὑποτάσσω[viaa3s] ὁ[dafs] οἰκουμένη[nafs] ὁ[dafs] μέλλω[vppaafs] περί[p] ὅς[rrgfs] λαλέω[vipa1p]. **v.6** διαμαρτύρομαι[viad3s] δέ[c] πού[xo] τι-σρινμσ λέγω[vppanms] τίς[rqnns] εἰμί[vipx3s] ἄνθρωπος[nnms] ὅτι[c] μιμνῄσκομαι[vipn2s] αὐτός[rpgms] ἤ[xo] υἱός[nnms] ἄνθρωπος[ngms] ὅτι[c] ἐπισκέπτομαι[vipn2s] αὐτός[rpams].

8 τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν
αὐτοῦ. ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ
ἀνυπότακτον. νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτετα-
9 γμένα. τὸν δὲ βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν
Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφα-
νωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.
10 ἔπρεπε γὰρ αὐτῷ, δι᾽ ὃν τὰ πάντα, καὶ δι᾽ οὗ τὰ πάντα, πολλοὺς
υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ
11 παθημάτων τελειῶσαι. ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ
ἑνὸς πάντες, δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς
12 καλεῖν, λέγων, Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν
13 μέσῳ ἐκκλησίας ὑμνήσω σε. καὶ πάλιν, Ἐγὼ ἔσομαι πεποι-
θὼς ἐπ᾽ αὐτῷ. καὶ πάλιν, Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν
14 ὁ Θεός. ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκός καὶ αἵματος,
καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανά-
του καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ᾽ ἔστιν
15 τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ
16 παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐ γὰρ δήπου ἀγγέλων
17 ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν
ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων, γέ-
νηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι

---

v.7 ἐλαττόω[viaa2s] αὐτός[rpams] βραχύς[aansn] τι-σριανσ παρά[p] ἄγγελος[namp] δόξα[ndfs] καί[c] τιμή[ndfs] στεφανόω[viaa2s] αὐτός[rpams] καί[c] καθίστημι[viaa2s] αὐτός[rpams] ἐπί[p] ὁ[danp] ἔργον[nanp] ὁ[dgfp] χείρ[ngfp] σύ[rpg-s]. **v.8** πᾶς[aanpn] ὑποτάσσω[viaa2s] ὑποκάτω[bo] ὁ[dgmp] πούς[ngmp] αὐτός[rpgms] ἐν[p] γάρ[c] ὁ[ddms] ὑποτάσσω[vnaa] αὐτός[rpdms] ὁ[danp] πᾶς[aanpn] οὐδείς[aansn] ἀφίημι[viaa3s] αὐτός[rpdms] ἀνυπότακτος[aansn] νῦν[bo] δέ[c] οὔπω[bo] ὁράω[vipa1p] αὐτός[rpdms] ὁ[danp] πᾶς[aanpn] ὑποτάσσω[vpxpanp]. **v.9** ὁ[dams] δέ[c] βραχύς[aansn] τι-σριανσ παρά[p] ἄγγελος[namp] ἐλαττόω[vpxpams] βλέπω[vipa1p] Ἰησοῦς[nams] διά[p] ὁ[dans] πάθημα[nans] ὁ[dgms] θάνατος[ngms] δόξα[ndfs] καί[c] τιμή[ndfs] στεφανόω[vpxpams] ὅπως[bo] χάρις[ndfs] θεός[ngms] ὑπέρ[p] πᾶς[agmsn] γεύομαι[vsad3s] θάνατος[ngms]. **v.10** πρέπω[viia3s] γάρ[c] αὐτός[rpdms] διά[p] ὅς[rrams] ὁ[dnnp] πᾶς[annpn] καί[c] διά[p] ὅς[rrgms] ὁ[dnnp] πᾶς[annpn] πολύς[aampn] υἱός[namp] εἰς[p] δόξα[nafs] ἄγω[vpaaams] ὁ[dams] ἀρχηγός[nams] ὁ[dgfs] σωτηρία[ngfs] αὐτός[rpgmp] διά[p] πάθημα[ngnp] τελειόω[vnaa]. **v.11** ὁ[dnms] τέ[xo] γάρ[c] ἁγιάζω[vppanms] καί[c] ὁ[dnmp] ἁγιάζω[vpppnmp] ἐκ[p] εἷς[ngms] πᾶς[anmpn] διά[p] ὅς[rrafs] αἰτία[nafs] οὐ[xo] ἐπαισχύνομαι[vipn3s] ἀδελφός[namp] αὐτός[rpamp] καλέω[vnpa]. **v.12** λέγω[vppanms] ἀπαγγέλλω[vifa1s] ὁ[dans] ὄνομα[nans] σύ[rpg-s] ὁ[ddmp] ἀδελφός[ndmp] ἐγώ[rpg-s] ἐν[p] μέσος[adnsn] ἐκκλησία[ngfs] ὑμνέω[vifa1s] σύ[rpa-s]. **v.13** καί[c] πάλιν[bo] ἐγώ[rpn-s] εἰμί[vifx1s] πείθω[vpxanms] ἐπί[p] αὐτός[rpdms] καί[c] πάλιν[bo] ἰδού[vdaa2s] ἐγώ[rpn-s] καί[c] ὁ[dnnp] παιδίον[nnnp] ὅς[rranp] ἐγώ[rpd-s] δίδωμι[viaa3s] ὁ[dnms] θεός[nnms]. **v.14** ἐπεί[c] οὖν[c] ὁ[dnnp] παιδίον[nnnp] κοινωνέω[vixa3s] σάρξ[ngfs] καί[c] αἷμα[ngns] καί[c] αὐτός[rpnms] παραπλησίως[bo] μετέχω[viaa3s] ὁ[dgnp] αὐτός[rpgnp] ἵνα[c] διά[p] ὁ[dgms] θάνατος[ngms] καταργέω[vsaa3s] ὁ[dams] ὁ[dans] κράτος[nans] ἔχω[vppaams] ὁ[dgms] θάνατος[ngms] εἰμί[rdnns] ὁ[dams] διάβολος[aamsn]. **v.15** καί[c] ἀπαλλάσσω[vsaa3s] οὗτος[rdamp] ὅσος[rcnmp] φόβος[ndms] θάνατος[ngms] διά[p] πᾶς[agmsn] ὁ[dgms] ζάω[vnpa] ἔνοχος[anmpn] εἰμί[viix3p] δουλεία[ngfs]. **v.16** οὐ[xo] γάρ[c] δήπου[bo] ἄγγελος[ngmp] ἐπιλαμβάνομαι[vipn3s] ἀλλά[c] σπέρμα[ngns] Ἀβραάμ[tp] ἐπιλαμβάνομαι[vipn3s].

τὰς ἁμαρτίας τοῦ λαοῦ. ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, 18
δύναται τοῖς πειραζομένοις βοηθῆσαι.
Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατα- **3**
νοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χρι-
στὸν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς 2
ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν 3
ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευά-
σας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ 4
πάντα κατασκευάσας Θεός. καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ 5
οἴκῳ αὐτοῦ ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων,
Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, 6
ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέ-
λους βεβαίαν κατάσχωμεν. διό καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅ- 7
γιον, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε 8
τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν
τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασαν με οἱ πατέρες ὑ- 9
μῶν, ἐδοκιμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη,
διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, Ἀεὶ πλανῶνται τῇ 10
καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ 11
ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. βλέπετε, 12
ἀδελφοί, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας,

---

v.17 ὅθεν^{bo} ὀφείλω^{viia3s} κατά^{p} πᾶς^{aanpn} ὁ^{ddmp} ἀδελφός^{ndmp} ὁμοιόω^{vnap} ἵνα^{c} ἐλεήμων^{anmsn} γίνομαι^{vsad3s} καί^{c} πιστός^{anmsn} ἀρχιερεύς^{nnms} ὁ^{danp} πρός^{p} ὁ^{dams} θεός^{nams} εἰς^{p} ὁ^{dans} ἱλάσκομαι^{vnpp} ὁ^{dafp} ἁμαρτία^{nafp} ὁ^{dgms} λαός^{ngms}. **v.18** ἐν^{p} ὅς^{rrdns} γάρ^{c} πάσχω^{vixa3s} αὐτός^{rpnms} πειράζω^{vpapnms} δύναμαι^{vipn3s} ὁ^{ddmp} πειράζω^{vpppdmp} βοηθέω^{vnaa}. **3. v.1** ὅθεν^{bo} ἀδελφός^{nvmp} ἅγιος^{avmpn} κλῆσις^{ngfs} ἐπουράνιος^{agfsn} μέτοχος^{anmpn} κατανοέω^{vdaa2p} ὁ^{dams} ἀπόστολος^{nams} καί^{c} ἀρχιερεύς^{nams} ὁ^{dgfs} ὁμολογία^{ngfs} ἐγώ$^{rpg-p}$ Χριστός^{nams} Ἰησοῦς^{nams}. **v.2** πιστός^{aamsn} εἰμί^{vppxams} ὁ^{ddms} ποιέω^{vpaadms} αὐτός^{rpams} ὡς^{bo} καί^{c} Μωϋσῆς^{nnms} ἐν^{p} ὅλος^{admsn} ὁ^{ddms} οἶκος^{ndms} αὐτός^{rpgms}. **v.3** πολύς^{agfsc} γάρ^{c} δόξα^{ngfs} οὗτος^{rdnms} παρά^{p} Μωϋσῆς^{nams} ἀξιόω^{vixp3s} κατά^{p} ὅσος^{rcans} πολύς^{aafsc} τιμή^{nafs} ἔχω^{vipa3s} ὁ^{dgms} οἶκος^{ngms} ὁ^{dnms} κατασκευάζω^{vpaanms} αὐτός^{rpams}. **v.4** πᾶς^{anmsn} γάρ^{c} οἶκος^{nnms} κατασκευάζω^{vipp3s} ὑπό^{p} τι-σ-ριγμσ ὁ^{dnms} δέ^{c} ὁ^{danp} πᾶς^{aanpn} κατασκευάζω^{vpaanms} θεός^{nnms}. **v.5** καί^{c} Μωϋσῆς^{nnms} μέν^{xo} πιστός^{anmsn} ἐν^{p} ὅλος^{admsn} ὁ^{ddms} οἶκος^{ndms} αὐτός^{rpgms} ὡς^{bo} θεράπων^{nnms} εἰς^{p} μαρτύριον^{nans} ὁ^{dgnp} λαλέω^{vpfpgnp}. **v.6** Χριστός^{nnms} δέ^{c} ὡς^{bo} υἱός^{nnms} ἐπί^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms} ὅς^{rrgms} οἶκος^{nnms} εἰμί^{vipx1p} ἐγώ$^{rpn-p}$ ἐάνπερ^{qo} ὁ^{dafs} παρρησία^{nafs} καί^{c} ὁ^{dans} καύχημα^{nans} ὁ^{dgfs} ἐλπίς^{ngfs} μέχρι^{bo} τέλος^{ngns} βέβαιος^{aafsn} κατέχω^{vsaa1p}. **v.7** διό^{c} καθώς^{bo} λέγω^{vipa3s} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἅγιος^{annsn} σήμερον^{bo} ἐάν^{qo} ὁ^{dgfs} φωνή^{ngfs} αὐτός^{rpgms} ἀκούω^{vsaa2p}. **v.8** μή^{xo} σκληρύνω^{vspa2p} ὁ^{dafp} καρδία^{nafp} σύ$^{rpg-p}$ ὡς^{bo} ἐν^{p} ὁ^{ddms} παραπικρασμός^{ndms} κατά^{p} ὁ^{dafs} ἡμέρα^{nafs} ὁ^{dgms} πειρασμός^{ngms} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn}. **v.9** ὅς^{bo} πειράζω^{viaa3p} ἐγώ$^{rpa-s}$ ὁ^{dnmp} πατήρ^{nnmp} σύ$^{rpg-p}$ δοκιμάζω^{viaa3p} ἐγώ$^{rpa-s}$ καί^{c} ὁράω^{viaa3p} ὁ^{danp} ἔργον^{nanp} ἐγώ$^{rpg-s}$ τεσσεράκοντα^{tn} ἔτος^{nanp}. **v.10** διό^{c} προσοχθίζω^{viaa1s} ὁ^{ddfs} γενεά^{ndfs} ἐκεῖνος^{rddfs} καί^{c} λέγω^{viaa1s} ἀεί^{bo} πλανάω^{vipp3p} ὁ^{ddfs} καρδία^{ndfs} αὐτός^{rpnmp} δέ^{c} οὐ^{xo} γινώσκω^{viaa3p} ὁ^{dafp} ὁδός^{nafp} ἐγώ$^{rpg-s}$. **v.11** ὡς^{bo} ὀμνύω^{viaa1s} ἐν^{p} ὁ^{ddfs} ὀργή^{ndfs} ἐγώ$^{rpg-s}$ εἰ^{qo} εἰσέρχομαι^{vifd3p} εἰς^{p} ὁ^{dafs} κατάπαυσις^{nafs} ἐγώ$^{rpg-s}$.

13 ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος, ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς
καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ Σήμερον καλεῖται, ἵνα μὴ
14 σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας, μέτοχοι γὰρ γε-
γόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι
15 τέλους βεβαίαν κατάσχωμεν, ἐν τῷ λέγεσθαι, Σήμερον ἐὰν τῆς
φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς
16 ἐν τῷ παραπικρασμῷ. τίνες γὰρ ἀκούσαντες παρεπίκραναν,
17 ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως. Τίσι δὲ
προσώχθισε τεσσαράκοντα ἔτη· οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ
18 κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ· τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς
19 τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι· καὶ βλέπομεν
ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν.
4 Φοβηθῶμεν οὖν μή ποτε καταλειπομένης ἐπαγγελίας εἰσελ-
θεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι,
2 καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι, ἀλλ' οὐκ ὠ-
φέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένος τῇ
3 πίστει τοῖς ἀκούσασιν, εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν
οἱ πιστεύσαντες, καθὼς εἴρηκεν, Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, Εἰ
εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου, καίτοι τῶν ἔργων ἀπὸ
4 καταβολῆς κόσμου γενηθέντων. εἴρηκε γάρ που περὶ τῆς ἑ-
βδόμης οὕτω, Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ

---

v.12 βλέπω[vdpa2p] ἀδελφός[nvmp] μήποτε[bo] εἰμί[vifx3s] ἐν[p] τι-σριδμσ σύ[rpg-p] καρδία[nnfs] πονηρός[anfsn] ἀπιστία[ngfs] ἐν[p] ὁ[ddms] ἀφίστημι[vnaa] ἀπό[p] θεός[ngms] ζάω[vppagms]. **v.13** ἀλλά[c] παρακαλέω[vdpa2p] ἑαυτοῦ[rxamp] κατά[p] ἕκαστος[aafsn] ἡμέρα[nafs] ἄχρι[p] ὅς[bo] ὁ[dans] σήμερον[bo] καλέω[vipp3s] ἵνα[c] μή[xo] σκληρύνω[vsap3s] τι-σρινμσ ἐκ[p] σύ[rpg-p] ἀπάτη[ndfs] ὁ[dgfs] ἁμαρτία[ngfs]. **v.14** μέτοχος[anmpn] γάρ[c] γίνομαι[vixa1p] ὁ[dgms] Χριστός[ngms] ἐάνπερ[qo] ὁ[dafs] ἀρχή[nafs] ὁ[dgfs] ὑπόστασις[ngfs] μέχρι[bo] τέλος[ngns] βέβαιος[aafsn] κατέχω[vsaa1p]. **v.15** ἐν[p] ὁ[ddms] λέγω[vnpp] σήμερον[bo] ἐάν[qo] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms] ἀκούω[vsaa2p] μή[xo] σκληρύνω[vspa2p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p] ὡς[bo] ἐν[p] ὁ[ddms] παραπικρασμός[ndms]. **v.16** τίς[rinmp] γάρ[c] ἀκούω[vpaanmp] παραπικραίνω[viaa3p] ἀλλά[c] οὐ[xo] πᾶς[anmpn] ὁ[dnmp] ἐξέρχομαι[vpaanmp] ἐκ[p] Αἴγυπτος[ngfs] διά[p] Μωϋσῆς[ngms]. **v.17** τίς[rqdmp] δέ[c] προσοχθίζω[viaa3s] τεσσεράκοντα[tn] ἔτος[nanp] οὐχί[xo] ὁ[ddmp] ἁμαρτάνω[vpaadmp] ὅς[rrgmp] ὁ[dnnp] κῶλον[nnnp] πίπτω[viaa3s] ἐν[p] ὁ[ddfs] ἔρημος[adfsn]. **v.18** τίς[rqdmp] δέ[c] ὀμνύω[viaa3s] μή[xo] εἰσέρχομαι[vnfd] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] αὐτός[rpgms] εἰ[qo] μή[xo] ὁ[ddmp] ἀπειθέω[vpaadmp]. **v.19** καί[c] βλέπω[vipa1p] ὅτι[c] οὐ[xo] δύναμαι[viao3p] εἰσέρχομαι[vnaa] διά[p] ἀπιστία[nafs]. **4. v.1** φοβέομαι[vsao1p] οὖν[c] μήποτε[bo] καταλείπω[vpppgfs] ἐπαγγελία[ngfs] εἰσέρχομαι[vnaa] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] αὐτός[rpgms] δοκέω[vspa3s] τι-σρινμσ ἐκ[p] σύ[rpg-p] ὑστερέω[vnxa]. **v.2** καί[c] γάρ[c] εἰμί[vipx1p] εὐαγγελίζω[vpxpnmp] καθάπερ[bo] κἀκεῖνος[rdnmp] ἀλλά[c] οὐ[xo] ὠφελέω[viaa3s] ὁ[dnms] λόγος[nnms] ὁ[dgfs] ἀκοή[ngfs] ἐκεῖνος[rdamp] μή[xo] συγκεράννυμι[vpxpnms] ὁ[ddfs] πίστις[ndfs] ὁ[ddmp] ἀκούω[vpaadmp]. **v.3** εἰσέρχομαι[vipn1p] γάρ[c] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ὁ[dnmp] πιστεύω[vpaanmp] καθώς[bo] λέγω[vixa3s] ὡς[bo] ὀμνύω[viaa1s] ἐν[p] ὁ[ddfs] ὀργή[ndfs] ἐγώ[rpg-s] εἰ[qo] εἰσέρχομαι[vifd3p] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ἐγώ[rpg-s] καίτοι[c] ὁ[dgnp] ἔργον[ngnp] ἀπό[p] καταβολή[ngfs] κόσμος[ngms] γίνομαι[vpaognp].

ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, καὶ ἐν τούτῳ πάλιν, Εἰ εἰσελεύ- 5
σονται εἰς τὴν κατάπαυσίν μου. ἐπεὶ οὖν ἀπολείπεται τινὰς 6
εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσ-
ῆλθον δι᾽ ἀπείθειαν, πάλιν τινὰ ὁρίζει ἡμέραν, Σήμερον, ἐν 7
Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον, καθὼς εἴρηται, Σήμερον
ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας
ὑμῶν. εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης 8
ἐλάλει μετὰ ταῦτα ἡμέρας. ἄρα ἀπολείπεται σαββατισμὸς τῷ 9
λαῷ τοῦ Θεοῦ. ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ 10
αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων
ὁ Θεός. σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατά- 11
παυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.
ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ 12
πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ
ψυχῆς τὲ καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς
ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. καὶ οὐκ ἔστι κτίσις ἀφα- 13
νὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς
ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος. Ἔχοντες οὖν ἀρχι- 14
ερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ
Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ 15
δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον

---

v.4 λέγω[vixa3s] γάρ[c] πού[xo] περί[p] ὁ[dgfs] ἕβδομος[agfsn] οὕτω[bo] καί[c] καταπαύω[viaa3s] ὁ[dnms] θεός[nnms] ἐν[p] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[ddfs] ἕβδομος[adfsn] ἀπό[p] πᾶς[agnpn] ὁ[dgnp] ἔργον[ngnp] αὐτός[rpgms]. **v.5** καί[c] ἐν[p] οὗτος[rddms] πάλιν[bo] εἰ[qo] εἰσέρχομαι[vifd3p] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] ἐγώ[rpg-s]. **v.6** ἐπεί[c] οὖν[c] ἀπολείπω[vipp3s] τι-σριαμπ εἰσέρχομαι[vnaa] εἰς[p] αὐτός[rpafs] καί[c] ὁ[dnmp] πρότερος[bo] εὐαγγελίζω[vpapnmp] οὐ[xo] εἰσέρχομαι[viaa3p] διά[p] ἀπείθεια[nafs]. **v.7** πάλιν[bo] τι-σριαφσ ὁρίζω[vipa3s] ἡμέρα[nafs] σήμερον[bo] ἐν[p] Δαυίδ[tp] λέγω[vppanms] μετά[p] τοσοῦτος[rdams] χρόνος[nams] καθώς[bo] λέγω[vixp3s] σήμερον[bo] ἐάν[qo] ὁ[dgfs] φωνή[ngfs] αὐτός[rpgms] ἀκούω[vsaa2p] μή[xo] σκληρύνω[vspa2p] ὁ[dafp] καρδία[nafp] σύ[rpg-p]. **v.8** εἰ[qo] γάρ[c] αὐτός[rpamp] Ἰησοῦς[nnms] καταπαύω[viaa3s] οὐ[xo] ἄν[xo] περί[p] ἄλλος[agfsn] λαλέω[viia3s] μετά[p] οὗτος[rdanp] ἡμέρα[ngfs]. **v.9** ἄρα[xo] ἀπολείπω[vipp3s] σαββατισμός[nnms] ὁ[ddms] λαός[ndms] ὁ[dgms] θεός[ngms]. **v.10** ὁ[dnms] γάρ[c] εἰσέρχομαι[vpaanms] εἰς[p] ὁ[dafs] κατάπαυσις[nafs] αὐτός[rpgms] καί[c] αὐτός[rpnms] καταπαύω[viaa3s] ἀπό[p] ὁ[dgnp] ἔργον[ngnp] αὐτός[rpgms] ὥσπερ[bo] ἀπό[p] ὁ[dgnp] ἴδιος[agnpn] ὁ[dnms] θεός[nnms]. **v.11** σπουδάζω[vsaa1p] οὖν[c] εἰσέρχομαι[vnaa] εἰς[p] ἐκεῖνος[rdafs] ὁ[dafs] κατάπαυσις[nafs] ἵνα[c] μή[xo] ἐν[p] ὁ[ddns] αὐτός[rpdns] τι-σ-ρινμσ ὑπόδειγμα[ndns] πίπτω[vsaa3s] ὁ[dgfs] ἀπείθεια[ngfs]. **v.12** ζάω[vppanms] γάρ[c] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] θεός[ngms] καί[c] ἐνεργής[anmsn] καί[c] τομός[anmsc] ὑπέρ[p] πᾶς[aafsn] μάχαιρα[nafs] δίστομος[aafsn] καί[c] διϊκνέομαι[vppnnms] ἄχρι[p] μερισμός[ngms] ψυχή[ngfs] τέ[xo] καί[c] πνεῦμα[ngns] ἁρμός[ngmp] τέ[xo] καί[c] μυελός[ngmp] καί[c] κριτικός[anmsn] ἐνθύμησις[ngfp] καί[c] ἔννοια[ngfp] καρδία[ngfs]. **v.13** καί[c] οὐ[xo] εἰμί[vipx3s] κτίσις[nnfs] ἀφανής[anfsn] ἐνώπιον[bo] αὐτός[rpgms] πᾶς[annpn] δέ[c] γυμνός[annpn] καί[c] τραχηλίζω[vpxpnnp] ὁ[ddmp] ὀφθαλμός[ndmp] αὐτός[rpgms] πρός[p] ὅς[rrams] ἐγώ[rpd-p] ὁ[dnms] λόγος[nnms]. **v.14** ἔχω[vppanmp] οὖν[c] ἀρχιερεύς[nams] μέγας[aamsn] διέρχομαι[vpxaams] ὁ[damp] οὐρανός[namp] Ἰησοῦς[nams] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms] κρατέω[vspa1p] ὁ[dgfs] ὁμολογία[ngfs].

16 δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. προσερχώ-
μεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν
ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.
5 Πᾶς γὰρ ἀρχιερεὺς, ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀν-
θρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε
2 καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀ-
γνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν,
3 καὶ διὰ ταὐτὴν ὀφείλει καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑ-
4 αυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβά-
νει τὴν τιμήν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ
5 ὁ Ἀαρών, οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι
ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν, Υἱός μου εἶ σύ, ἐγὼ σή-
6 μερον γεγέννηκά σε. καθὼς καὶ ἐν ἑτέρῳ λέγει, Σὺ ἱερεὺς εἰς
7 τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ. ὃς ἐν ταῖς ἡμέραις τῆς
σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον
σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων
8 προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ
9 ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν, καὶ τελειωθεὶς ἐ-
γένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου,
10 προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχι-
11 σέδεκ. Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν,

---

v.15 οὐ[xo] γάρ[c] ἔχω[vipa1p] ἀρχιερεύς[nams] μή[xo] δύναμαι[vppnams] συμπαθέω[vnaa] ὁ[ddfp] ἀσθένεια[ndfp] ἐγώ[rpg-p] πειράζω[vpxpams] δέ[c] κατά[p] πᾶς[aanpn] κατά[p] ὁμοιότης[nafs] χωρίς[bo] ἁμαρτία[ngfs]. **v.16** προσέρχομαι[vspn1p] οὖν[c] μετά[p] παρρησία[ngfs] ὁ[ddms] θρόνος[ndms] ὁ[dgfs] χάρις[ngfs] ἵνα[c] λαμβάνω[vsaa1p] ἔλεος[nams] καί[c] χάρις[nafs] εὑρίσκω[vsaa1p] εἰς[p] εὔκαιρος[aafsn] βοήθεια[nafs]. **5. v.1** πᾶς[anmsn] γάρ[c] ἀρχιερεύς[nnms] ἐκ[p] ἄνθρωπος[ngmp] λαμβάνω[vpppnms] ὑπέρ[p] ἄνθρωπος[ngmp] καθίστημι[vipp3s] ὁ[danp] πρός[p] ὁ[dams] θεός[nams] ἵνα[c] προσφέρω[vspa3s] δῶρον[nanp] τέ[xo] καί[c] θυσία[nafp] ὑπέρ[p] ἁμαρτία[ngfp]. **v.2** μετριοπαθέω[vnpa] δύναμαι[vppnnms] ὁ[ddmp] ἀγνοέω[vppadmp] καί[c] πλανάω[vpppdmp] ἐπεί[c] καί[c] αὐτός[rpnms] περίκειμαι[vipn3s] ἀσθένεια[nafs]. **v.3** καί[c] διά[p] οὗτος[rdafs] ὀφείλω[vipa3s] καθώς[bo] περί[p] ὁ[dgms] λαός[ngms] οὕτω[bo] καί[c] περί[p] ἑαυτοῦ[rxgms] προσφέρω[vnpa] ὑπέρ[p] ἁμαρτία[ngfp]. **v.4** καί[c] οὐ[xo] ἑαυτοῦ[rxdms] τι-σρινμσ λαμβάνω[vipa3s] ὁ[dafs] τιμή[nafs] ἀλλά[c] ὁ[dnms] καλέω[vpppnms] ὑπό[p] ὁ[dgms] θεός[ngms] καθάπερ[bo] καί[c] ὁ[dnms] Ἀαρών[tp]. **v.5** οὕτω[bo] καί[c] ὁ[dnms] Χριστός[nnms] οὐ[xo] ἑαυτοῦ[rxams] δοξάζω[viaa3s] γίνομαι[vnao] ἀρχιερεύς[nams] ἀλλά[c] ὁ[dnms] λαλέω[vpaanms] πρός[p] αὐτός[rpams] υἱός[nnms] ἐγώ[rpg-s] εἰμί[vipx2s] σύ[rpn-s] ἐγώ[rpn-s] σήμερον[bo] γεννάω[vixa1s] σύ[rpa-s]. **v.6** καθώς[bo] καί[c] ἐν[p] ἕτερος[admsn] λέγω[vipa3s] σύ[rpn-s] ἱερεύς[nnms] εἰς[p] ὁ[dams] αἰών[nams] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp]. **v.7** ὅς[rrnms] ἐν[p] ὁ[ddfp] ἡμέρα[ndfp] ὁ[dgfs] σάρξ[ngfs] αὐτός[rpgms] δέησις[nafp] τέ[xo] καί[c] ἱκετηρία[nafp] πρός[p] ὁ[dams] δύναμαι[vppnams] σῴζω[vnpa] αὐτός[rpams] ἐκ[p] θάνατος[ngms] μετά[p] κραυγή[ngfs] ἰσχυρός[agfsn] καί[c] δάκρυον[ngnp] προσφέρω[vpaanms] καί[c] εἰσακούω[vpapnms] ἀπό[p] ὁ[dgfs] εὐλάβεια[ngfs]. **v.8** καίπερ[c] εἰμί[vppxnms] υἱός[nnms] μανθάνω[viaa3s] ἀπό[p] ὅς[rrgnp] πάσχω[viaa3s] ὁ[dafs] ὑπακοή[nafs]. **v.9** καί[c] τελειόω[vpapnms] γίνομαι[viad3s] ὁ[ddmp] ὑπακούω[vppadmp] αὐτός[rpdms] πᾶς[admpn] αἴτιος[anmsn] σωτηρία[ngfs] αἰώνιος[agfsn]. **v.10** προσαγορεύω[vpapnms] ὑπό[p] ὁ[dgms] θεός[ngms] ἀρχιερεύς[nnms] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp].

ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. καὶ γὰρ ὀφείλοντες εἶναι 12
διδάσκαλοι, διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν
ὑμᾶς, τινὰ τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ γε-
γόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. πᾶς 13
γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης, νήπιος
γάρ ἐστι. τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν 14
τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε
καὶ κακοῦ.

Διό, ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τε- **6**
λειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετα-
νοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεόν, βαπτισμῶν 2
διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρί-
ματος αἰωνίου. καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θε- 3
ός. ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε 4
τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύ-
ματος Ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις 5
τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν 6
εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ
παραδειγματίζοντας, γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ᾽ αὐτῆς πολλάκις 7
ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι᾽ οὓς
καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ, ἐκφέ- 8
ρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς,

---

v.11 περί[p] ὅς[rrgms] πολύς[anmsn] ἐγώ[rpd-p] ὁ[dnms] λόγος[nnms] καί[c] δυσερμήνευτος[anmsn] λέγω[vnpa] ἐπεί[c] νωθρός[anmpn] γίνομαι[vixa2p] ὁ[ddfp] ἀκοή[ndfp]. **v.12** καί[c] γάρ[c] ὀφείλω[vppanmp] εἰμί[vnpx] διδάσκαλος[nnmp] διά[p] ὁ[dams] χρόνος[nams] πάλιν[bo] χρεία[nafs] ἔχω[vipa2p] ὁ[dgms] διδάσκω[vnpa] σύ[rpa-p] τι-σρχννπ ὁ[dnnp] στοιχεῖον[nnnp] ὁ[dgfs] ἀρχή[ngfs] ὁ[dgnp] λόγιον[ngnp] ὁ[dgms] θεός[ngms] καί[c] γίνομαι[vixa2p] χρεία[nafs] ἔχω[vppanmp] γάλα[ngns] καί[c] οὐ[xo] στερεός[agfsn] τροφή[ngfs]. **v.13** πᾶς[anmsn] γάρ[c] ὁ[dnms] μετέχω[vppanms] γάλα[ngns] ἄπειρος[anmsn] λόγος[ngms] δικαιοσύνη[ngfs] νήπιος[anmsn] γάρ[c] εἰμί[vipx3s]. **v.14** τέλειος[agmpn] δέ[c] εἰμί[vipx3s] ὁ[dnfs] στερεός[anfsn] τροφή[nnfs] ὁ[dgmp] διά[p] ὁ[dafs] ἕξις[nafs] ὁ[danp] αἰσθητήριον[nanp] γυμνάζω[vpxpanp] ἔχω[vppagmp] πρός[p] διάκρισις[nafs] καλός[agnsn] τέ[xo] καί[c] κακός[agnsn]. **6. v.1** διό[c] ἀφίημι[vpaanmp] ὁ[dams] ὁ[dgfs] ἀρχή[ngfs] ὁ[dgms] Χριστός[ngms] λόγος[nams] ἐπί[p] ὁ[dafs] τελειότης[nafs] φέρω[vspp1p] μή[xo] πάλιν[bo] θεμέλιος[nams] καταβάλλω[vppmnmp] μετάνοια[ngfs] ἀπό[p] νεκρός[agnpn] ἔργον[ngnp] καί[c] πίστις[ngfs] ἐπί[p] θεός[nams]. **v.2** βαπτισμός[ngmp] διδαχή[ngfs] ἐπίθεσις[ngfs] τέ[xo] χείρ[ngfp] ἀνάστασις[ngfs] τέ[xo] νεκρός[agmpn] καί[c] κρίμα[ngns] αἰώνιος[agnsn]. **v.3** καί[c] οὗτος[rdans] ποιέω[vifa1p] ἐάνπερ[qo] ἐπιτρέπω[vspa3s] ὁ[dnms] θεός[nnms]. **v.4** ἀδύνατος[annsn] γάρ[c] ὁ[damp] ἅπαξ[bo] φωτίζω[vpapamp] γεύομαι[vpadamp] τέ[xo] ὁ[dgfs] δωρεά[ngfs] ὁ[dgfs] ἐπουράνιος[agfsn] καί[c] μέτοχος[aampn] γίνομαι[vpaoamp] πνεῦμα[ngns] ἅγιος[agnsn]. **v.5** καί[c] καλός[aansn] γεύομαι[vpadamp] θεός[ngms] ῥῆμα[nans] δύναμις[nafp] τέ[xo] μέλλω[vppagms] αἰών[ngms]. **v.6** καί[c] παραπίπτω[vpaaamp] πάλιν[bo] ἀνακαινίζω[vnpa] εἰς[p] μετάνοια[nafs] ἀνασταυρόω[vppaamp] ἑαυτοῦ[rxdmp] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms] καί[c] παραδειγματίζω[vppaamp]. **v.7** γῆ[nnfs] γάρ[c] ὁ[dnfs] πίνω[vpaanfs] ὁ[dams] ἐπί[p] αὐτός[rpgfs] πολλάκις[bo] ἔρχομαι[vppnams] ὑετός[nams] καί[c] τίκτω[vppanfs] βοτάνη[nafs] εὔθετος[aafsn] ἐκεῖνος[rddmp] διά[p] ὅς[rramp] καί[c] γεωργέω[vipp3s] μεταλαμβάνω[vipa3s] εὐλογία[ngfs] ἀπό[p] ὁ[dgms] θεός[ngms].

9 ἧς τὸ τέλος εἰς καῦσιν. Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί,
10 τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν, οὐ
γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κό-
που τῆς ἀγάπης ἧς ἐνδειξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονή-
11 σαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. ἐπιθυμοῦμεν δὲ ἕκαστον
ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν
12 τῆς ἐλπίδος ἄχρι τέλους, ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ
τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγ-
13 γελίας. Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ'
14 οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων, Ἦ
15 μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. καὶ
16 οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. ἄνθρωποι μεν
γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας
17 πέρας εἰς βεβαίωσιν ὁ ὅρκος. ἐν ᾧ περισσότερον βουλόμενος ὁ
Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον
18 τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο πραγμάτων
ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν, ἰσχυρὰν πα-
ράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης
19 ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βε-
βαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος,
20 ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν

---

v.8 ἐκφέρω[vppanfs] δέ[c] ἄκανθα[nafp] καί[c] τρίβολος[namp] ἀδόκιμος[anmsn] καί[c] κατάρα[ngfs] ἐγγύς[bo] ὅς[rrgfs] ὁ[dnns] τέλος[nnns] εἰς[p] καῦσις[nafs]. **v.9** πείθω[vixp1p] δέ[c] περί[p] σύ[rpg-p] ἀγαπητός[avmpn] ὁ[danp] κρείττων[aanpn] καί[c] ἔχω[vpppanp] σωτηρία[ngfs] εἰ[qo] καί[c] οὕτω[bo] λαλέω[vipa1p]. **v.10** οὐ[xo] γάρ[c] ἄδικος[anmsn] ὁ[dnms] θεός[nnms] ἐπιλανθάνομαι[vnad] ὁ[dgns] ἔργον[ngns] σύ[rpg-p] καί[c] ὁ[dgms] κόπος[ngms] ὁ[dgfs] ἀγάπη[ngfs] ὅς[rrgfs] ἐνδείκνυμι[vdam2p] εἰς[p] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] διακονέω[vpaanmp] ὁ[ddmp] ἅγιος[admpn] καί[c] διακονέω[vppanmp]. **v.11** ἐπιθυμέω[vipa1p] δέ[c] ἕκαστος[aamsn] σύ[rpg-p] ὁ[dafs] αὐτός[rpafs] ἐνδείκνυμι[vnpm] σπουδή[nafs] πρός[p] ὁ[dafs] πληροφορία[nafs] ὁ[dgfs] ἐλπίς[ngfs] ἄχρι[p] τέλος[ngns]. **v.12** ἵνα[c] μή[xo] νωθρός[anmpn] γίνομαι[vsad2p] μιμητής[nnmp] δέ[c] ὁ[dgmp] διά[p] πίστις[ngfs] καί[c] μακροθυμία[ngfs] κληρονομέω[vppagmp] ὁ[dafp] ἐπαγγελία[nafp]. **v.13** ὁ[ddms] γάρ[c] Ἀβραάμ[tp] ἐπαγγέλλομαι[vpadnms] ὁ[dnms] θεός[nnms] ἐπεί[c] κατά[p] οὐδείς[agmsn] ἔχω[viia3s] μέγας[agmsc] ὀμνύω[vnaa] ὀμνύω[viaa3s] κατά[p] ἑαυτοῦ[rxgms]. **v.14** λέγω[vppanms] ἤ[xo] μήν[xo] εὐλογέω[vppanms] εὐλογέω[vifa1s] σύ[rpa-s] καί[c] πληθύνω[vppanms] πληθύνω[vifa1s] σύ[rpa-s]. **v.15** καί[c] οὕτω[bo] μακροθυμέω[vpaanms] ἐπιτυγχάνω[viaa3s] ὁ[dgfs] ἐπαγγελία[ngfs]. **v.16** ἄνθρωπος[nnmp] μέν[xo] γάρ[c] κατά[p] ὁ[dgms] μέγας[agmsc] ὀμνύω[vipa3p] καί[c] πᾶς[agfsn] αὐτός[rpdmp] ἀντιλογία[ngfs] πέρας[nnns] εἰς[p] βεβαίωσις[nafs] ὁ[dnms] ὅρκος[nnms]. **v.17** ἐν[p] ὅς[rrdms] περισσός[annsc] βούλομαι[vppnnms] ὁ[dnms] θεός[nnms] ἐπιδείκνυμι[vnaa] ὁ[ddmp] κληρονόμος[ndmp] ὁ[dgfs] ἐπαγγελία[ngfs] ὁ[dans] ἀμετάθετος[aansn] ὁ[dgfs] βουλή[ngfs] αὐτός[rpgms] μεσιτεύω[viaa3s] ὅρκος[ndms]. **v.18** ἵνα[c] διά[p] δύο[tn] πρᾶγμα[ngnp] ἀμετάθετος[agnpn] ἐν[p] ὅς[rrdnp] ἀδύνατος[annsn] ψεύδομαι[vnad] θεός[nams] ἰσχυρός[aafsn] παράκλησις[nafs] ἔχω[vspa1p] ὁ[dnmp] καταφεύγω[vpaanmp] κρατέω[vnaa] ὁ[dgfs] πρόκειμαι[vppngfs] ἐλπίς[ngfs]. **v.19** ὅς[rrafs] ὡς[bo] ἄγκυρα[nafs] ἔχω[vipa1p] ὁ[dgfs] ψυχή[ngfs] ἀσφαλής[aafsn] τέ[xo] καί[c] βέβαιος[aafsn] καί[c] εἰσέρχομαι[vppnafs] εἰς[p] ὁ[dans] ἐσώτερος[aansn] ὁ[dgns] καταπέτασμα[ngns].

Μελχισέδεκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.
Οὗτος γὰρ ὁ Μελχισέδεκ, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ **7**
τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κο-
πῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν, ᾧ καὶ δεκάτην ἀπὸ 2
πάντων ἐμέρισεν Ἀβραάμ πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς
δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστι βασιλεὺς
εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμε- 3
ρῶν μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ,
μένει ἱερεὺς εἰς τὸ διηνεκές. Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ 4
καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.
καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευῒ τὴν ἱερατείαν λαμβάνοντες ἐντο- 5
λὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τοῦτ᾽ ἔστιν
τοὺς ἀδελφοὺς αὐτῶν καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀ-
βραάμ. ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν 6
Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκε. χωρὶς δὲ 7
πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.
καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, 8
ἐκεῖ δέ, μαρτυρούμενος ὅτι ζῇ. καί, ὡς ἔπος εἰπεῖν, διὰ Ἀ- 9
βραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμβάνων δεδεκάτωται, ἔτι γὰρ ἐν 10
τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισέδεκ.
Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν ὁ λαὸς 11
γὰρ ἐπ᾽ αὐτῇ νενομοθέτητο, τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελ-

---

v.20 ὅπου[bo] πρόδρομος[anmsn] ὑπέρ[p] ἐγώ[rpg-p] εἰσέρχομαι[viaa3s] Ἰησοῦς[nnms] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp] ἀρχιερεύς[nnms] γίνομαι[vpadnms] εἰς[p] ὁ[dams] αἰών[nams]. **7. v.1** οὗτος[rdnms] γάρ[c] ὁ[dnms] Μελχισέδεκ[tp] βασιλεύς[nnms] Σαλήμ[tp] ἱερεύς[nnms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ὕψιστος[agmsn] ὁ[dnms] συναντάω[vpaanms] Ἀβραάμ[tp] ὑποστρέφω[vppadms] ἀπό[p] ὁ[dgfs] κοπή[ngfs] ὁ[dgmp] βασιλεύς[ngmp] καί[c] εὐλογέω[vpaanms] αὐτός[rpams]. **v.2** ὅς[rrdms] καί[c] δέκατος[aafsn] ἀπό[p] πᾶς[agnpn] μερίζω[viaa3s] Ἀβραάμ[tp] πρῶτος[bo] μέν[xo] ἑρμηνεύω[vpppnms] βασιλεύς[nnms] δικαιοσύνη[ngfs] ἔπειτα[bo] δέ[c] καί[c] βασιλεύς[nnms] Σαλήμ[tp] ὅς[rrnns] εἰμί[vipx3s] βασιλεύς[nnms] εἰρήνη[ngfs]. **v.3** ἀπάτωρ[anmsn] ἀμήτωρ[anmsn] ἀγενεαλόγητος[anmsn] μήτε[c] ἀρχή[nafs] ἡμέρα[ngfp] μήτε[c] ζωή[ngfs] τέλος[nans] ἔχω[vppanms] ἀφομοιόω[vpxpnms] δέ[c] ὁ[ddms] υἱός[ndms] ὁ[dgms] θεός[ngms] μένω[vipa3s] ἱερεύς[nnms] εἰς[p] ὁ[dans] διηνεκής[aansn]. **v.4** θεωρέω[vipa2p] δέ[c] πηλίκος[anmsn] οὗτος[rdnms] ὅς[rrdms] καί[c] δέκατος[aafsn] Ἀβραάμ[tp] δίδωμι[viaa3s] ἐκ[p] ὁ[dgnp] ἀκροθίνιον[ngnp] ὁ[dnms] πατριάρχης[nnms]. **v.5** καί[c] ὁ[dnmp] μέν[xo] ἐκ[p] ὁ[dgmp] υἱός[ngmp] Λευί[tp] ὁ[dafs] ἱερατεία[nafs] λαμβάνω[vppanmp] ἐντολή[nafs] ἔχω[vipa3p] ἀποδεκατόω[vnpa] ὁ[dams] λαός[nams] κατά[p] ὁ[dams] νόμος[nams] εἰμί[rdnns] ὁ[damp] ἀδελφός[namp] αὐτός[rpgmp] καίπερ[c] ἐξέρχομαι[vpxaamp] ἐκ[p] ὁ[dgfs] ὀσφύς[ngfs] Ἀβραάμ[tp]. **v.6** ὁ[dnms] δέ[c] μή[xo] γενεαλογέω[vpppnms] ἐκ[p] αὐτός[rpgmp] δεκατόω[vixa3s] ὁ[dams] Ἀβραάμ[tp] καί[c] ὁ[dams] ἔχω[vppaams] ὁ[dafp] ἐπαγγελία[nafp] εὐλογέω[vixa3s]. **v.7** χωρίς[bo] δέ[c] πᾶς[agfsn] ἀντιλογία[ngfs] ὁ[dnns] ἐλάσσων[annsn] ὑπό[p] ὁ[dgms] κρείττων[agmsn] εὐλογέω[vipp3s]. **v.8** καί[c] ὧδε[bo] μέν[xo] δέκατος[aafpn] ἀποθνῄσκω[vppanmp] ἄνθρωπος[nnmp] λαμβάνω[vipa3p] ἐκεῖ[bo] δέ[c] μαρτυρέω[vpppnms] ὅτι[c] ζάω[vipa3s]. **v.9** καί[c] ὡς[bo] ἔπος[nans] λέγω[vnaa] διά[p] Ἀβραάμ[tp] καί[c] Λευί[tp] ὁ[dnms] δέκατος[aafpn] λαμβάνω[vppanms] δεκατόω[vixp3s]. **v.10** ἔτι[bo] γάρ[c] ἐν[p] ὁ[ddfs] ὀσφύς[ndfs] ὁ[dgms] πατήρ[ngms] εἰμί[viix3s] ὅτε[bo] συναντάω[viaa3s] αὐτός[rpdms] ὁ[dnms] Μελχισέδεκ[tp].

χισέδεκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν
12 λέγεσθαι· μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ
13 νόμου μετάθεσις γίνεται. ἐφ᾿ ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑ-
τέρας μετέσχηκεν, ἀφ᾿ ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.
14 πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν
15 φυλὴν οὐδὲν περὶ ἱερωσυνής Μωσῆς ἐλάλησε. καὶ περισσό-
τερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισέδεκ
16 ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκίκης
17 γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου, μαρτυρεῖ γὰρ,
18 ὅτι Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ. ἀθέτη-
σις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς
19 καὶ ἀνωφελές, οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ
20 κρείττονος ἐλπίδος, δι᾿ ἧς ἐγγίζομεν τῷ Θεῷ. καὶ καθ᾿ ὅσον οὐ
21 χωρὶς ὁρκωμοσίας, οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς
γεγονότες, ὁ δὲ μετὰ ὁρκωμοσία῾ς διὰ τοῦ λέγοντος πρὸς αὐ-
τόν, Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται, Σὺ ἱερεὺς εἰς τὸν
22 αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, κατὰ τοσοῦτον κρείττονος
23 διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. καὶ οἱ μὲν πλειόνές εἰσι γε-
24 γονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν, ὁ δὲ διὰ
τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην.
25 ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους

---

v.11 εἰ[qo] μέν[xo] οὖν[c] τελείωσις[nnfs] διά[p] ὁ[dgfs] Λευιτικός[agfsn] ἱερωσύνη[ngfs] εἰμί[viix3s] ὁ[dnms] λαός[nnms] γάρ[c] ἐπί[p] αὐτός[rpdfs] νομοθετέω[viyp3s] τίς[rqnfs] ἔτι[bo] χρεία[nnfs] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp] ἕτερος[aamsn] ἀνίστημι[vnpm] ἱερεύς[nams] καί[c] οὐ[xo] κατά[p] ὁ[dafs] τάξις[nafs] Ἀαρών[tp] λέγω[vnpp]. **v.12** μετατίθημι[vpppgfs] γάρ[c] ὁ[dgfs] ἱερωσύνη[ngfs] ἐκ[p] ἀνάγκη[ngfs] καί[c] νόμος[ngms] μετάθεσις[nnfs] γίνομαι[vipn3s]. **v.13** ἐπί[p] ὅς[rrams] γάρ[c] λέγω[vipp3s] οὗτος[rdnnp] φυλή[ngfs] ἕτερος[agfsn] μετέχω[vixa3s] ἀπό[p] ὅς[rrgfs] οὐδείς[anfsn] προσέχω[vixa3s] ὁ[ddns] θυσιαστήριον[ndns]. **v.14** πρόδηλος[annsn] γάρ[c] ὅτι[c] ἐκ[p] Ἰούδας[ngms] ἀνατέλλω[vixa3s] ὁ[dnms] κύριος[nnms] ἐγώ[rpg-p] εἰς[p] ὅς[rrafs] φυλή[nafs] οὐδείς[aansn] περί[p] ἱερωσύνη[ngfs] Μωϋσῆς[nnms] λαλέω[viaa3s]. **v.15** καί[c] περισσός[annsc] ἔτι[bo] κατάδηλος[annsn] εἰμί[vipx3s] εἰ[qo] κατά[p] ὁ[dafs] ὁμοιότης[nafs] Μελχισέδεκ[tp] ἀνίστημι[vipm3s] ἱερεύς[nnms] ἕτερος[anmsn]. **v.16** ὅς[rrnms] οὐ[xo] κατά[p] νόμος[nams] ἐντολή[ngfs] σαρκικός[agfsn] γίνομαι[vixa3s] ἀλλά[c] κατά[p] δύναμις[nafs] ζωή[ngfs] ἀκατάλυτος[agfsn]. **v.17** μαρτυρέω[vipa3s] γάρ[c] ὅτι[c] σύ[rpn-s] ἱερεύς[nnms] εἰς[p] ὁ[dams] αἰών[nams] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp]. **v.18** ἀθέτησις[nnfs] μέν[xo] γάρ[c] γίνομαι[vipn3s] προάγω[vppagfs] ἐντολή[ngfs] διά[p] ὁ[dans] αὐτός[rpgfs] ἀσθενής[aansn] καί[c] ἀνωφελής[aansn]. **v.19** οὐδείς[aansn] γάρ[c] τελειόω[viaa3s] ὁ[dnms] νόμος[nnms] ἐπεισαγωγή[nnfs] δέ[c] κρείττων[agfsn] ἐλπίς[ngfs] διά[p] ὅς[rrgfs] ἐγγίζω[vipa1p] ὁ[ddms] θεός[ndms]. **v.20** καί[c] κατά[p] ὅσος[rcans] οὐ[xo] χωρίς[bo] ὁρκωμοσία[ngfs]. **v.21** ὁ[dnmp] μέν[xo] γάρ[c] χωρίς[bo] ὁρκωμοσία[ngfs] εἰμί[vipx3p] ἱερεύς[nnmp] γίνομαι[vpxanmp] ὁ[dnms] δέ[c] μετά[p] ὁρκωμοσία[ngfs] διά[p] ὁ[dgms] λέγω[vppagms] πρός[p] αὐτός[rpams] ὀμνύω[viaa3s] κύριος[nnms] καί[c] οὐ[xo] μεταμέλομαι[vifo3s] σύ[rpn-s] ἱερεύς[nnms] εἰς[p] ὁ[dams] αἰών[nams] κατά[p] ὁ[dafs] τάξις[nafs] Μελχισέδεκ[tp]. **v.22** κατά[p] τοσοῦτος[rdans] κρείττων[agfsn] διαθήκη[ngfs] γίνομαι[vixa3s] ἔγγυος[anmsn] Ἰησοῦς[nnms]. **v.23** καί[c] ὁ[dnmp] μέν[xo] πολύς[anmpc] εἰμί[vipx3p] γίνομαι[vpxanmp] ἱερεύς[nnmp] διά[p] ὁ[dans] θάνατος[ndms] κωλύω[vnpp] παραμένω[vnpa]. **v.24** ὁ[dnms] δέ[c] διά[p] ὁ[dans] μένω[vnpa] αὐτός[rpams] εἰς[p] ὁ[dams] αἰών[nams] ἀπαράβατος[aafsn] ἔχω[vipa3s] ὁ[dafs] ἱερωσύνη[nafs].

δι᾽ αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.
Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαν- 26
τος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν
οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην, ὥσ- 27
περ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας
ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ, τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ
ἑαυτὸν ἀνενέγκας. ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχι- 28
ερεῖς, ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ
τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιε- **8**
ρέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς
οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, 2
ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος, πᾶς γὰρ ἀρχιερεὺς εἰς 3
τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται, ὅθεν ἀναγκαῖον
ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ. εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ᾽ 4
ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νό-
μον τὰ δῶρα, οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐ- 5
πουρανίων, καθὼς κεχρημάτισται Μωσῆς μέλλων ἐπιτελεῖν τὴν
σκηνήν, Ὅρα, γάρ φησί, ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν
δειχθέντα σοι ἐν τῷ ὄρει. νυνὶ δὲ διαφορωτέρας τέτευχεν λει- 6
τουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ

---

v.25 ὅθεν[bo] καί[c] σῴζω[vnpa] εἰς[p] ὁ[dans] παντελής[aansn] δύναμαι[vipn3s] ὁ[damp] προσέρχομαι[vppnamp] διά[p] αὐτός[rpgms] ὁ[ddms] θεός[ndms] πάντοτε[bo] ζάω[vppanms] εἰς[p] ὁ[dans] ἐντυγχάνω[vnpa] ὑπέρ[p] αὐτός[rpgmp]. **v.26** τοιοῦτος[rdnms] γάρ[c] ἐγώ[rpd-p] πρέπω[viia3s] ἀρχιερεύς[nnms] ὅσιος[anmsn] ἄκακος[anmsn] ἀμίαντος[anmsn] χωρίζω[vpxpnms] ἀπό[p] ὁ[dgmp] ἁμαρτωλός[agmpn] καί[c] ὑψηλός[anmsc] ὁ[dgmp] οὐρανός[ngmp] γίνομαι[vpadnms]. **v.27** ὅς[rrnms] οὐ[xo] ἔχω[vipa3s] κατά[p] ἡμέρα[nafs] ἀνάγκη[nafs] ὥσπερ[bo] ὁ[dnmp] ἀρχιερεύς[nnmp] πρότερος[bo] ὑπέρ[p] ὁ[dgfp] ἴδιος[agmpn] ἁμαρτία[ngfp] θυσία[nafp] ἀναφέρω[vnpa] ἔπειτα[bo] ὁ[dgfp] ὁ[dgms] λαός[ngms] οὗτος[rdans] γάρ[c] ποιέω[viaa3s] ἐφάπαξ[bo] ἑαυτοῦ[rxams] ἀναφέρω[vpaanms]. **v.28** ὁ[dnms] νόμος[nnms] γάρ[c] ἄνθρωπος[namp] καθίστημι[vipa3s] ἀρχιερεύς[namp] ἔχω[vppaamp] ἀσθένεια[nafs] ὁ[dnms] λόγος[nnms] δέ[c] ὁ[dgfs] ὁρκωμοσία[ngfs] ὁ[dgfs] μετά[p] ὁ[dams] νόμος[nams] υἱός[nams] εἰς[p] ὁ[dams] αἰών[nams] τελειόω[vpxpams]. **8. v.1** κεφάλαιον[nnns] δέ[c] ἐπί[p] ὁ[ddnp] λέγω[vpppdnp] τοιοῦτος[rdams] ἔχω[vipa1p] ἀρχιερεύς[nams] ὅς[rrnms] καθίζω[viaa3s] ἐν[p] δεξιός[adfsn] ὁ[dgms] θρόνος[ngms] ὁ[dgfs] μεγαλωσύνη[ngfs] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp]. **v.2** ὁ[dgnp] ἅγιος[agnpn] λειτουργός[nnms] καί[c] ὁ[dgfs] σκηνή[ngfs] ὁ[dgfs] ἀληθινός[agfsn] ὅς[rrafs] πήγνυμι[viaa3s] ὁ[dnms] κύριος[nnms] καί[c] οὐ[xo] ἄνθρωπος[nnms]. **v.3** πᾶς[anmsn] γάρ[c] ἀρχιερεύς[nnms] εἰς[p] ὁ[dans] προσφέρω[vnpa] δῶρον[nanp] τέ[xo] καί[c] θυσία[nafp] καθίστημι[vipp3s] ὅθεν[bo] ἀναγκαῖος[annsn] ἔχω[vnpa] τι-σριανσ καί[c] οὗτος[rdams] ὅς[rrans] προσφέρω[vsaa3s]. **v.4** εἰ[qo] μέν[xo] γάρ[c] εἰμί[viix3s] ἐπί[p] γῆ[ngfs] οὐδέ[bo] ἄν[xo] εἰμί[viix3s] ἱερεύς[nnms] εἰμί[vppxgmp] ὁ[dgmp] ἱερεύς[ngmp] ὁ[dgmp] προσφέρω[vppagmp] κατά[p] ὁ[dams] νόμος[nams] ὁ[danp] δῶρον[nanp]. **v.5** ὅστις[rrnmp] ὑπόδειγμα[ndns] καί[c] σκιά[ndfs] λατρεύω[vipa3p] ὁ[dgnp] ἐπουράνιος[agnpn] καθώς[bo] χρηματίζω[vixp3s] Μωϋσῆς[nnms] μέλλω[vppanms] ἐπιτελέω[vnpa] ὁ[dafs] σκηνή[nafs] ὁράω[vdpa2s] γάρ[c] φημί[vipx3s] ποιέω[vsaa2s] πᾶς[aanpn] κατά[p] ὁ[dams] τύπος[nams] ὁ[dams] δείκνυμι[vpapams] σύ[rpd-s] ἐν[p] ὁ[ddns] ὄρος[ndns].

7 κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. εἰ γὰρ ἡ πρώτη ἐκείνη
8 ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. μεμφόμενος
γὰρ αὐτοῖς λέγει, Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συν-
τελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην
9 καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐ-
τῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν
αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ δια-
10 θήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος. ὅτι αὕτη ἡ
διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκεί-
νας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν,
καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς
11 εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. καὶ οὐ μὴ διδάξωσιν
ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ,
λέγων, Γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ
12 αὐτῶν ἕως μεγάλου αὐτῶν. ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐ-
τῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ
13 μνησθῶ ἔτι. ἐν τῷ λέγειν, Καινὴν πεπαλαίωκε τὴν πρώτην. τὸ
δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.
9 Εἶχε μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας, τό τε ἅ-
2 γιον κοσμικόν. σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε
λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται

---

v.6 νυνί[bo] δέ[c] διάφορος[agfsc] τυγχάνω[vixa3s] λειτουργία[ngfs] ὅσος[rcdns] καί[c] κρείττων[agfsn] εἰμί[vipx3s] διαθήκη[ngfs] μεσίτης[nnms] ὅστις[rrnfs] ἐπί[p] κρείττων[adfpn] ἐπαγγελία[ndfp] νομοθετέω[vixp3s]. **v.7** εἰ[qo] γάρ[c] ὁ[dnfs] πρῶτος[anfsn] ἐκεῖνος[rdnfs] εἰμί[viix3s] ἄμεμπτος[anfsn] οὐ[xo] ἄν[xo] δεύτερος[agfsn] ζητέω[viip3s] τόπος[nnms]. **v.8** μέμφομαι[vppnnms] γάρ[c] αὐτός[rpdmp] λέγω[vipa3s] ἰδού[vdaa2s] ἡμέρα[nnfp] ἔρχομαι[vipn3p] λέγω[vipa3s] κύριος[nnms] καί[c] συντελέω[vifa1s] ἐπί[p] ὁ[dams] οἶκος[nams] Ἰσραήλ[tp] καί[c] ἐπί[p] ὁ[dams] οἶκος[nams] Ἰούδας[ngms] διαθήκη[nafs] καινός[aafsn]. **v.9** οὐ[xo] κατά[p] ὁ[dafs] διαθήκη[nafs] ὅς[rrafs] ποιέω[viaa1s] ὁ[ddmp] πατήρ[ndmp] αὐτός[rpgmp] ἐν[p] ἡμέρα[ndfs] ἐπιλαμβάνομαι[vpadgms] ἐγώ[rpg-s] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgmp] ἐξάγω[vnaa] αὐτός[rpamp] ἐκ[p] γῆ[ngfs] Αἴγυπτος[ngfs] ὅτι[c] αὐτός[rpnmp] οὐ[xo] ἐμμένω[viaa3p] ἐν[p] ὁ[ddfs] διαθήκη[ndfs] ἐγώ[rpg-s] κἀγώ[rpn-s] ἀμελέω[viaa1s] αὐτός[rpgmp] λέγω[vipa3s] κύριος[nnms]. **v.10** ὅτι[c] οὗτος[rdnfs] ὁ[dnfs] διαθήκη[nnfs] ὅς[rrafs] διατίθημι[vifd1s] ὁ[ddms] οἶκος[ndms] Ἰσραήλ[tp] μετά[p] ὁ[dafp] ἡμέρα[nafp] ἐκεῖνος[rdafp] λέγω[vipa3s] κύριος[nnms] δίδωμι[vppanms] νόμος[namp] ἐγώ[rpg-s] εἰς[p] ὁ[dafs] διάνοια[nafs] αὐτός[rpgmp] καί[c] ἐπί[p] καρδία[nafp] αὐτός[rpgmp] ἐπιγράφω[vifa1s] αὐτός[rpamp] καί[c] εἰμί[vifx1s] αὐτός[rpdmp] εἰς[p] θεός[nams] καί[c] αὐτός[rpnmp] εἰμί[vifx3p] ἐγώ[rpd-s] εἰς[p] λαός[nams]. **v.11** καί[c] οὐ[xo] μή[xo] διδάσκω[vsaa3p] ἕκαστος[anmsn] ὁ[dams] πλησίον[bo] αὐτός[rpgms] καί[c] ἕκαστος[anmsn] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] λέγω[vppanms] γινώσκω[vdaa2s] ὁ[dams] κύριος[nams] ὅτι[c] πᾶς[anmpn] οἶδα[vifa3p] ἐγώ[rpa-s] ἀπό[p] μικρός[agmsn] αὐτός[rpgmp] ἕως[c] μέγας[agmsn] αὐτός[rpgmp]. **v.12** ὅτι[c] ἵλεως[anmsa] εἰμί[vifx1s] ὁ[ddfp] ἀδικία[ndfp] αὐτός[rpgmp] καί[c] ὁ[dgfp] ἁμαρτία[ngfp] αὐτός[rpgmp] καί[c] ὁ[dgfp] ἀνομία[ngfp] αὐτός[rpgmp] οὐ[xo] μή[xo] μιμνῄσκομαι[vsap1s] ἔτι[bo]. **v.13** ἐν[p] ὁ[ddms] λέγω[vnpa] καινός[aafsn] παλαιόω[vixa3s] ὁ[dafs] πρῶτος[aafsn] ὁ[dnns] δέ[c] παλαιόω[vpppnns] καί[c] γηράσκω[vppanns] ἐγγύς[bo] ἀφανισμός[ngms]. **9. v.1** ἔχω[viia3s] μέν[xo] οὖν[c] καί[c] ὁ[dnfs] πρῶτος[anfsn] δικαίωμα[nanp] λατρεία[ngfs] ὁ[dnns] τέ[xo] ἅγιος[annsn] κοσμικός[aansn].

ἅγια. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅ- 3
για ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς 4
διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος
χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα,
καὶ αἱ πλάκες τῆς διαθήκης, ὑπεράνω δὲ αὐτῆς χερουβιμ δό- 5
ξης κατασκιάζοντα τὸ ἱλαστήριον, περὶ ὧν οὐκ ἔστι νῦν λέγειν
κατὰ μέρος. τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν 6
πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐ-
πιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ 7
ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ
τῶν τοῦ λαοῦ ἀγνοημάτων, τοῦτο δηλοῦντος τοῦ Πνεύματος 8
τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς
πρώτης σκηνῆς ἐχούσης στάσιν, ἥτις παραβολὴ εἰς τὸν καιρὸν 9
τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ
δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, μόνον 10
ἐπὶ βρώμασι, καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς καὶ δικαι-
ώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Χριστὸς 11
δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς
μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τοῦτ᾽ ἔστιν,
οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, 12
διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰω-

---

v.2 σκηνή[nnfs] γάρ[c] κατασκευάζω[viap3s] ὁ[dnfs] πρῶτος[anfsn] ἐν[p] ὅς[rrdfs] ὁ[dnfs] τέ[xo] λυχνία[nnfs] καί[c] ὁ[dnfs] τράπεζα[nnfs] καί[c] ὁ[dnfs] πρόθεσις[nnfs] ὁ[dgmp] ἄρτος[ngmp] ὅστις[rrnfs] λέγω[vipp3s] ἅγιος[anfsn]. **v.3** μετά[p] δέ[c] ὁ[dans] δεύτερος[aansn] καταπέτασμα[nans] σκηνή[nnfs] ὁ[dnfs] λέγω[vpppnfs] ἅγιος[anfsn] ἅγιος[agnpn]. **v.4** χρυσοῦς[aansn] ἔχω[vppanfs] θυμιατήριον[nans] καί[c] ὁ[dafs] κιβωτός[nafs] ὁ[dgfs] διαθήκη[ngfs] περικαλύπτω[vpxpafs] πάντοθεν[bo] χρυσίον[ndns] ἐν[p] ὅς[rrdfs] στάμνος[anmsn] χρυσοῦς[anfsn] ἔχω[vppanfs] ὁ[dans] μάννα[th] καί[c] ὁ[dnfs] ῥάβδος[nnfs] Ἀαρών[tp] ὁ[dnfs] βλαστάνω[vpaanfs] καί[c] ὁ[dnfp] πλάξ[nnfp] ὁ[dgfs] διαθήκη[ngfs]. **v.5** ὑπεράνω[bo] δέ[c] αὐτός[rpgfs] Χερούβ[tp] δόξα[ngfs] κατασκιάζω[vppannp] ὁ[dans] ἱλαστήριος[nans] περί[p] ὅς[rrgnp] οὐ[xo] εἰμί[vipx3s] νῦν[bo] λέγω[vnpa] κατά[p] μέρος[nans]. **v.6** οὗτος[rdgmp] δέ[c] οὕτω[bo] κατασκευάζω[vpxpgmp] εἰς[p] μέν[xo] ὁ[dafs] πρῶτος[aafsn] σκηνή[nafs] διά&πᾶς[bo] εἴσειμι[vipx3p] ὁ[dnmp] ἱερεύς[nnmp] ὁ[dafp] λατρεία[nafp] ἐπιτελέω[vppanmp]. **v.7** εἰς[p] δέ[c] ὁ[dafs] δεύτερος[aafsn] ἅπαξ[bo] ὁ[dgms] ἐνιαυτός[ngms] μόνος[anmsn] ὁ[dnms] ἀρχιερεύς[nnms] οὐ[xo] χωρίς[bo] αἷμα[ngns] ὅς[rrans] προσφέρω[vipa3s] ὑπέρ[p] ἑαυτοῦ[rxgms] καί[c] ὁ[dgnp] ὁ[dgms] λαός[ngms] ἀγνόημα[ngnp]. **v.8** οὗτος[rdans] δηλόω[vppagns] ὁ[dgns] πνεῦμα[ngns] ὁ[dgns] ἅγιος[agnsn] μήπω[bo] φανερόω[vnxp] ὁ[dafs] ὁ[dgnp] ἅγιος[agnpn] ὁδός[nafs] ἔτι[bo] ὁ[dgfs] πρῶτος[agfsn] σκηνή[ngfs] ἔχω[vppagfs] στάσις[nafs]. **v.9** ὅστις[rrnfs] παραβολή[nnfs] εἰς[p] ὁ[dams] καιρός[nams] ὁ[dams] ἐνίστημι[vpxaams] κατά[p] ὅς[rrams] δῶρον[nnnp] τέ[xo] καί[c] θυσία[nnfp] προσφέρω[vipp3p] μή[xo] δύναμαι[vppnnfp] κατά[p] συνείδησις[nafs] τελειόω[vnaa] ὁ[dams] λατρεύω[vppaams]. **v.10** μόνος[bo] ἐπί[p] βρῶμα[ndnp] καί[c] πόμα[ndnp] καί[c] διάφορος[admpn] βαπτισμός[ndmp] καί[c] δικαίωμα[ndnp] σάρξ[ngfs] μέχρι[bo] καιρός[ngms] διόρθωσις[ngfs] ἐπίκειμαι[vppnnnp]. **v.11** Χριστός[nnms] δέ[c] παραγίνομαι[vpadnms] ἀρχιερεύς[nnms] ὁ[dgnp] μέλλω[vppagnp] ἀγαθός[agnpn] διά[p] ὁ[dgfs] μέγας[agfsc] καί[c] τέλειος[agfsc] σκηνή[ngfs] οὐ[xo] χειροποίητος[agfsn] εἰμί[rdnns] οὐ[xo] οὗτος[rdgfs] ὁ[dgfs] κτίσις[ngfs].

13 νίαν λύτρωσιν εὑράμενος. εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων,
καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει
14 πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ
Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμω-
μον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων,
15 εἰς τὸ λατρεύειν Θεῷ ζῶντι· καὶ διὰ τοῦτο διαθήκης καινῆς
μεσίτης ἐστίν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν
ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν
16 οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. ὅπου γὰρ διαθήκη,
17 θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου. διαθήκη γὰρ ἐπὶ
18 νεκροῖς βεβαία, ἐπεὶ μή ποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. ὅ-
19 θεν οὐδ᾽ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται. λαληθείσης
γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ,
λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων, μετὰ ὕδατος καὶ ἐρίου
κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν
20 ἐρράντισε, λέγων, Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο
21 πρὸς ὑμᾶς ὁ Θεός. καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς
22 λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισε. καὶ σχεδὸν ἐν αἵματι
πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας
23 οὐ γίνεται ἄφεσις. Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν
τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια

---

v.12 οὐδέ[bo] διά[p] αἷμα[ngns] τράγος[ngmp] καί[c] μόσχος[ngmp] διά[p] δέ[c] ὁ[dgns] ἴδιος[agmsn] αἷμα[ngns] εἰσέρχομαι[viaa3s] ἐφάπαξ[bo] εἰς[p] ὁ[danp] ἅγιος[aanpn] αἰώνιος[aafsn] λύτρωσις[nafs] εὑρίσκω[vpamnms]. **v.13** εἰ[qo] γάρ[c] ὁ[dnns] αἷμα[nnns] ταῦρος[ngpm] καί[c] τράγος[ngmp] καί[c] σποδός[nnfs] δάμαλις[ngfs] ῥαντίζω[vppanfs] ὁ[damp] κοινόω[vpxpamp] ἁγιάζω[vipa3s] πρός[p] ὁ[dafs] ὁ[dgfs] σάρξ[ngfs] καθαρότης[nafs]. **v.14** πόσος[rodns] μᾶλλον[bo] ὁ[dnns] αἷμα[nnns] ὁ[dgms] Χριστός[ngms] ὅς[rrnms] διά[p] πνεῦμα[ngns] αἰώνιος[agnsn] ἑαυτοῦ[rxams] προσφέρω[viaa3s] ἄμωμος[aamsn] ὁ[ddms] θεός[ndms] καθαρίζω[vifa3s] ὁ[dafs] συνείδησις[nafs] σύ[rpg-p] ἀπό[p] νεκρός[agnpn] ἔργον[ngnp] εἰς[p] ὁ[dans] λατρεύω[vnpa] θεός[ndms] ζάω[vppadms]. **v.15** καί[c] διά[p] οὗτος[rdans] διαθήκη[ngfs] καινός[agfsn] μεσίτης[nnms] εἰμί[vipx3s] ὅπως[bo] θάνατος[ngms] γίνομαι[vpadgms] εἰς[p] ἀπολύτρωσις[nafs] ὁ[dgfp] ἐπί[p] ὁ[ddfs] πρῶτος[adfsn] διαθήκη[ndfs] παράβασις[ngfp] ὁ[dafs] ἐπαγγελία[nafs] λαμβάνω[vsaa3p] ὁ[dnmp] καλέω[vpxpnmp] ὁ[dgfs] αἰώνιος[agfsn] κληρονομία[ngfs]. **v.16** ὅπου[bo] γάρ[c] διαθήκη[nnfs] θάνατος[nams] ἀνάγκη[nnfs] φέρω[vnpp] ὁ[dgms] διατίθημι[vpamgms]. **v.17** διαθήκη[nnfs] γάρ[c] ἐπί[p] νεκρός[admpn] βέβαιος[anfsn] ἐπεί[c] μήποτε[bo] ἰσχύω[vipa3s] ὅτε[bo] ζάω[vipa3s] ὁ[dnms] διατίθημι[vpamnms]. **v.18** ὅθεν[bo] οὐδέ[bo] ὁ[dnfs] πρῶτος[anfsn] χωρίς[bo] αἷμα[ngns] ἐγκαινίζω[vixp3s]. **v.19** λαλέω[vpapgfs] γάρ[c] πᾶς[agfsn] ἐντολή[ngfs] κατά[p] νόμος[nams] ὑπό[p] Μωϋσῆς[ngms] πᾶς[admsn] ὁ[ddms] λαός[ndms] λαμβάνω[vpaanms] ὁ[dans] αἷμα[nans] ὁ[dgmp] μόσχος[ngmp] καί[c] τράγος[ngmp] μετά[p] ὕδωρ[ngns] καί[c] ἔριον[ngns] κόκκινος[agnsn] καί[c] ὕσσωπος[ngms] αὐτός[rpans] τέ[xo] ὁ[dans] βιβλίον[nans] καί[c] πᾶς[aamsn] ὁ[dams] λαός[nams] ῥαντίζω[viaa3s]. **v.20** λέγω[vppanms] οὗτος[rdnns] ὁ[dnns] αἷμα[nnns] ὁ[dgfs] διαθήκη[ngfs] ὅς[rrgfs] ἐντέλλομαι[viad3s] πρός[p] σύ[rpa-p] ὁ[dnms] θεός[nnms]. **v.21** καί[c] ὁ[dafs] σκηνή[nafs] δέ[c] καί[c] πᾶς[aanpn] ὁ[danp] σκεῦος[nanp] ὁ[dgfs] λειτουργία[ngfs] ὁ[ddns] αἷμα[ndns] ὁμοίως[bo] ῥαντίζω[viaa3s]. **v.22** καί[c] σχεδόν[bo] ἐν[p] αἷμα[ndns] πᾶς[annpn] καθαρίζω[vipp3s] κατά[p] ὁ[dams] νόμος[nams] καί[c] χωρίς[bo] αἱματεκχυσία[ngfs] οὐ[xo] γίνομαι[vipn3s] ἄφεσις[nnfs].

κρείττοσι θυσίαις παρὰ ταύτας. οὐ γὰρ εἰς χειροποίητα ἅγια 24
εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν
οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν,
οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρ- 25
χεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ, ἐπεὶ ἔδει 26
αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου, νυ~ν δὲ ἅπαξ
ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας
αὐτοῦ πεφανέρωται. καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις 27
ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, οὕτως ὁ Χριστός ἅπαξ 28
προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου
χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις, εἰς σω-
τηρίαν.

Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐ- **10**
τὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυ-
σίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς
προσερχομένους τελειῶσαι. ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφε- 2
ρόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς
λατρεύοντας, ἅπαξ κεκαθαρμένους. ἀλλ' ἐν αὐταῖς ἀνάμνη- 3
σις ἁμαρτιῶν κατ' ἐνιαυτόν, ἀδύνατον γὰρ αἷμα ταύρων καὶ 4
τράγων ἀφαιρεῖν ἁμαρτίας, διὸ εἰσερχόμενος εἰς τὸν κόσμον 5
λέγει, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρ-

---

v.23 ἀνάγκη[nnfs] οὖν[c] ὁ[danp] μέν[xo] ὑπόδειγμα[nanp] ὁ[dgnp] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] οὗτος[rddnp] καθαρίζω[vnpp] αὐτός[rpanp] δέ[c] ὁ[danp] ἐπουράνιος[aanpn] κρείττων[adfpn] θυσία[ndfp] παρά[p] οὗτος[rdafp]. **v.24** οὐ[xo] γάρ[c] εἰς[p] χειροποίητος[aanpn] ἅγιος[aanpn] εἰσέρχομαι[viaa3s] ὁ[dnms] Χριστός[nnms] ἀντίτυπος[aanpn] ὁ[dgnp] ἀληθινός[agnpn] ἀλλά[c] εἰς[p] αὐτός[rpams] ὁ[dams] οὐρανός[nams] νῦν[bo] ἐμφανίζω[vnap] ὁ[ddns] πρόσωπον[ndns] ὁ[dgms] θεός[ngms] ὑπέρ[p] ἐγώ[rpg-p]. **v.25** οὐδέ[bo] ἵνα[c] πολλάκις[bo] προσφέρω[vspa3s] ἑαυτοῦ[rxams] ὥσπερ[bo] ὁ[dnms] ἀρχιερεύς[nnms] εἰσέρχομαι[vipn3s] εἰς[p] ὁ[danp] ἅγιος[aanpn] κατά[p] ἐνιαυτός[nams] ἐν[p] αἷμα[ndns] ἀλλότριος[adnsn]. **v.26** ἐπεί[c] δεῖ[viiq3s] αὐτός[rpams] πολλάκις[bo] πάσχω[vnaa] ἀπό[p] καταβολή[ngfs] κόσμος[ngms] νῦν[bo] δέ[c] ἅπαξ[bo] ἐπί[p] συντέλεια[ndfs] ὁ[dgmp] αἰών[ngmp] εἰς[p] ἀθέτησις[nafs] ἁμαρτία[ngfs] διά[p] ὁ[dgfs] θυσία[ngfs] αὐτός[rpgms] φανερόω[vixp3s]. **v.27** καί[c] κατά[p] ὅσος[rcans] ἀπόκειμαι[vipn3s] ὁ[ddmp] ἄνθρωπος[ndmp] ἅπαξ[bo] ἀποθνῄσκω[vnaa] μετά[p] δέ[c] οὗτος[rdans] κρίσις[nnfs]. **v.28** οὕτω[bo] ὁ[dnms] Χριστός[nnms] ἅπαξ[bo] προσφέρω[vpapnms] εἰς[p] ὁ[dans] πολύς[agmpn] ἀναφέρω[vnaa] ἁμαρτία[nafp] ἐκ[p] δεύτερος[agnsn] χωρίς[bo] ἁμαρτία[ngfs] ὁράω[vifp3s] ὁ[ddmp] αὐτός[rpams] ἀπεκδέχομαι[vppndmp] εἰς[p] σωτηρία[nafs]. **10.** **v.1** σκιά[nafs] γάρ[c] ἔχω[vppanms] ὁ[dnms] νόμος[nnms] ὁ[dgnp] μέλλω[vppagnp] ἀγαθός[agnpn] οὐ[xo] αὐτός[rpafs] ὁ[dafs] εἰκών[nafs] ὁ[dgnp] πρᾶγμα[ngnp] κατά[p] ἐνιαυτός[nams] ὁ[ddfp] αὐτός[rpdfp] θυσία[ndfp] ὅς[rrafp] προσφέρω[vipa3p] εἰς[p] ὁ[dans] διηνεκής[aansn] οὐδέποτε[bo] δύναμαι[vipn3s] ὁ[damp] προσέρχομαι[vppnamp] τελειόω[vnaa]. **v.2** ἐπεί[c] οὐ[xo] ἄν[xo] παύω[viam3p] προσφέρω[vpppnfp] διά[p] ὁ[dans] μηδείς[aafsn] ἔχω[vnpa] ἔτι[bo] συνείδησις[nafs] ἁμαρτία[ngfp] ὁ[damp] λατρεύω[vppaamp] ἅπαξ[bo] καθαίρω[vpxpamp]. **v.3** ἀλλά[c] ἐν[p] αὐτός[rpdfp] ἀνάμνησις[nnfs] ἁμαρτία[ngfp] κατά[p] ἐνιαυτός[nams]. **v.4** ἀδύνατος[annsn] γάρ[c] αἷμα[nnns] ταῦρος[ngpm] καί[c] τράγος[ngmp] ἀφαιρέω[vnpa] ἁμαρτία[nafp].

6 τίσω μοι, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας,
7 τότε εἶπον, Ἰδου', ἥκω ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐ-
8 μοῦ τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. ἀνώτερον λέγων, ὅτι
θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας
οὐκ ἠθέλησας οὐδὲ εὐδόκησας αἵτινες κατὰ τόν νόμον προσ-
9 φέρονται, τότε εἴρηκεν, Ἰδοὺ, ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ
10 θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. ἐν ᾧ
θελήματι ἡγιασμένοι ἐσμὲν, διὰ τῆς προσφορᾶς τοῦ σώματος
11 τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ'
ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυ-
12 σίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας, αὗτος δὲ
μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν εἰς τὸ διηνεκὲς ἐκά-
13 θισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ
14 ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. μιᾷ γὰρ προσφο-
15 ρᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. μαρτυρεῖ
δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μετὰ γὰρ τὸ προειρηκέναι,
16 Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας
ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν,
17 καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς, καὶ τῶν ἁμαρ-
18 τιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ὅπου
19 δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας. Ἔχον-

---

v.5 διό[c] εἰσέρχομαι[vppnnms] εἰς[p] ὁ[dams] κόσμος[nams] λέγω[vipa3s] θυσία[nafs] καί[c] προσφορά[nafs] οὐ[xo] θέλω[viaa2s] σῶμα[nans] δέ[c] καταρτίζω[viam2s] ἐγώ[rpd-s]. **v.6** ὁλοκαύτωμα[nanp] καί[c] περί[p] ἁμαρτία[ngfs] οὐ[xo] εὐδοκέω[viaa2s]. **v.7** τότε[bo] λέγω[viaa1s] ἰδού[vdaa2s] ἥκω[vipa1s] ἐν[p] κεφαλίς[ndfs] βιβλίον[ngns] γράφω[vixp3s] περί[p] ἐγώ[rpg-s] ὁ[dgms] ποιέω[vnaa] ὁ[dnms] θεός[nnms] ὁ[dans] θέλημα[nans] σύ[rpg-s]. **v.8** ἀνώτερος[aansn] λέγω[vppanms] ὅτι[c] θυσία[nafs] καί[c] προσφορά[nafs] καί[c] ὁλοκαύτωμα[nanp] καί[c] περί[p] ἁμαρτία[ngfs] οὐ[xo] θέλω[viaa2s] οὐδέ[bo] εὐδοκέω[viaa2s] ὅστις[rrnfp] κατά[p] ὁ[dams] νόμος[nams] προσφέρω[vipp3p]. **v.9** τότε[bo] λέγω[vixa3s] ἰδού[vdaa2s] ἥκω[vipa1s] ὁ[dgms] ποιέω[vnaa] ὁ[dnms] θεός[nnms] ὁ[dans] θέλημα[nans] σύ[rpg-s] ἀναιρέω[vipa3s] ὁ[dans] πρῶτος[aansn] ἵνα[c] ὁ[dans] δεύτερος[aansn] ἵστημι[vsaa3s]. **v.10** ἐν[p] ὅς[rrdns] θέλημα[ndns] ἁγιάζω[vpxpnmp] εἰμί[vipx1p] διά[p] ὁ[dgfs] προσφορά[ngfs] ὁ[dgns] σῶμα[ngns] ὁ[dgms] Ἰησοῦς[ngms] Χριστός[ngms] ἐφάπαξ[bo]. **v.11** καί[c] πᾶς[anmsn] μέν[xo] ἱερεύς[nnms] ἵστημι[viia3s] κατά[p] ἡμέρα[nafs] λειτουργέω[vppanms] καί[c] ὁ[dafp] αὐτός[rpafp] πολλάκις[bo] προσφέρω[vppanms] θυσία[nafp] ὅστις[rrnfp] οὐδέποτε[bo] δύναμαι[vipn3p] περιαιρέω[vnaa] ἁμαρτία[nafp]. **v.12** αὐτός[rpnms] δέ[c] εἷς[nafs] ὑπέρ[p] ἁμαρτία[ngfp] προσφέρω[vpaanms] θυσία[nafs] εἰς[p] ὁ[dans] διηνεκής[aansn] καθίζω[viaa3s] ἐν[p] δεξιός[adfsn] ὁ[dgms] θεός[ngms]. **v.13** ὁ[dans] λοιπός[aansn] ἐκδέχομαι[vppnnms] ἕως[c] τίθημι[vsap3p] ὁ[dnmp] ἐχθρός[anmpn] αὐτός[rpgms] ὑποπόδιον[nans] ὁ[dgmp] πούς[ngmp] αὐτός[rpgms]. **v.14** εἷς[ndfs] γάρ[c] προσφορά[ndfs] τελειόω[vixa3s] εἰς[p] ὁ[dans] διηνεκής[aansn] ὁ[damp] ἁγιάζω[vpppamp]. **v.15** μαρτυρέω[vipa3s] δέ[c] ἐγώ[rpd-p] καί[c] ὁ[dnns] πνεῦμα[nnns] ὁ[dnns] ἅγιος[annsn] μετά[p] γάρ[c] ὁ[dans] προεῖπον[vnxa]. **v.16** οὗτος[rdnfs] ὁ[dnfs] διαθήκη[nnfs] ὅς[rrafs] διατίθημι[vifd1s] πρός[p] αὐτός[rpamp] μετά[p] ὁ[dafp] ἡμέρα[nafp] ἐκεῖνος[rdafp] λέγω[vipa3s] κύριος[nnms] δίδωμι[vppanms] νόμος[namp] ἐγώ[rpg-s] ἐπί[p] καρδία[nafp] αὐτός[rpgmp] καί[c] ἐπί[p] ὁ[dgfp] διάνοια[ngfp] αὐτός[rpgmp] ἐπιγράφω[vifa1s] αὐτός[rpamp]. **v.17** καί[c] ὁ[dgfp] ἁμαρτία[ngfp] αὐτός[rpgmp] καί[c] ὁ[dgfp] ἀνομία[ngfp] αὐτός[rpgmp] οὐ[xo] μή[xo] μιμνῄσκομαι[vsap1s] ἔτι[bo]. **v.18** ὅπου[bo] δέ[c] ἄφεσις[nnfs] οὗτος[rdgfp] οὐκέτι[bo] προσφορά[nnfs] περί[p] ἁμαρτία[ngfs].

τες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ
αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον, καὶ ζῶ- 20
σαν, διὰ τοῦ καταπετάσματος, τοῦτ᾽ ἔστιν τῆς σαρκὸς αὐτοῦ,
καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ 21, 22
ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς
καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα
ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλι- 23
νῆ, πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος, καὶ κατανοῶμεν ἀλλήλους 24
εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, μὴ ἐγκαταλείπον- 25
τες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρα-
καλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν
ἡμέραν. Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν 26
τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπε-
ται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος 27
ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. ἀθετήσας τις νόμον Μω- 28
σέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνῄσκει,
πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ 29
Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησά-
μενος ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας·
οἴδαμεν γὰρ τὸν εἰπόντα, Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, 30
λέγει Κύριος, καὶ πάλιν, Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ. φο- 31

---

v.19 ἔχω[vppanmp] οὖν[c] ἀδελφός[nvmp] παρρησία[nafs] εἰς[p] ὁ[dafs] εἴσοδος[nafs] ὁ[dgnp] ἅγιος[agnpn] ἐν[p] ὁ[ddns] αἷμα[ndns] Ἰησοῦς[ngms]. **v.20** ὅς[rrafs] ἐγκαινίζω[viaa3s] ἐγώ[rpd-p] ὁδός[nafs] πρόσφατος[aafsn] καί[c] ζάω[vppaafs] διά[p] ὁ[dgns] καταπέτασμα[ngns] εἰμί[rdnns] ὁ[dgfs] σάρξ[ngfs] αὐτός[rpgms]. **v.21** καί[c] ἱερεύς[nams] μέγας[aamsn] ἐπί[p] ὁ[dams] οἶκος[nams] ὁ[dgms] θεός[ngms]. **v.22** προσέρχομαι[vspn1p] μετά[p] ἀληθινός[agfsn] καρδία[ngfs] ἐν[p] πληροφορία[ndfs] πίστις[ngfs] ῥαντίζω[vpxpnmp] ὁ[dafp] καρδία[nafp] ἀπό[p] συνείδησις[ngfs] πονηρός[agfsn] καί[c] λούω[vpxpnmp] ὁ[dans] σῶμα[nans] ὕδωρ[ndns] καθαρός[adnsn]. **v.23** κατέχω[vspa1p] ὁ[dafs] ὁμολογία[nafs] ὁ[dgfs] ἐλπίς[ngfs] ἀκλινής[aafsn] πιστός[anmsn] γάρ[c] ὁ[dnms] ἐπαγγέλλομαι[vpadnms]. **v.24** καί[c] κατανοέω[vspa1p] ἀλλήλων[reamp] εἰς[p] παροξυσμός[nams] ἀγάπη[ngfs] καί[c] καλός[agnpn] ἔργον[ngnp]. **v.25** μή[xo] ἐγκαταλείπω[vppanmp] ὁ[dafs] ἐπισυναγωγή[nafs] ἑαυτοῦ[rxgmp] καθώς[bo] ἔθος[nnns] τι-σριδμπ ἀλλά[c] παρακαλέω[vppanmp] καί[c] τοσοῦτος[rddns] μᾶλλον[bo] ὅσος[rcdns] βλέπω[vipa2p] ἐγγίζω[vppaafs] ὁ[dafs] ἡμέρα[nafs]. **v.26** ἑκουσίως[bo] γάρ[c] ἁμαρτάνω[vppagmp] ἐγώ[rpg-p] μετά[p] ὁ[dans] λαμβάνω[vnaa] ὁ[dafs] ἐπίγνωσις[nafs] ὁ[dgfs] ἀλήθεια[ngfs] οὐκέτι[bo] περί[p] ἁμαρτία[ngfp] ἀπολείπω[vipp3s] θυσία[nnfs]. **v.27** φοβερός[anfsn] δέ[c] τι-σρινφσ ἐκδοχή[nnfs] κρίσις[ngfs] καί[c] πῦρ[ngns] ζῆλος[nnns] ἐσθίω[vnpa] μέλλω[vppagns] ὁ[damp] ὑπεναντίος[aampn]. **v.28** ἀθετέω[vpaanms] τι-σρινμσ νόμος[nams] Μωϋσῆς[ngms] χωρίς[bo] οἰκτιρμός[ngmp] ἐπί[p] δύο[ndmp] ἤ[xo] τρεῖς[ndmp] μάρτυς[ndmp] ἀποθνῄσκω[vipa3s]. **v.29** πόσος[rodns] δοκέω[vipa2p] χείρων[agfsn] ἀξιόω[vifp3s] τιμωρία[ngfs] ὁ[dnms] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms] καταπατέω[vpaanms] καί[c] ὁ[dans] αἷμα[nans] ὁ[dgfs] διαθήκη[ngfs] κοινός[aansn] ἡγέομαι[vpadnms] ἐν[p] ὅς[rrdns] ἁγιάζω[viap3s] καί[c] ὁ[dans] πνεῦμα[nans] ὁ[dgfs] χάρις[ngfs] ἐνυβρίζω[vpaanms]. **v.30** οἶδα[vixa1p] γάρ[c] ὁ[dams] λέγω[vpaaams] ἐγώ[rpd-s] ἐκδίκησις[nnfs] ἐγώ[rpn-s] ἀνταποδίδωμι[vifa1s] λέγω[vipa3s] κύριος[nnms] καί[c] πάλιν[bo] κύριος[nnms] κρίνω[vifa3s] ὁ[dams] λαός[nams] αὐτός[rpgms].

32 βερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Ἀναμιμνῄσκεσθε
δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν
33 ὑπεμείνατε παθημάτων, τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι
θεατριζόμενοι, τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων
34 γενηθέντες. καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν
ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γι-
νώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ
35 μένουσαν. μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει
36 μισθαποδοσίαν μεγάλην. ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ
37 θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν. ἔτι
38 γὰρ μικρὸν ὅσον ὅσον, Ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ὁ
δὲ δίκαιος ἐκ πίστεως ζήσεται, καὶ ἐὰν ὑποστείληται, οὐκ εὐ-
39 δοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς
ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.
11 Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος
2 οὐ βλεπομένων. ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι.
3 πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ
4 ἐκ φαινομένων τά βλεπόμενα γεγονέναι. πίστει πλείονα θυ-
σίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι᾽ ἧς ἐμαρτυρήθη
εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ,
5 καὶ δι᾽ αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. πίστει Ἑνὼχ μετετέθη τοῦ
μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν

---

v.31 φοβερός[annsn] ὁ[dnns] ἐμπίπτω[vnaa] εἰς[p] χείρ[nafp] θεός[ngms] ζάω[vppagms]. **v.32** ἀναμιμνῄσκω[vdpm2p] δέ[c] ὁ[dafp] πρότερος[aansn] ἡμέρα[nafp] ἐν[p] ὅς[rrdfp] φωτίζω[vpapnmp] πολύς[aafsn] ἄθλησις[nafs] ὑπομένω[viaa2p] πάθημα[ngnp]. **v.33** οὗτος[rdnns] μέν[xo] ὀνειδισμός[ndmp] τέ[xo] καί[c] θλῖψις[ndfp] θεατρίζω[vpppnmp] οὗτος[rdnns] δέ[c] κοινωνός[anmpn] ὁ[dgmp] οὕτω[bo] ἀναστρέφω[vpppgmp] γίνομαι[vpaonmp]. **v.34** καί[c] γάρ[c] ὁ[ddmp] δεσμός[ndmp] ἐγώ[rpg-s] συμπαθέω[viaa2p] καί[c] ὁ[dafs] ἁρπαγή[nafs] ὁ[dgnp] ὑπάρχω[vppagnp] σύ[rpg-p] μετά[p] χαρά[ngfs] προσδέχομαι[viad2p] γινώσκω[vppanmp] ἔχω[vnpa] ἐν[p] ἑαυτοῦ[rxdmp] κρείττων[aafsn] ὕπαρξις[nafs] ἐν[p] οὐρανός[ndmp] καί[c] μένω[vppaafs]. **v.35** μή[xo] ἀποβάλλω[vsaa2p] οὖν[c] ὁ[dafs] παρρησία[nafs] σύ[rpg-p] ὅστις[rrnfs] ἔχω[vipa3s] μισθαποδοσία[nafs] μέγας[aafsn]. **v.36** ὑπομονή[ngfs] γάρ[c] ἔχω[vipa2p] χρεία[nafs] ἵνα[c] ὁ[dans] θέλημα[nans] ὁ[dgms] θεός[ngms] ποιέω[vpaanmp] κομίζω[vsam2p] ὁ[dafs] ἐπαγγελία[nafs]. **v.37** ἔτι[bo] γάρ[c] μικρός[aansn] ὅσος[rcans] ὅσος[rcans] ὁ[dnms] ἔρχομαι[vppnnms] ἥκω[vifa3s] καί[c] οὐ[xo] χρονίζω[vifa3s]. **v.38** ὁ[dnms] δέ[c] δίκαιος[anmsn] ἐκ[p] πίστις[ngfs] ζάω[vifd3s] καί[c] ἐάν[qo] ὑποστέλλω[vsam3s] οὐ[xo] εὐδοκέω[vipa3s] ὁ[dnfs] ψυχή[nnfs] ἐγώ[rpg-s] ἐν[p] αὐτός[rpdms]. **v.39** ἐγώ[rpn-p] δέ[c] οὐ[xo] εἰμί[vipx1p] ὑποστολή[ngfs] εἰς[p] ἀπώλεια[nafs] ἀλλά[c] πίστις[ngfs] εἰς[p] περιποίησις[nafs] ψυχή[ngfs]. **11. v.1** εἰμί[vipx3s] δέ[c] πίστις[nnfs] ἐλπίζω[vpppgmp] ὑπόστασις[nnfs] πρᾶγμα[ngnp] ἔλεγχος[nnms] οὐ[xo] βλέπω[vpppgnp]. **v.2** ἐν[p] οὗτος[rddfs] γάρ[c] μαρτυρέω[viap3p] ὁ[dnmp] πρεσβύτερος[anmpn]. **v.3** πίστις[ndfs] νοέω[vipa1p] καταρτίζω[vnxp] ὁ[damp] αἰών[namp] ῥῆμα[ndns] θεός[ngms] εἰς[p] ὁ[dans] μή[xo] ἐκ[p] φαίνω[vppegnp] ὁ[dnnp] βλέπω[vpppnnp] γίνομαι[vnxa]. **v.4** πίστις[ndfs] πολύς[aafsc] θυσία[nafs] Ἄβελ[tp] παρά[p] Κάϊν[tp] προσφέρω[viaa3s] ὁ[ddms] θεός[ndms] διά[p] ὅς[rrgfs] μαρτυρέω[viap3s] εἰμί[vnpx] δίκαιος[anmsn] μαρτυρέω[vppagms] ἐπί[p] ὁ[ddnp] δῶρον[ndnp] αὐτός[rpgms] ὁ[dgms] θεός[ngms] καί[c] διά[p] αὐτός[rpgfs] ἀποθνῄσκω[vpaanms] ἔτι[bo] λαλέω[vipa3s].

ὁ Θεός, πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρε-
στηκέναι τῷ Θεῷ, χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι, 6
πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι, καὶ τοῖς
ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. πίστει χρηματισθεὶς 7
Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς, κατεσκεύασε
κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι᾽ ἧς κατέκρινε τὸν
κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονό-
μος. πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν 8
τόπον ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε, μὴ
ἐπιστάμενος ποῦ ἔρχεται. πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς 9
ἐπαγγελίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσα-
ὰκ καὶ Ἰακὼβ, τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς,
ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης 10
καὶ δημιουργὸς ὁ Θεός. πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς 11
καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν,
ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. διὸ καὶ ἀφ᾽ ἑνὸς 12
ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ
οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θα-
λάσσης ἡ ἀναρίθμητος. Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, 13
μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες,
καὶ πεισθέντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι

---

v.5 πίστις[ndfs] Ἑνώχ[tp] μετατίθημι[viap3s] ὁ[dgms] μή[xo] ὁράω[vnaa] θάνατος[nams] καί[c] οὐ[xo] εὑρίσκω[viip3s] διότι[c] μετατίθημι[viaa3s] αὐτός[rpams] ὁ[dnms] θεός[nnms] πρό[p] γάρ[c] ὁ[dgfs] μετάθεσις[ngfs] αὐτός[rpgms] μαρτυρέω[vixp3s] εὐαρεστέω[vnxa] ὁ[ddms] θεός[ndms]. **v.6** χωρίς[bo] δέ[c] πίστις[ngfs] ἀδύνατος[annsn] εὐαρεστέω[vnaa] πιστεύω[vnaa] γάρ[c] δεῖ[vipq3s] ὁ[dams] προσέρχομαι[vppnams] ὁ[ddms] θεός[ndms] ὅτι[c] εἰμί[vipx3s] καί[c] ὁ[ddmp] ἐκζητέω[vppadmp] αὐτός[rpams] μισθαποδότης[nnms] γίνομαι[vipn3s]. **v.7** πίστις[ndfs] χρηματίζω[vpapnms] Νῶε[tp] περί[p] ὁ[dgnp] μηδέπω[bo] βλέπω[vpppgnp] εὐλαβέομαι[vpapnms] κατασκευάζω[viaa3s] κιβωτός[nafs] εἰς[p] σωτηρία[nafs] ὁ[dgms] οἶκος[ngms] αὐτός[rpgms] διά[p] ὅς[rrgfs] κατακρίνω[viaa3s] ὁ[dams] κόσμος[nams] καί[c] ὁ[dgfs] κατά[p] πίστις[nafs] δικαιοσύνη[ngfs] γίνομαι[viad3s] κληρονόμος[nnms]. **v.8** πίστις[ndfs] καλέω[vpppnms] Ἀβραάμ[tp] ὑπακούω[viaa3s] ἐξέρχομαι[vnaa] εἰς[p] ὁ[dams] τόπος[nams] ὅς[rrams] μέλλω[viia3s] λαμβάνω[vnpa] εἰς[p] κληρονομία[nafs] καί[c] ἐξέρχομαι[viaa3s] μή[xo] ἐπίσταμαι[vppnnms] ποῦ[xo] ἔρχομαι[vipn3s]. **v.9** πίστις[ndfs] παροικέω[viaa3s] εἰς[p] ὁ[dafs] γῆ[nafs] ὁ[dgfs] ἐπαγγελία[ngfs] ὡς[bo] ἀλλότριος[aafsn] ἐν[p] σκηνή[ndfp] κατοικέω[vpaanms] μετά[p] Ἰσαάκ[tp] καί[c] Ἰακώβ[tp] ὁ[dgmp] συγκληρονόμος[agmpn] ὁ[dgfs] ἐπαγγελία[ngfs] ὁ[dgfs] αὐτός[rpgfs]. **v.10** ἐκδέχομαι[viin3s] γάρ[c] ὁ[dafs] ὁ[damp] θεμέλιος[namp] ἔχω[vppaafs] πόλις[nafs] ὅς[rrgfs] τεχνίτης[nnms] καί[c] δημιουργός[nnms] ὁ[dnms] θεός[nnms]. **v.11** πίστις[ndfs] καί[c] αὐτός[rpnfs] Σάρρα[nnfs] δύναμις[nafs] εἰς[p] καταβολή[nafs] σπέρμα[ngns] λαμβάνω[viaa3s] καί[c] παρά[p] καιρός[nams] ἡλικία[ngfs] τίκτω[viaa3s] ἐπεί[c] πιστός[aamsn] ἡγέομαι[viad3s] ὁ[dams] ἐπαγγέλλομαι[vpadams]. **v.12** διό[c] καί[c] ἀπό[p] εἷς[ngms] γεννάω[viap3p] καί[c] οὗτος[rdnnp] νεκρόω[vpxpgms] καθώς[bo] ὁ[dnnp] ἄστρον[nnnp] ὁ[dgms] οὐρανός[ngms] ὁ[ddns] πλῆθος[ndns] καί[c] ὡσεί[bo] ἄμμος[nnfs] ὁ[dnfs] παρά[p] ὁ[dans] χεῖλος[nans] ὁ[dgfs] θάλασσα[ngfs] ὁ[dnfs] ἀναρίθμητος[anfsn].

14 καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. οἱ γὰρ τοιαῦτα λέγοντες
15 ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. καὶ εἰ μὲν ἐκείνης ἐμνη-
16 μόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι, νυνὶ δὲ
κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν ἐπουρανίου, διὸ οὐκ ἐπαι-
σχύνεται αὐτοὺς ὁ Θεὸς, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν, ἡτοίμασε
17 γὰρ αὐτοῖς πόλιν. Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ
πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας
18 ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη, ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί
19 σοι σπέρμα, λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς
20 ὁ Θεός, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. πίστει περὶ
21 μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. πίστει
Ἰακὼβ ἀποθνῄσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ
22 προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. πίστει Ἰωσὴφ
τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ
23 περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. πίστει Μωσῆς γεννηθεὶς
ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον
τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.
24 πίστει Μωσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγα-
25 τρὸς Φαραώ, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ
26 Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦ-
τον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ

---

v.13 κατά[p] πίστις[nafs] ἀποθνῄσκω[viaa3p] οὗτος[rdnmp] πᾶς[anmpn] μή[xo] λαμβάνω[vpaanmp] ὁ[dafp] ἐπαγγελία[nafp] ἀλλά[c] πόρρωθεν[bo] αὐτός[rpafp] ὁράω[vpaanmp] καί[c] πείθω[vpapnmp] καί[c] ἀσπάζομαι[vpadnmp] καί[c] ὁμολογέω[vpaanmp] ὅτι[c] ξένος[anmpn] καί[c] παρεπίδημος[anmpn] εἰμί[vipx3p] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs]. **v.14** ὁ[dnmp] γάρ[c] τοιοῦτος[rdanp] λέγω[vppanmp] ἐμφανίζω[vipa3p] ὅτι[c] πατρίς[nafs] ἐπιζητέω[vipa3p]. **v.15** καί[c] εἰ[qo] μέν[xo] ἐκεῖνος[rdgfs] μνημονεύω[viia3p] ἀπό[p] ὅς[rrgfs] ἐξέρχομαι[viaa3p] ἔχω[viia3p] ἄν[xo] καιρός[nams] ἀνακάμπτω[vnaa]. **v.16** νυνί[bo] δέ[c] κρείττων[agfsn] ὀρέγω[vipm3p] εἰμί[rdnns] ἐπουράνιος[agfsn] διό[c] οὐ[xo] ἐπαισχύνομαι[vipn3s] αὐτός[rpamp] ὁ[dnms] θεός[nnms] θεός[nnms] ἐπικαλέω[vnpp] αὐτός[rpgmp] ἑτοιμάζω[viaa3s] γάρ[c] αὐτός[rpdmp] πόλις[nafs]. **v.17** πίστις[ndfs] προσφέρω[vixa3s] Ἀβραάμ[tp] ὁ[dams] Ἰσαάκ[tp] πειράζω[vpppnms] καί[c] ὁ[dams] μονογενής[aamsn] προσφέρω[viia3s] ὁ[dnms] ὁ[dafp] ἐπαγγελία[nafp] ἀναδέχομαι[vpadnms]. **v.18** πρός[p] ὅς[rrams] λαλέω[viap3s] ὅτι[c] ἐν[p] Ἰσαάκ[tp] καλέω[vifp3s] σύ[rpd-s] σπέρμα[nnns]. **v.19** λογίζομαι[vpadnms] ὅτι[c] καί[c] ἐκ[p] νεκρός[agmpn] ἐγείρω[vnpa] δυνατός[anmsn] ὁ[dnms] θεός[nnms] ὅθεν[bo] αὐτός[rpams] καί[c] ἐν[p] παραβολή[ndfs] κομίζω[viam3s]. **v.20** πίστις[ndfs] περί[p] μέλλω[vppagnp] εὐλογέω[viaa3s] Ἰσαάκ[tp] ὁ[dams] Ἰακώβ[tp] καί[c] ὁ[dams] Ἠσαῦ[tp]. **v.21** πίστις[ndfs] Ἰακώβ[tp] ἀποθνῄσκω[vppanms] ἕκαστος[aamsn] ὁ[dgmp] υἱός[ngmp] Ἰωσήφ[tp] εὐλογέω[viaa3s] καί[c] προσκυνέω[viaa3s] ἐπί[p] ὁ[dans] ἄκρον[nans] ὁ[dgfs] ῥάβδος[ngfs] αὐτός[rpgms]. **v.22** πίστις[ndfs] Ἰωσήφ[tp] τελευτάω[vppanms] περί[p] ὁ[dgfs] ἔξοδος[ngfs] ὁ[dgmp] υἱός[ngmp] Ἰσραήλ[tp] μνημονεύω[viaa3s] καί[c] περί[p] ὁ[dgnp] ὀστέον[ngnp] αὐτός[rpgms] ἐντέλλομαι[viad3s]. **v.23** πίστις[ndfs] Μωϋσῆς[nnms] γεννάω[vpapnms] κρύπτω[viap3s] τρίμηνος[aansn] ὑπό[p] ὁ[dgmp] πατήρ[ngmp] αὐτός[rpgms] διότι[c] ὁράω[viaa3p] ἀστεῖος[aansn] ὁ[dans] παιδίον[nans] καί[c] οὐ[xo] φοβέομαι[viao3p] ὁ[dans] διάταγμα[nans] ὁ[dgms] βασιλεύς[ngms]. **v.24** πίστις[ndfs] Μωϋσῆς[nnms] μέγας[anmsn] γίνομαι[vpadnms] ἀρνέομαι[viad3s] λέγω[vnpp] υἱός[nnms] θυγάτηρ[ngfs] Φαραώ[tp]. **v.25** μᾶλλον[bo] αἱρέω[vpamnms] συγκακουχέομαι[vnpn] ὁ[ddms] λαός[ndms] ὁ[dgms] θεός[ngms] ἤ[xo] πρόσκαιρος[aafsn] ἔχω[vnpa] ἁμαρτία[ngfs] ἀπόλαυσις[nafs].

Χριστοῦ, ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. πίστει κατέ- 27
λιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, τὸν γὰρ
ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε. πίστει πεποίηκε τὸ πάσχα καὶ 28
τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα
θίγῃ αὐτῶν. πίστει διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ 29
ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν. πίστει 30
τὰ τείχη Ἰεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. πίστει 31
Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς
κατασκόπους μετ' εἰρήνης. καὶ τί ἔτι λέγω· ἐπιλείψει γὰρ 32
με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμ-
ψὼν καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν,
οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύ- 33
νην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβε- 34
σαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθη-
σαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβο-
λὰς ἔκλιναν ἀλλοτρίων. ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς 35
νεκροὺς αὐτῶν, ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι
τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν, ἕτεροι 36
δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ
φυλακῆς, ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ 37
μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρ-

---

v.26 μέγας[aamsc] πλοῦτος[nams] ἡγέομαι[vpadnms] ὁ[dgmp] ἐν[p] Αἴγυπτος[ndfs] θησαυρός[ngmp] ὁ[dams] ὀνειδισμός[nams] ὁ[dgms] Χριστός[ngms] ἀποβλέπω[viia3s] γάρ[c] εἰς[p] ὁ[dafs] μισθαποδοσία[nafs]. **v.27** πίστις[ndfs] καταλείπω[viaa3s] Αἴγυπτος[nafs] μή[xo] φοβέομαι[vpaonms] ὁ[dams] θυμός[nams] ὁ[dgms] βασιλεύς[ngms] ὁ[dams] γάρ[c] ἀόρατος[aamsn] ὡς[bo] ὁράω[vppanms] καρτερέω[viaa3s]. **v.28** πίστις[ndfs] ποιέω[vixa3s] ὁ[dans] πάσχα[ta] καί[c] ὁ[dafs] πρόσχυσις[nafs] ὁ[dgns] αἷμα[ngns] ἵνα[c] μή[xo] ὁ[dnms] ὀλοθρεύω[vppanms] ὁ[danp] πρωτότοκος[aanpn] θιγγάνω[vsaa3s] αὐτός[rpgmp]. **v.29** πίστις[ndfs] διαβαίνω[viaa3p] ὁ[dafs] ἐρυθρός[aafsn] θάλασσα[nafs] ὡς[bo] διά[p] ξηρός[ngfs] ὅς[rrgfs] πεῖρα[nafs] λαμβάνω[vpaanmp] ὁ[dnmp] Αἰγύπτιος[anmpn] καταπίνω[viap3p]. **v.30** πίστις[ndfs] ὁ[dnnp] τεῖχος[nnnp] Ἰεριχώ[tp] πίπτω[viaa3s] κυκλόω[vpapnnp] ἐπί[p] ἑπτά[tn] ἡμέρα[nafp]. **v.31** πίστις[ndfs] Ῥαάβ[tp] ὁ[dnfs] πόρνη[nnfs] οὐ[xo] συναπόλλυμι[viam3s] ὁ[ddmp] ἀπειθέω[vpaadmp] δέχομαι[vpadnfs] ὁ[damp] κατάσκοπος[namp] μετά[p] εἰρήνη[ngfs]. **v.32** καί[c] τίς[rqans] ἔτι[bo] λέγω[vspa1s] ἐπιλείπω[vifa3s] γάρ[c] ἐγώ[rpa-s] διηγέομαι[vppnams] ὁ[dnms] χρόνος[nnms] περί[p] Γεδεών[tp] Βαράκ[tp] τέ[xo] καί[c] Σαμψών[tp] καί[c] Ἰεφθάε[tp] Δαυίδ[tp] τέ[xo] καί[c] Σαμουήλ[tp] καί[c] ὁ[dgmp] προφήτης[ngmp]. **v.33** ὅς[rrnmp] διά[p] πίστις[ngfs] καταγωνίζομαι[viad3p] βασιλεία[nafp] ἐργάζομαι[viad3p] δικαιοσύνη[nafs] ἐπιτυγχάνω[viaa2p] ἐπαγγελία[ngfp] φράσσω[viaa3p] στόμα[nanp] λέων[ngmp]. **v.34** σβέννυμι[viaa3p] δύναμις[nafs] πῦρ[ngns] φεύγω[viaa3p] στόμα[nanp] μάχαιρα[ngfs] ἐνδυναμόω[viap3p] ἀπό[p] ἀσθένεια[ngfs] γίνομαι[viao3p] ἰσχυρός[anmpn] ἐν[p] πόλεμος[ndms] παρεμβολή[nafp] κλίνω[viaa3p] ἀλλότριος[agmpn]. **v.35** λαμβάνω[viaa3p] γυνή[nnfp] ἐκ[p] ἀνάστασις[ngfs] ὁ[damp] νεκρός[aampn] αὐτός[rpgfp] ἄλλος[anmpn] δέ[c] τυμπανίζω[viap3p] οὐ[xo] προσδέχομαι[vpadnmp] ὁ[dafs] ἀπολύτρωσις[nafs] ἵνα[c] κρείττων[agfsn] ἀνάστασις[ngfs] τυγχάνω[vsaa3p]. **v.36** ἕτερος[anmpn] δέ[c] ἐμπαιγμός[ngmp] καί[c] μάστιξ[ngfp] πεῖρα[nafs] λαμβάνω[viaa3p] ἔτι[bo] δέ[c] δεσμός[ngmp] καί[c] φυλακή[ngfs].

38 μασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν
ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαί-
39 οις καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ οὗτοι πάντες, μαρτυρηθέντες
40 διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ
περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τε-
λειωθῶσι.

12 Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν
νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστα-
τον ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν
2 ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν
Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυ-
ρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ
3 εκάθισεν. ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑ-
πὸ τῶν ἁμαρτωλῶν εἰς ἀυτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς
4 ψυχαῖς ὑμῶν ἐκλυόμενοι. οὔπω μέχρις αἵματος ἀντικατέστητε
5 πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρα-
κλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται, Υἱέ μου, μὴ ὀλιγώρει
6 παιδείας Κυρίου, μηδὲ ἐκλύου, ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος, ὃν
γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παρα-
7 δέχεται. εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ
8 Θεός, τίς γὰρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ· εἰ δὲ χωρίς ἐστε

---

v.37 λιθάζω[viap3p] πρίζω[viap3p] πειράζω[viap3p] ἐν[p] φόνος[ndms] μάχαιρα[ngfs] ἀποθνῄσκω[viaa3p] περιέρχομαι[viaa3p] ἐν[p] μηλωτή[ndfp] ἐν[p] αἴγειος[adnpn] δέρμα[ndnp] ὑστερέω[vppppnmp] θλίβω[vppppnmp] κακουχέω[vppppnmp]. **v.38** ὅς[rrgmp] οὐ[xo] εἰμί[viix3s] ἄξιος[anmsn] ὁ[dnms] κόσμος[nnms] ἐν[p] ἐρημία[ndfp] πλανάω[vppppnmp] καί[c] ὄρος[ndnp] καί[c] σπήλαιον[ndnp] καί[c] ὁ[ddfp] ὀπή[ndfp] ὁ[dgfs] γῆ[ngfs]. **v.39** καί[c] οὗτος[rdnmp] πᾶς[anmpn] μαρτυρέω[vpapnmp] διά[p] ὁ[dgfs] πίστις[ngfs] οὐ[xo] κομίζω[viam3p] ὁ[dafs] ἐπαγγελία[nafs]. **v.40** ὁ[dgms] θεός[ngms] περί[p] ἐγώ[rpg-p] κρείττων[aansn] τι-σριανσ προβλέπω[vpamgms] ἵνα[c] μή[xo] χωρίς[bo] ἐγώ[rpg-p] τελειόω[vsap3p]. **12. v.1** τοιγαροῦν[xo] καί[c] ἐγώ[rpn-p] τοσοῦτος[rdans] ἔχω[vppanmp] περίκειμαι[vppnans] ἐγώ[rpd-p] νέφος[nans] μάρτυς[ngmp] ὄγκος[nams] ἀποτίθημι[vpamnmp] πᾶς[aamsn] καί[c] ὁ[dafs] εὐπερίστατος[aafsn] ἁμαρτία[nafs] διά[p] ὑπομονή[ngfs] τρέχω[vspa1p] ὁ[dams] πρόκειμαι[vppnams] ἐγώ[rpd-p] ἀγών[nams]. **v.2** ἀφοράω[vppanmp] εἰς[p] ὁ[dams] ὁ[dgfs] πίστις[ngfs] ἀρχηγός[nams] καί[c] τελειωτής[nams] Ἰησοῦς[nams] ὅς[rrnms] ἀντί[p] ὁ[dgfs] πρόκειμαι[vppngfs] αὐτός[rpdms] χαρά[ngfs] ὑπομένω[viaa3s] σταυρός[nams] αἰσχύνη[ngfs] καταφρονέω[vpaanms] ἐν[p] δεξιός[adfsn] τέ[xo] ὁ[dgms] θρόνος[ngms] ὁ[dgms] θεός[ngms] καθίζω[viaa3s]. **v.3** ἀναλογίζομαι[vdad2p] γάρ[c] ὁ[dams] τοιοῦτος[rdafs] ὑπομένω[vpxaams] ὑπό[p] ὁ[dgmp] ἁμαρτωλός[agmpn] εἰς[p] αὐτός[rpams] ἀντιλογία[nafs] ἵνα[c] μή[xo] κάμνω[vsaa2p] ὁ[ddfp] ψυχή[ndfp] σύ[rpg-p] ἐκλύω[vppppnmp]. **v.4** οὔπω[bo] μέχρι[bo] αἷμα[ngns] ἀντικαθίστημι[viaa2p] πρός[p] ὁ[dafs] ἁμαρτία[nafs] ἀνταγωνίζομαι[vppnnmp]. **v.5** καί[c] ἐκλανθάνομαι[vixp2p] ὁ[dgfs] παράκλησις[ngfs] ὅστις[rrnfs] σύ[rpd-p] ὡς[bo] υἱός[ndmp] διαλέγομαι[vipn3s] υἱός[nvms] ἐγώ[rpg-s] μή[xo] ὀλιγωρέω[vdpa2s] παιδεία[ngfs] κύριος[ngms] μηδέ[c] ἐκλύω[vdpp2s] ὑπό[p] αὐτός[rpgms] ἐλέγχω[vppppnms]. **v.6** ὅς[rrams] γάρ[c] ἀγαπάω[vipa3s] κύριος[nnms] παιδεύω[vipa3s] μαστιγόω[vipa3s] δέ[c] πᾶς[aamsn] υἱός[nams] ὅς[rrams] παραδέχομαι[vipn3s]. **v.7** εἰ[qo] παιδεία[nafs] ὑπομένω[vipa2p] ὡς[bo] υἱός[ndmp] σύ[rpd-p] προσφέρω[vipp3s] ὁ[dnms] θεός[nnms] τίς[rqnms] γάρ[c] εἰμί[vipx3s] υἱός[nnms] ὅς[rrams] οὐ[xo] παιδεύω[vipa3s] πατήρ[nnms].

παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ
υἱοί. εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευ- 9
τὰς καὶ ἐνετρεπόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ
πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν· οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡ- 10
μέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον,
εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. πᾶσα δὲ παιδεία πρὸς 11
μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ
καρπὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δι-
καιοσύνης. διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα 12
γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν 13
ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. Εἰρήνην δι- 14
ώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται
τὸν Κύριον, ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος 15
τοῦ Θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ
ταύτης μιανθῶσι πολλοί, μή τις πόρνος ἢ βέβηλος, ὡς Ἠσαῦ, 16
ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. ἴστε γὰρ 17
ὅτι καὶ μετέπειτα, θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκι-
μάσθη, μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων
ἐκζητήσας αὐτήν. Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄ- 18
ρει, καὶ κεκαυμενῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ,
καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες πα- 19

---

v.8 εἰ[qo] δέ[c] χωρίς[bo] εἰμί[vipx2p] παιδεία[ngfs] ὅς[rrgfs] μέτοχος[anmpn] γίνομαι[vixa3p] πᾶς[anmpn] ἄρα[xo] νόθος[anmpn] εἰμί[vipx2p] καί[c] οὐ[xo] υἱός[nnmp]. **v.9** εἶτα[bo] ὁ[damp] μέν[xo] ὁ[dgfs] σάρξ[ngfs] ἐγώ[rpg-p] πατήρ[namp] ἔχω[viia1p] παιδευτής[namp] καί[c] ἐντρέπω[viim1p] οὐ[xo] πολύς[adnsn] μᾶλλον[bo] ὑποτάσσω[vifp1p] ὁ[ddms] πατήρ[ndms] ὁ[dgnp] πνεῦμα[ngnp] καί[c] ζάω[vifa1p]. **v.10** ὁ[dnmp] μέν[xo] γάρ[c] πρός[p] ὀλίγος[aafpn] ἡμέρα[nafp] κατά[p] ὁ[dans] δοκέω[vppaans] αὐτός[rpdmp] παιδεύω[viia3p] ὁ[dnms] δέ[c] ἐπί[p] ὁ[dans] συμφέρω[vppaans] εἰς[p] ὁ[dans] μεταλαμβάνω[vnaa] ὁ[dgfs] ἁγιότης[ngfs] αὐτός[rpgms]. **v.11** πᾶς[anfsn] δέ[c] παιδεία[nnfs] πρός[p] μέν[xo] ὁ[dans] πάρειμι[vppxans] οὐ[xo] δοκέω[vipa3s] χαρά[ngfs] εἰμί[vnpx] ἀλλά[c] λύπη[ngfs] ὕστερος[bo] δέ[c] καρπός[nams] εἰρηνικός[aafsn] ὁ[ddmp] διά[p] αὐτός[rpgfs] γυμνάζω[vpxpdmp] ἀποδίδωμι[vipa3s] δικαιοσύνη[ngfs]. **v.12** διό[c] ὁ[dafp] παρίημι[vpxpafp] χείρ[nafp] καί[c] ὁ[danp] παραλύω[vpxpanp] γόνυ[nanp] ἀνορθόω[vdaa2p]. **v.13** καί[c] τροχιά[nafp] ὀρθός[aafpn] ποιέω[vdaa2p] ὁ[ddmp] πούς[ndmp] σύ[rpg-p] ἵνα[c] μή[xo] ὁ[dnns] χωλός[annsn] ἐκτρέπω[vsap3s] ἰάομαι[vsap3s] δέ[c] μᾶλλον[bo]. **v.14** εἰρήνη[nafs] διώκω[vdpa2p] μετά[p] πᾶς[agmpn] καί[c] ὁ[dams] ἁγιασμός[nams] ὅς[rrgms] χωρίς[bo] οὐδείς[anfsn] ὁράω[vifd3s] ὁ[dams] κύριος[nams]. **v.15** ἐπισκοπέω[vppanmp] μή[xo] τι-σρινμσ ὑστερέω[vppanms] ἀπό[p] ὁ[dgfs] χάρις[ngfs] ὁ[dgms] θεός[ngms] μή[xo] τι-σρινφσ ῥίζα[nnfs] πικρία[ngfs] ἄνω[bo] φύω[vppanfs] ἐνοχλέω[vspa3s] καί[c] διά[p] οὗτος[rdgfs] μιαίνω[vsap3p] πολύς[anmpn]. **v.16** μή[xo] τι-σρινμσ πόρνος[nnms] ἤ[xo] βέβηλος[anmsn] ὡς[bo] Ἠσαῦ[tp] ὅς[rrnms] ἀντί[p] βρῶσις[ngfs] εἷς[ngfs] ἀποδίδωμι[viam3s] ὁ[danp] πρωτοτόκια[nanp] αὐτός[rpgms]. **v.17** οἶδα[vdxa2p] γάρ[c] ὅτι[c] καί[c] μετέπειτα[bo] θέλω[vppanms] κληρονομέω[vnaa] ὁ[dafs] εὐλογία[nafs] ἀποδοκιμάζω[viap3s] μετάνοια[ngfs] γάρ[c] τόπος[nams] οὐ[xo] εὑρίσκω[viaa3s] καίπερ[c] μετά[p] δάκρυον[ngnp] ἐκζητέω[vpaanms] αὐτός[rpafs]. **v.18** οὐ[xo] γάρ[c] προσέρχομαι[vixa2p] ψηλαφάω[vpppdns] ὄρος[ndns] καί[c] καίω[vpxpdns] πῦρ[ndns] καί[c] γνόφος[ndms] καί[c] σκότος[ndms] καί[c] θύελλα[ndfs].

20 ρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον, οὐκ ἔφερον γὰρ τὸ
διαστελλόμενον, Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται,
21 ἢ βολίδι κατατοξευθήσεται, καί, οὕτω φοβερὸν ἦν τὸ φαντα-
22 ζόμενον, Μωσῆς εἶπεν, Ἔκφοβός εἰμι καὶ ἔντρομος. ἀλλὰ
προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἰερουσαλὴμ
23 ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων. πανηγύρει καὶ ἐκκλησίᾳ
πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάν-
24 των, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας
μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ κρείττονα λαλοῦντι παρὰ
25 τὸ Ἅβελ. βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖ-
νοι οὐκ ἔφυγον, τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα,
26 πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ᾽ οὐρανῶν ἀποστρεφόμενοι, οὗ
ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται, λέγων, Ἔτι
27 ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δέ,
Ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιη-
28 μένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. διὸ βασιλείαν ἀσάλευτον
παραλαμβάνοντες, ἔχωμεν χάριν δι᾽ ἧς λατρεύωμεν εὐαρέστως
29 τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας, καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ
καταναλίσκον.
13, 2 Ἡ φιλαδελφία μενέτω. τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε,
3 διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. μιμνῄσκε-
σθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων, ὡς καὶ

---

v.19 καί[c] σάλπιγξ[ngfs] ἦχος[ndms] καί[c] φωνή[ndfs] ῥῆμα[ngnp] ὅς[rrgfs] ὁ[dnmp] ἀκούω[vpaanmp] παραιτέομαι[viad3p] μή[xo] προστίθημι[vnap] αὐτός[rpdmp] λόγος[nams]. **v.20** οὐ[xo] φέρω[viia3p] γάρ[c] ὁ[dans] διαστέλλω[vpppans] κἄν[qo] θηρίον[nnns] θιγγάνω[vsaa3s] ὁ[dgns] ὄρος[ngns] λιθοβολέω[vifp3s] ἤ[xo] βολίς[ndfs] κατατοξεύω[vifp3s]. **v.21** καί[c] οὕτω[bo] φοβερός[annsn] εἰμί[viix3s] ὁ[dnns] φαντάζω[vpppnns] Μωϋσῆς[nnms] λέγω[viaa3s] ἔκφοβος[anmsn] εἰμί[vipx1s] καί[c] ἔντρομος[anmsn]. **v.22** ἀλλά[c] προσέρχομαι[vixa2p] Σιών[tp] ὄρος[ndns] καί[c] πόλις[ndfs] θεός[ngms] ζάω[vppagms] Ἰερουσαλήμ[tp] ἐπουράνιος[adfsn] καί[c] μυριάς[ndmp] ἄγγελος[ngmp]. **v.23** πανήγυρις[ndfs] καί[c] ἐκκλησία[ndfs] πρωτότοκος[agmpn] ἐν[p] οὐρανός[ndmp] ἀπογράφω[vpxpgmp] καί[c] κριτής[ndms] θεός[ndms] πᾶς[agmpn] καί[c] πνεῦμα[ndnp] δίκαιος[agmpn] τελειόω[vpxpgmp]. **v.24** καί[c] διαθήκη[ngfs] νέος[agfsn] μεσίτης[ndms] Ἰησοῦς[ndms] καί[c] αἷμα[ndns] ῥαντισμός[ngms] κρείττων[aanpn] λαλέω[vppadms] παρά[p] ὁ[dans] Ἅβελ[tp]. **v.25** βλέπω[vdpa2p] μή[xo] παραιτέομαι[vsad2p] ὁ[dams] λαλέω[vppaams] εἰ[qo] γάρ[c] ἐκεῖνος[rdnmp] οὐ[xo] φεύγω[viaa3p] ὁ[dams] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] παραιτέομαι[vpadnmp] χρηματίζω[vppaams] πολύς[adnsn] μᾶλλον[bo] ἐγώ[rpn-p] ὁ[dnmp] ὁ[dams] ἀπό[p] οὐρανός[ngmp] ἀποστρέφω[vppmnmp]. **v.26** ὅς[rrgms] ὁ[dnfs] φωνή[nnfs] ὁ[dafs] γῆ[nafs] σαλεύω[viaa3s] τότε[bo] νῦν[bo] δέ[c] ἐπαγγέλλομαι[vixn3s] λέγω[vppanms] ἔτι[bo] ἅπαξ[bo] ἐγώ[rpn-s] σείω[vipa1s] οὐ[xo] μόνος[bo] ὁ[dafs] γῆ[nafs] ἀλλά[c] καί[c] ὁ[dams] οὐρανός[nams]. **v.27** ὁ[dnns] δέ[c] ἔτι[bo] ἅπαξ[bo] δηλόω[vipa3s] ὁ[dgnp] σαλεύω[vpppgnp] ὁ[dafs] μετάθεσις[nafs] ὡς[bo] ποιέω[vpxpgmp] ἵνα[c] μένω[vsaa3s] ὁ[dnnp] μή[xo] σαλεύω[vpppnnp]. **v.28** διό[c] βασιλεία[nafs] ἀσάλευτος[aafsn] παραλαμβάνω[vppanmp] ἔχω[vspa1p] χάρις[nafs] διά[p] ὅς[rrgfs] λατρεύω[vspa1p] εὐαρέστως[bo] ὁ[ddms] θεός[ndms] μετά[p] αἰδώς[ngfs] καί[c] εὐλάβεια[ngfs]. **v.29** καί[c] γάρ[c] ὁ[dnms] θεός[nnms] ἐγώ[rpg-p] πῦρ[nnns] καταναλίσκω[vppanns]. **13. v.1** ὁ[dnfs] φιλαδελφία[nnfs] μένω[vdpa3s]. **v.2** ὁ[dgfs] φιλοξενία[ngfs] μή[xo] ἐπιλανθάνομαι[vdpn2p] διά[p] οὗτος[rdgfs] γάρ[c] λανθάνω[viaa3p] τι-σρινμπ ξενίζω[vpaanmp] ἄγγελος[namp].

αὐτοὶ ὄντες ἐν σώματι. τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη 4
ἀμίαντος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. ἀφιλάργυ- 5
ρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, αὐτὸς γὰρ εἴρηκεν,
Οὐ μή σε ἀνῶ, οὐδ᾽ οὐ μή σε ἐγκαταλίπω. ὥστε θαρροῦντας 6
ἡμᾶς λέγειν, Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιή-
σει μοι ἄνθρωπος. Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες 7
ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκ-
βασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς 8
χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας. διδαχαῖς 9
ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε, καλὸν γὰρ χάριτι βεβαι-
οῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ
περιπατήσαντες. ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔ- 10
χουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. ὧν γὰρ εἰσφέρεται 11
ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως,
τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ καὶ 12
Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς
πύλης ἔπαθε. τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμ- 13
βολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. οὐ γὰρ ἔχομεν ὧδε 14
μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. δι᾽ αὐτοῦ 15
οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔ-
στιν καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. τῆς δὲ 16

---

τος ἐγενήθη εἰς κεφαλὴν γωνίας, καὶ, Λίθος προσκόμματος, 8
καὶ πέτρα σκανδάλου, οἳ προσκόπτουσι τῷ λόγῳ, ἀπειθοῦν-

---

v.22 ὁ[dafp] ψυχή[nafp] σύ[rpg-p] ἁγνίζω[vpxanmp] ἐν[p] ὁ[ddfs] ὑπακοή[ndfs] ὁ[dgfs] ἀλήθεια[ngfs] διά[p] πνεῦμα[ngns] εἰς[p] φιλαδελφία[nafs] ἀνυπόκριτος[aafsn] ἐκ[p] καθαρός[agfsn] καρδία[ngfs] ἀλλήλων[reamp] ἀγαπάω[vdaa2p] ἐκτενῶς[bo]. **v.23** ἀναγεννάω[vpppnmp] οὐ[xo] ἐκ[p] σπορά[ngfs] φθαρτός[agfsn] ἀλλά[c] ἄφθαρτος[agfsn] διά[p] λόγος[ngms] ζάω[vppagms] θεός[ngms] καί[c] μένω[vppagms] εἰς[p] ὁ[dams] αἰών[nams]. **v.24** διότι[c] πᾶς[anfsn] σάρξ[nnfs] ὡς[bo] χόρτος[nnms] καί[c] πᾶς[anfsn] δόξα[nnfs] ἄνθρωπος[ngms] ὡς[bo] ἄνθος[nnns] χόρτος[ngms] ξηραίνω[viap3s] ὁ[dnms] χόρτος[nnms] καί[c] ὁ[dnns] ἄνθος[nnns] αὐτός[rpgms] ἐκπίπτω[viaa3s]. **v.25** ὁ[dnns] δέ[c] ῥῆμα[nnns] κύριος[ngms] μένω[vipa3s] εἰς[p] ὁ[dams] αἰών[nams] οὗτος[rdnns] δέ[c] εἰμί[vipx3s] ὁ[dnns] ῥῆμα[nnns] ὁ[dnns] εὐαγγελίζω[vpapnns] εἰς[p] σύ[rpa-p]. **2. v.1** ἀποτίθημι[vpamnmp] οὖν[c] πᾶς[aafsn] κακία[nafs] καί[c] πᾶς[aamsn] δόλος[nams] καί[c] ὑπόκρισις[nafp] καί[c] φθόνος[namp] καί[c] πᾶς[aafpn] καταλαλιά[nafp]. **v.2** ὡς[bo] ἀρτιγέννητος[annpn] βρέφος[nnnp] ὁ[dans] λογικός[aansn] ἄδολος[aansn] γάλα[nans] ἐπιποθέω[vdaa2p] ἵνα[c] ἐν[p] αὐτός[rpdns] αὐξάνω[vsap2p]. **v.3** εἴπερ[qo] γεύομαι[viad2p] ὅτι[c] χρηστός[anmsn] ὁ[dnms] κύριος[nnms]. **v.4** πρός[p] ὅς[rrams] προσέρχομαι[vppnnmp] λίθος[nams] ζάω[vppaams] ὑπό[p] ἄνθρωπος[ngmp] μέν[xo] ἀποδοκιμάζω[vpxpams] παρά[p] δέ[c] θεός[ndms] ἐκλεκτός[aamsn] ἔντιμος[aamsn]. **v.5** καί[c] αὐτός[rpnmp] ὡς[bo] λίθος[nnmp] ζάω[vppanmp] οἰκοδομέω[vipp2p] οἶκος[nnms] πνευματικός[anmsn] ἱεράτευμα[nnns] ἅγιος[annsn] ἀναφέρω[vnaa] πνευματικός[aafpn] θυσία[nafp] εὐπρόσδεκτος[aafpn] ὁ[ddms] θεός[ndms] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.6** διό[c] καί[c] περιέχω[vipa3s] ἐν[p] ὁ[ddfs] γραφή[ndfs] ἰδού[vdaa2s] τίθημι[vipa1s] ἐν[p] Σιών[tp] λίθος[nams] ἀκρογωνιαῖος[aamsn] ἐκλεκτός[aamsn] ἔντιμος[aamsn] καί[c] ὁ[dnms] πιστεύω[vppanms] ἐπί[p] αὐτός[rpdms] οὐ[xo] μή[xo] καταισχύνω[vsap3s]. **v.7** σύ[rpd-p] οὖν[c] ὁ[dnfs] τιμή[nnfs] ὁ[ddmp] πιστεύω[vppadmp] ἀπειθέω[vppadmp] δέ[c] λίθος[nams] ὅς[rrams] ἀποδοκιμάζω[viaa3p] ὁ[dnmp] οἰκοδομέω[vppanmp] οὗτος[rdnms] γίνομαι[viao3s] εἰς[p] κεφαλή[nafs] γωνία[ngfs].

9 τες, εἰς ὃ καὶ ἐτέθησαν, ὑμεῖς δὲ γένος ἐκλεκτόν, βασίλειον
ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρε-
τὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυ-
10 μαστὸν αὐτοῦ φῶς, οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ λαὸς Θεοῦ, οἱ
11 οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες. Ἀγαπητοί, παρακαλῶ ὡς
παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυ-
12 μιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν
ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν, ἵνα, ἐν ᾧ καταλαλοῦσιν
ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δο-
13 ξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς. Ὑποτάγητε οὖν πάσῃ
ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι,
14 εἴτε ἡγεμόσιν, ὡς δι᾽ αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν μὲν κα-
15 κοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν. ὅτι οὕτως ἐστὶ τὸ θέλημα
τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώ-
16 πων ἀγνωσίαν, ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες
17 τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ᾽ ὡς δοῦλοι Θεοῦ. πάντας τι-
μήσατε. τὴν ἀδελφότητα ἀγαπᾶτε. τὸν Θεὸν φοβεῖσθε. τὸν
18 βασιλέα τιμᾶτε. Οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς
δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς
19 σκολιοῖς. τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει
20 τις λύπας, πάσχων ἀδίκως. ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνον-

---

v.8 καί[c] λίθος[nnms] πρόσκομμα[ngns] καί[c] πέτρα[nnfs] σκάνδαλον[ngns] ὅς[rrnmp] προσκόπτω[vipa3p] ὁ[ddms] λόγος[ndms] ἀπειθέω[vppanmp] εἰς[p] ὅς[rrans] καί[c] τίθημι[viap3p]. **v.9** σύ[rpn-p] δέ[c] γένος[nnns] ἐκλεκτός[annsn] βασίλειος[annsn] ἱεράτευμα[nnns] ἔθνος[nnns] ἅγιος[annsn] λαός[nnms] εἰς[p] περιποίησις[nafs] ὅπως[bo] ὁ[dafp] ἀρετή[nafp] ἐξαγγέλλω[vsaa2p] ὁ[dgms] ἐκ[p] σκότος[ngns] σύ[rpa-p] καλέω[vpaagms] εἰς[p] ὁ[dans] θαυμαστός[aansn] αὐτός[rpgms] φῶς[nans]. **v.10** ὅς[dnmp] ποτέ[xo] οὐ[xo] λαός[nnms] νῦν[bo] δέ[c] λαός[nnms] θεός[ngms] ὁ[dnmp] οὐ[xo] ἐλεέω[vpxpnmp] νῦν[bo] δέ[c] ἐλεέω[vpapnmp]. **v.11** ἀγαπητός[avmpn] παρακαλέω[vipa1s] ὡς[bo] πάροικος[aampn] καί[c] παρεπίδημος[aampn] ἀπέχω[vnpm] ὁ[dgfp] σαρκικός[agfpn] ἐπιθυμία[ngfp] ὅστις[rrnfp] στρατεύω[vipm3p] κατά[p] ὁ[dgfs] ψυχή[ngfs]. **v.12** ὁ[dafs] ἀναστροφή[nafs] σύ[rpg-p] ἐν[p] ὁ[ddnp] ἔθνος[ndnp] ἔχω[vppanmp] καλός[aafsn] ἵνα[c] ἐν[p] ὅς[rrdns] καταλαλέω[vipa3p] σύ[rpg-p] ὡς[bo] κακοποιός[agmpn] ἐκ[p] ὁ[dgnp] καλός[agnpn] ἔργον[ngnp] ἐποπτεύω[vpaanmp] δοξάζω[vsaa3p] ὁ[dams] θεός[nams] ἐν[p] ἡμέρα[ndfs] ἐπισκοπή[ngfs]. **v.13** ὑποτάσσω[vdap2p] οὖν[c] πᾶς[adfsn] ἀνθρώπινος[adfsn] κτίσις[ndfs] διά[p] ὁ[dams] κύριος[nams] εἴτε[c] βασιλεύς[ndms] ὡς[bo] ὑπερέχω[vppadms]. **v.14** εἴτε[c] ἡγεμών[ndmp] ὡς[bo] διά[p] αὐτός[rpgms] πέμπω[vpppdmp] εἰς[p] ἐκδίκησις[nafs] μέν[xo] κακοποιός[agmpn] ἔπαινος[nams] δέ[c] ἀγαθοποιός[agmpn]. **v.15** ὅτι[c] οὕτω[bo] εἰμί[vipx3s] ὁ[dnns] θέλημα[nnns] ὁ[dgms] θεός[ngms] ἀγαθοποιέω[vppaamp] φιμόω[vnpa] ὁ[dafs] ὁ[dgmp] ἄφρων[agmpn] ἄνθρωπος[ngmp] ἀγνωσία[nafs]. **v.16** ὡς[bo] ἐλεύθερος[anmpn] καί[c] μή[xo] ὡς[bo] ἐπικάλυμμα[nans] ἔχω[vppanmp] ὁ[dgfs] κακία[ngfs] ὁ[dafs] ἐλευθερία[nafs] ἀλλά[c] ὡς[bo] δοῦλος[nnmp] θεός[ngms]. **v.17** πᾶς[aampn] τιμάω[vdaa2p] ὁ[dafs] ἀδελφότης[nafs] ἀγαπάω[vdpa2p] ὁ[dams] θεός[nams] φοβέομαι[vdpn2p] ὁ[dams] βασιλεύς[nams] τιμάω[vdpa2p]. **v.18** ὁ[dnmp] οἰκέτης[nnmp] ὑποτάσσω[vpppnmp] ἐν[p] πᾶς[admsn] φόβος[ndms] ὁ[ddmp] δεσπότης[ndmp] οὐ[xo] μόνος[bo] ὁ[ddmp] ἀγαθός[admpn] καί[c] ἐπιεικής[admpn] ἀλλά[c] καί[c] ὁ[ddmp] σκολιός[admpn]. **v.19** οὗτος[rdnns] γάρ[c] χάρις[nnfs] εἰ[qo] διά[p] συνείδησις[nafs] θεός[ngms] ὑποφέρω[vipa3s] τι-σρινμσ λύπη[nafp] πάσχω[vppanms] ἀδίκως[bo].

τες καὶ κολαφιζόμενοι ὑπομενεῖτε· ἀλλ᾽ εἰ ἀγαθοποιοῦντες καὶ
πάσχοντες, ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ. εἰς τοῦτο γὰρ 21
ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμ-
πάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ,
ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι 22
αὐτοῦ, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠ- 23
πείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως, ὃς τὰς ἁμαρτίας 24
ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα,
ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν, οὗ τῷ
μώλωπι αὐτοῦ ἰάθητε. ἦτε γὰρ ὡς πρόβατα πλανώμενα, ἀλλ᾽ 25
ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν
ὑμῶν.

Ὁμοίως, αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, **3**
ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀ-
ναστροφῆς ἄνευ λόγου κερδηθήσωνται. ἐποπτεύσαντες τὴν 2
ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. ὧν ἔστω οὐχ ὁ ἔξωθεν 3
ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱμα-
τίων κόσμος, ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ 4
ἀφθάρτῳ τοῦ πρᾳέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον
τοῦ Θεοῦ πολυτελές. οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες 5
αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι
τοῖς ἰδίοις ἀνδράσιν, ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραάμ, κύ- 6

---

v.20 ποῖος[rqnns] γάρ[c] κλέος[nnns] εἰ[qo] ἁμαρτάνω[vppanmp] καί[c] κολαφίζω[vppppnmp] ὑπομένω[vifa2p] ἀλλά[c] εἰ[qo] ἀγαθοποιέω[vppanmp] καί[c] πάσχω[vppanmp] ὑπομένω[vifa2p] οὗτος[rdnns] χάρις[nnfs] παρά[p] θεός[ndms]. **v.21** εἰς[p] οὗτος[rdans] γάρ[c] καλέω[viap2p] ὅτι[c] καί[c] Χριστός[nnms] πάσχω[viaa3s] ὑπέρ[p] ἐγώ[rpg-p] ἐγώ[rpd-p] ὑπολιμπάνω[vppanms] ὑπογραμμός[nams] ἵνα[c] ἐπακολουθέω[vsaa2p] ὁ[ddnp] ἴχνος[ndnp] αὐτός[rpgms]. **v.22** ὅς[rrnms] ἁμαρτία[nafs] οὐ[xo] ποιέω[viaa3s] οὐδέ[bo] εὑρίσκω[viap3s] δόλος[nnms] ἐν[p] ὁ[ddns] στόμα[ndns] αὐτός[rpgms]. **v.23** ὅς[rrnms] λοιδορέω[vppppnms] οὐ[xo] ἀντιλοιδορέω[viia3s] πάσχω[vppanms] οὐ[xo] ἀπειλέω[viia3s] παραδίδωμι[viia3s] δέ[c] ὁ[ddms] κρίνω[vppadms] δικαίως[bo]. **v.24** ὅς[rrnms] ὁ[dafp] ἁμαρτία[nafp] ἐγώ[rpg-p] αὐτός[rpnms] ἀναφέρω[viaa3s] ἐν[p] ὁ[ddns] σῶμα[ndns] αὐτός[rpgms] ἐπί[p] ὁ[dans] ξύλον[nans] ἵνα[c] ὁ[ddfp] ἁμαρτία[ndfp] ἀπογίνομαι[vpadnmp] ὁ[ddfs] δικαιοσύνη[ndfs] ζάω[vsaa1p] ὅς[rrgms] ὁ[ddms] μώλωψ[ndms] αὐτός[rpgms] ἰάομαι[viap2p]. **v.25** εἰμί[viix2p] γάρ[c] ὡς[bo] πρόβατον[nnnp] πλανάω[vppppnnp] ἀλλά[c] ἐπιστρέφω[viap2p] νῦν[bo] ἐπί[p] ὁ[dams] ποιμήν[nams] καί[c] ἐπίσκοπος[nams] ὁ[dgfp] ψυχή[ngfp] σύ[rpg-p]. **3. v.1** ὁμοίως[bo] ὁ[dnfp] γυνή[nnfp] ὑποτάσσω[vppppnfp] ὁ[ddmp] ἴδιος[admpn] ἀνήρ[ndmp] ἵνα[c] καί[c] εἰ[qo] τι-σρινμπ ἀπειθέω[vipa3p] ὁ[ddms] λόγος[ndms] διά[p] ὁ[dgfs] ὁ[dgfp] γυνή[ngfp] ἀναστροφή[ngfs] ἄνευ[p] λόγος[ngms] κερδαίνω[vsap3p]. **v.2** ἐποπτεύω[vpaanmp] ὁ[dafs] ἐν[p] φόβος[ndms] ἁγνός[aafsn] ἀναστροφή[nafs] σύ[rpg-p]. **v.3** ὅς[rrgfp] εἰμί[vdpx3s] οὐ[xo] ὁ[dnms] ἔξωθεν[bo] ἐμπλοκή[ngfs] θρίξ[ngfp] καί[c] περίθεσις[ngfs] χρυσίον[ngnp] ἤ[xo] ἔνδυσις[ngfs] ἱμάτιον[ngnp] κόσμος[nnms]. **v.4** ἀλλά[c] ὁ[dnms] κρυπτός[anmsn] ὁ[dgfs] καρδία[ngfs] ἄνθρωπος[nnms] ἐν[p] ὁ[ddns] ἄφθαρτος[adnsn] ὁ[dgns] πραΰς[agnsn] καί[c] ἡσύχιος[agnsn] πνεῦμα[ngns] ὅς[rrnns] εἰμί[vipx3s] ἐνώπιον[bo] ὁ[dgms] θεός[ngms] πολυτελής[annsn]. **v.5** οὕτω[bo] γάρ[c] ποτέ[xo] καί[c] ὁ[dnfp] ἅγιος[anfpn] γυνή[nnfp] ὁ[dnfp] ἐλπίζω[vppanfp] ἐπί[p] ὁ[dams] θεός[nams] κοσμέω[viia3p] ἑαυτοῦ[rxafp] ὑποτάσσω[vppppnfp] ὁ[ddmp] ἴδιος[admpn] ἀνήρ[ndmp].

ριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι καὶ
7 μὴ φοβούμεναι μηδεμίαν πτόησιν. Οἱ ἄνδρες ὁμοίως, συν-
οικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ
ἀπονέμοντες τιμήν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἲς τὸ
8 μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν. Τὸ δὲ τέλος, πάντες ὁ-
μόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες,
9 μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας,
τοὐναντίον δὲ. εὐλογοῦντες, εἰδότες ὅτι εἲς τοῦτο ἐκλήθητε, ἵνα
10 εὐλογίαν κληρονομήσητε. Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν, καὶ
ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κα-
11 κοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον, ἐκκλινάτω ἀπὸ
κακοῦ, καὶ ποιησάτω ἀγαθόν, ζητησάτω εἰρήνην, καὶ διωξάτω
12 αὐτήν. ὅτι οἳ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ
εἲς δέησιν αὐτῶν, πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.
13 Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε.
14 ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι, Τὸν δὲ φό-
15 βον αὐτῶν μὴ φοβηθῆτε μηδὲ ταραχθῆτε, Κύριον δὲ τὸν Θεὸν
ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν, ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολο-
γίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος,
16 μετά πραΰτητος καί φόβου. συνείδησιν ἔχοντες ἀγαθήν ἵνα
ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς κακοποιων καταισχυνθῶσιν οἱ ἐπη-

---

v.6 ὡς$^{\text{bo}}$ Σάρρα$^{\text{nnfs}}$ ὑπακούω$^{\text{viaa3s}}$ ὁ$^{\text{ddms}}$ Ἀβραάμ$^{\text{tp}}$ κύριος$^{\text{nams}}$ αὐτός$^{\text{rpams}}$ καλέω$^{\text{vppanfs}}$ ὅς$^{\text{rrgfs}}$ γίνομαι$^{\text{viao2p}}$ τέκνον$^{\text{nanp}}$ ἀγαθοποιέω$^{\text{vppanfp}}$ καί$^{\text{c}}$ μή$^{\text{xo}}$ φοβέομαι$^{\text{vppnnfp}}$ μηδείς$^{\text{aafsn}}$ πτόησις$^{\text{nafs}}$. **v.7** ὁ$^{\text{dnmp}}$ ἀνήρ$^{\text{nnmp}}$ ὁμοίως$^{\text{bo}}$ συνοικέω$^{\text{vppanmp}}$ κατά$^{\text{p}}$ γνῶσις$^{\text{nafs}}$ ὡς$^{\text{bo}}$ ἀσθενής$^{\text{adnsc}}$ σκεῦος$^{\text{ndns}}$ ὁ$^{\text{ddns}}$ γυναικεῖος$^{\text{adnsn}}$ ἀπονέμω$^{\text{vppanmp}}$ τιμή$^{\text{nafs}}$ ὡς$^{\text{bo}}$ καί$^{\text{c}}$ συγκληρονόμος$^{\text{anmpn}}$ χάρις$^{\text{ngfs}}$ ζωή$^{\text{ngfs}}$ εἰς$^{\text{p}}$ ὁ$^{\text{dans}}$ μή$^{\text{xo}}$ ἐκκόπτω$^{\text{vnpp}}$ ὁ$^{\text{dafp}}$ προσευχή$^{\text{nafp}}$ σύ$^{\text{rpg-p}}$. **v.8** ὁ$^{\text{dnns}}$ δέ$^{\text{c}}$ τέλος$^{\text{nnns}}$ πᾶς$^{\text{anmpn}}$ ὁμόφρων$^{\text{anmpn}}$ συμπαθής$^{\text{anmpn}}$ φιλάδελφος$^{\text{anmpn}}$ εὔσπλαγχνος$^{\text{anmpn}}$ φιλόφρων$^{\text{anmpn}}$. **v.9** μή$^{\text{xo}}$ ἀποδίδωμι$^{\text{vppanmp}}$ κακός$^{\text{aansn}}$ ἀντί$^{\text{p}}$ κακός$^{\text{agnsn}}$ ἤ$^{\text{xo}}$ λοιδορία$^{\text{nafs}}$ ἀντί$^{\text{p}}$ λοιδορία$^{\text{ngfs}}$ ὁ$^{\text{bo}}$ δέ$^{\text{c}}$ εὐλογέω$^{\text{vppanmp}}$ οἶδα$^{\text{vpxanmp}}$ ὅτι$^{\text{c}}$ εἰς$^{\text{p}}$ οὗτος$^{\text{rdans}}$ καλέω$^{\text{viap2p}}$ ἵνα$^{\text{c}}$ εὐλογία$^{\text{nafs}}$ κληρονομέω$^{\text{vsaa2p}}$. **v.10** ὁ$^{\text{dnms}}$ γάρ$^{\text{c}}$ θέλω$^{\text{vppanms}}$ ζωή$^{\text{nafs}}$ ἀγαπάω$^{\text{vnpa}}$ καί$^{\text{c}}$ ὁράω$^{\text{vnaa}}$ ἡμέρα$^{\text{nafp}}$ ἀγαθός$^{\text{aafpn}}$ παύω$^{\text{vdaa3s}}$ ὁ$^{\text{dafs}}$ γλῶσσα$^{\text{nafs}}$ αὐτός$^{\text{rpgms}}$ ἀπό$^{\text{p}}$ κακός$^{\text{agnsn}}$ καί$^{\text{c}}$ χεῖλος$^{\text{nanp}}$ αὐτός$^{\text{rpgms}}$ ὁ$^{\text{dgms}}$ μή$^{\text{xo}}$ λαλέω$^{\text{vnaa}}$ δόλος$^{\text{nams}}$. **v.11** ἐκκλίνω$^{\text{vdaa3s}}$ ἀπό$^{\text{p}}$ κακός$^{\text{agnsn}}$ καί$^{\text{c}}$ ποιέω$^{\text{vdaa3s}}$ ἀγαθός$^{\text{aansn}}$ ζητέω$^{\text{vdaa3s}}$ εἰρήνη$^{\text{nafs}}$ καί$^{\text{c}}$ διώκω$^{\text{vdaa3s}}$ αὐτός$^{\text{rpafs}}$. **v.12** ὅτι$^{\text{c}}$ ὁ$^{\text{dnmp}}$ ὀφθαλμός$^{\text{nnmp}}$ κύριος$^{\text{ngms}}$ ἐπί$^{\text{p}}$ δίκαιος$^{\text{aampn}}$ καί$^{\text{c}}$ οὖς$^{\text{nnnp}}$ αὐτός$^{\text{rpgms}}$ εἰς$^{\text{p}}$ δέησις$^{\text{nafs}}$ αὐτός$^{\text{rpgmp}}$ πρόσωπον$^{\text{nnns}}$ δέ$^{\text{c}}$ κύριος$^{\text{ngms}}$ ἐπί$^{\text{p}}$ ποιέω$^{\text{vppaamp}}$ κακός$^{\text{aanpn}}$. **v.13** καί$^{\text{c}}$ τίς$^{\text{rqnms}}$ ὁ$^{\text{dnms}}$ κακόω$^{\text{vpfanms}}$ σύ$^{\text{rpa-p}}$ ἐάν$^{\text{qo}}$ ὁ$^{\text{dgms}}$ ἀγαθός$^{\text{agnsn}}$ μιμητής$^{\text{nnmp}}$ γίνομαι$^{\text{vsad2p}}$. **v.14** ἀλλά$^{\text{c}}$ εἰ$^{\text{qo}}$ καί$^{\text{c}}$ πάσχω$^{\text{vopa2p}}$ διά$^{\text{p}}$ δικαιοσύνη$^{\text{nafs}}$ μακάριος$^{\text{anmpn}}$ ὁ$^{\text{dams}}$ δέ$^{\text{c}}$ φόβος$^{\text{nams}}$ αὐτός$^{\text{rpgmp}}$ μή$^{\text{xo}}$ φοβέομαι$^{\text{vdao2p}}$ μηδέ$^{\text{c}}$ ταράσσω$^{\text{vsap2p}}$. **v.15** κύριος$^{\text{nams}}$ δέ$^{\text{c}}$ ὁ$^{\text{dams}}$ θεός$^{\text{nams}}$ ἁγιάζω$^{\text{vdaa2p}}$ ἐν$^{\text{p}}$ ὁ$^{\text{ddfp}}$ καρδία$^{\text{ndfp}}$ σύ$^{\text{rpg-p}}$ ἕτοιμος$^{\text{anmpn}}$ δέ$^{\text{c}}$ ἀεί$^{\text{bo}}$ πρός$^{\text{p}}$ ἀπολογία$^{\text{nafs}}$ πᾶς$^{\text{admsn}}$ ὁ$^{\text{ddms}}$ αἰτέω$^{\text{vppadms}}$ σύ$^{\text{rpa-p}}$ λόγος$^{\text{nams}}$ περί$^{\text{p}}$ ὁ$^{\text{dgfs}}$ ἐν$^{\text{p}}$ σύ$^{\text{rpd-p}}$ ἐλπίς$^{\text{ngfs}}$ μετά$^{\text{p}}$ πραΰτης$^{\text{ngfs}}$ καί$^{\text{c}}$ φόβος$^{\text{ngms}}$.

ρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν. κρεῖττον 17
γὰρ ἀγαθοποιοῦντας, εἰ θέλει τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν, ἢ
κακοποιοῦντας. ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, 18
δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατω-
θεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι, ἐν ᾧ καὶ τοῖς ἐν 19
φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί ποτε, ὅτε 20
ἅπαξ ἐξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία, ἐν ἡμέραις Νῶε κατα-
σκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι, τοῦτ᾽ ἔστιν ὀκτὼ ψυχαί,
διεσώθησαν δι᾽ ὕδατος. ᾧ καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βά- 21
πτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς
ἐπερώτημα εἰς Θεόν, δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν 22
ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ
ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐ- **4**
τὴν ἔννοιαν ὁπλίσασθε, ὅτι ὁ παθὼν ἔν σαρκὶ, πέπαυται ἁ-
μαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι 2
Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. ἀρκετὸς γὰρ 3
ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου τὸ θέλημα τῶν ἐθνῶν
κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰ-
νοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις, ἐν 4
ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας

---

v.16 συνείδησις[nafs] ἔχω[vppanmp] ἀγαθός[aafsn] ἵνα[c] ἐν[p] ὅς[rrdns] καταλαλέω[vspa3p] σύ[rpg-p] ὡς[bo] κακοποιός[agmpn] καταισχύνω[vsap3p] ὁ[dnmp] ἐπηρεάζω[vppanmp] σύ[rpg-p] ὁ[dafs] ἀγαθός[aafsn] ἐν[p] Χριστός[ndms] ἀναστροφή[nafs]. **v.17** κρείττων[annsn] γάρ[c] ἀγαθοποιέω[vppaamp] εἰ[qo] θέλω[vipa3s] ὁ[dnns] θέλημα[nnns] ὁ[dgms] θεός[ngms] πάσχω[vnpa] ἤ[xo] κακοποιέω[vppaamp]. **v.18** ὅτι[c] καί[c] Χριστός[nnms] ἅπαξ[bo] περί[p] ἁμαρτία[ngfp] πάσχω[viaa3s] δίκαιος[anmsn] ὑπέρ[p] ἄδικος[agmpn] ἵνα[c] ἐγώ[rpa-p] προσάγω[vsaa3s] ὁ[ddms] θεός[ndms] θανατόω[vpxpnms] μέν[xo] σάρξ[ndfs] ζῳοποιέω[vpapnms] δέ[c] ὁ[ddns] πνεῦμα[ndns]. **v.19** ἐν[p] ὅς[rrdns] καί[c] ὁ[ddnp] ἐν[p] φυλακή[ndfs] πνεῦμα[ndnp] πορεύομαι[vpaonms] κηρύσσω[viaa3s]. **v.20** ἀπειθέω[vpaadmp] ποτέ[xo] ὅτε[bo] ἅπαξ[bo] ἐκδέχομαι[viin3s] ὁ[dnfs] ὁ[dgms] θεός[ngms] μακροθυμία[nnfs] ἐν[p] ἡμέρα[ndfp] Νῶε[tp] κατασκευάζω[vpppgfs] κιβωτός[ngfs] εἰς[p] ὅς[rrafs] ὀλίγος[anfpn] εἰμί[rdnns] ὀκτώ[tn] ψυχή[nnfp] διασῴζω[viap3p] διά[p] ὕδωρ[ngns]. **v.21** ὅς[rrdns] καί[c] ἐγώ[rpa-p] ἀντίτυπος[annsn] νῦν[bo] σῴζω[vipa3s] βάπτισμα[nnns] οὐ[xo] σάρξ[ngfs] ἀπόθεσις[nnfs] ῥύπος[ngms] ἀλλά[c] συνείδησις[ngfs] ἀγαθός[agfsn] ἐπερώτημα[nnns] εἰς[p] θεός[nams] διά[p] ἀνάστασις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.22** ὅς[rrnms] εἰμί[vipx3s] ἐν[p] δεξιός[adfsn] ὁ[dgms] θεός[ngms] πορεύομαι[vpaonms] εἰς[p] οὐρανός[nams] ὑποτάσσω[vpapgmp] αὐτός[rpdms] ἄγγελος[ngmp] καί[c] ἐξουσία[ngfp] καί[c] δύναμις[ngfp]. **4. v.1** Χριστός[ngms] οὖν[c] πάσχω[vpaagms] ὑπέρ[p] ἐγώ[rpg-p] σάρξ[ndfs] καί[c] σύ[rpn-p] ὁ[dafs] αὐτός[rpafs] ἔννοια[nafs] ὁπλίζω[vdam2p] ὅτι[c] ὁ[dnms] πάσχω[vpaanms] ἐν[p] σάρξ[ndfs] παύω[vixp3s] ἁμαρτία[ngfs]. **v.2** εἰς[p] ὁ[dans] μηκέτι[bo] ἄνθρωπος[ngmp] ἐπιθυμία[ndfp] ἀλλά[c] θέλημα[ndns] θεός[ngms] ὁ[dams] ἐπίλοιπος[aamsn] ἐν[p] σάρξ[ndfs] βιόω[vnaa] χρόνος[nams]. **v.3** ἀρκετός[anmsn] γάρ[c] ἐγώ[rpd-p] ὁ[dnms] παρέρχομαι[vpxanms] χρόνος[nnms] ὁ[dgms] βίος[ngms] ὁ[dans] θέλημα[nans] ὁ[dgnp] ἔθνος[ngnp] κατεργάζομαι[vnad] πορεύομαι[vpxnamp] ἐν[p] ἀσέλγεια[ndfp] ἐπιθυμία[ndfp] οἰνοφλυγία[ndfp] κῶμος[ndmp] πότος[ndmp] καί[c] ἀθέμιτος[adfpn] εἰδωλολατρία[ndfp].

5 ἀνάχυσιν, βλασφημοῦντες, οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως
6 ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς. εἰς τοῦτο γὰρ καὶ νεκροῖς
εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ
7 κατὰ Θεὸν πνεύματι, Πάντων δὲ τὸ τέλος ἤγγικε, σωφρονή-
8 σατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς, πρὸ πάντων δὲ τὴν
εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ ἀγάπη καλύψει πλῆ-
9, 10 θος ἁμαρτιῶν, φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν, ἕ-
καστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες,
11 ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ, εἴ τις λαλεῖ, ὡς
λόγια Θεοῦ, εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός,
ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστιν ἡ
12 δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Ἀγα-
πητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν
13 γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος, ἀλλὰ καθὸ κοινωνεῖτε
τοῖς τοῦ Χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύ-
14 ψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. εἰ ὀνειδίζεσθε ἐν
ὀνόματι Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ
Πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται, κατὰ μὲν αὐτοὺς βλασφημεῖται,
15 κατὰ δὲ ὑμᾶς δοξάζεται. μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς,
16 ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος, εἰ δὲ ὡς
Χριστιανός, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ μέρει

---

v.4 ἐν[p] ὅς[rrdns] ξενίζω[vipp3p] μή[xo] συντρέχω[vppagmp] σύ[rpg-p] εἰς[p] ὁ[dafs] αὐτός[rpafs] ὁ[dgfs] ἀσωτία[ngfs] ἀνάχυσις[nafs] βλασφημέω[vppanmp]. **v.5** ὅς[rrnmp] ἀποδίδωμι[vifa3p] λόγος[nams] ὁ[ddms] ἑτοίμως[bo] ἔχω[vppadms] κρίνω[vnaa] ζάω[vppaamp] καί[c] νεκρός[aampn]. **v.6** εἰς[p] οὗτος[rdans] γάρ[c] καί[c] νεκρός[admpn] εὐαγγελίζω[viap3s] ἵνα[c] κρίνω[vsap3p] μέν[xo] κατά[p] ἄνθρωπος[namp] σάρξ[ndfs] ζάω[vspa3p] δέ[c] κατά[p] θεός[nams] πνεῦμα[ndns]. **v.7** πᾶς[agnpn] δέ[c] ὁ[dnns] τέλος[nnns] ἐγγίζω[vixa3s] σωφρονέω[vdaa2p] οὖν[c] καί[c] νήφω[vdaa2p] εἰς[p] ὁ[dafp] προσευχή[nafp]. **v.8** πρό[p] πᾶς[agmpn] δέ[c] ὁ[dafs] εἰς[p] ἑαυτοῦ[rxamp] ἀγάπη[nafs] ἐκτενής[aafsn] ἔχω[vppanmp] ὅτι[c] ὁ[dnfs] ἀγάπη[nnfs] καλύπτω[vifa3s] πλῆθος[nans] ἁμαρτία[ngfp]. **v.9** φιλόξενος[anmpn] εἰς[p] ἀλλήλων[reamp] ἄνευ[p] γογγυσμός[ngmp]. **v.10** ἕκαστος[anmsn] καθώς[bo] λαμβάνω[viaa3s] χάρισμα[nans] εἰς[p] ἑαυτοῦ[rxamp] αὐτός[rpans] διακονέω[vppanmp] ὡς[bo] καλός[anfpn] οἰκονόμος[nnmp] ποικίλος[agfsn] χάρις[ngfs] θεός[ngms]. **v.11** εἰ[qo] τι-σρινμσ λαλέω[vipa3s] ὡς[bo] λόγιον[nanp] θεός[ngms] εἰ[qo] τι-σρινμσ διακονέω[vipa3s] ὡς[bo] ἐκ[p] ἰσχύς[ngfs] ὅς[rrgfs] χορηγέω[vipa3s] ὁ[dnms] θεός[nnms] ἵνα[c] ἐν[p] πᾶς[adnpn] δοξάζω[vspp3s] ὁ[dnms] θεός[nnms] διά[p] Ἰησοῦς[ngms] Χριστός[ngms] ὅς[rrdms] εἰμί[vipx3s] ὁ[dnfs] δόξα[nnfs] καί[c] ὁ[dnns] κράτος[nnns] εἰς[p] ὁ[damp] αἰών[namp] ὁ[dgmp] αἰών[ngmp] ἀμήν[th]. **v.12** ἀγαπητός[avmpn] μή[xo] ξενίζω[vdpp2p] ὁ[ddfs] ἐν[p] σύ[rpd-p] πύρωσις[ndfs] πρός[p] πειρασμός[nams] σύ[rpd-p] γίνομαι[vppndfs] ὡς[bo] ξένος[agnsn] σύ[rpd-p] συμβαίνω[vppagns]. **v.13** ἀλλά[c] καθό[bo] κοινωνέω[vipa2p] ὁ[ddnp] ὁ[dgms] Χριστός[ngms] πάθημα[ndnp] χαίρω[vdpa2p] ἵνα[c] καί[c] ἐν[p] ὁ[ddfs] ἀποκάλυψις[ndfs] ὁ[dgfs] δόξα[ngfs] αὐτός[rpgms] χαίρω[vsao2p] ἀγαλλιάω[vppnnmp]. **v.14** εἰ[qo] ὀνειδίζω[vipp2p] ἐν[p] ὄνομα[ndns] Χριστός[ngms] μακάριος[anmpn] ὅτι[c] ὁ[dnns] ὁ[dgfs] δόξα[ngfs] καί[c] ὁ[dnns] ὁ[dgms] θεός[ngms] πνεῦμα[nnns] ἐπί[p] σύ[rpa-p] ἀναπαύω[vipm3s] κατά[p] μέν[xo] αὐτός[rpamp] βλασφημέω[vipp3s] κατά[p] δέ[c] σύ[rpa-p] δοξάζω[vipp3s]. **v.15** μή[xo] γάρ[c] τι-σρινμσ σύ[rpg-p] πάσχω[vdpa3s] ὡς[bo] φονεύς[nnms] ἤ[xo] κλέπτης[nnms] ἤ[xo] κακοποιός[anmsn] ἤ[xo] ὡς[bo] ἀλλοτριεπίσκοπος[nnms].

τούτῳ. ὅτι ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ 17
Θεοῦ, εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ
τοῦ Θεοῦ εὐαγγελίῳ· καὶ Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς 18
καὶ ἁμαρτωλὸς ποῦ φανεῖται· ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ 19
θέλημα τοῦ Θεοῦ, ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς
ἑαυτῶν ἐν ἀγαθοποιΐᾳ.

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος **5**
καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης
ἀποκαλύπτεσθαι δόξης κοινωνός, ποιμάνατε τὸ ἐν ὑμῖν ποί- 2
μνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ᾽ ἑκουσίως,
μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μηδ᾽ ὡς κατακυριεύον- 3
τες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. καὶ φα- 4
νερωθέντος τοῦ ἀρχιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς
δόξης στέφανον. ὁμοίως, νεώτεροι, ὑποτάγητε πρεσβυτέροις, 5
πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι, τὴν ταπεινοφροσύνην ἐγ-
κομβώσασθε, ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς
δὲ δίδωσι χάριν. ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα 6
τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ, πᾶσαν τὴν μέριμναν 7
ὑμῶν ἐπιρρίψαντες ἐπ᾽ αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. νή- 8
ψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων
ὠρυόμενος περιπατεῖ ζητῶν τινα καταπίῃ, ᾧ ἀντίστητε στερεοὶ 9
τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν

---

v.16 εἰ[qo] δέ[c] ὡς[bo] Χριστιανός[nnms] μή[xo] αἰσχύνω[vdpp3s] δοξάζω[vdpa3s] δέ[c] ὁ[dams] θεός[nams] ἐν[p] ὁ[ddns] μέρος[ndns] οὗτος[rddns]. **v.17** ὅτι[c] ὁ[dnms] καιρός[nnms] ὁ[dgms] ἄρχω[vnam] ὁ[dans] κρίμα[nans] ἀπό[p] ὁ[dgms] οἶκος[ngms] ὁ[dgms] θεός[ngms] εἰ[qo] δέ[c] πρῶτος[bo] ἀπό[p] ἐγώ[rpg-p] τίς[rqnns] ὁ[dnns] τέλος[nnns] ὁ[dgmp] ἀπειθέω[vppagmp] ὁ[ddns] ὁ[dgms] θεός[ngms] εὐαγγέλιον[ndns]. **v.18** καί[c] εἰ[qo] ὁ[dnms] δίκαιος[anmsn] μόλις[bo] σῴζω[vipp3s] ὁ[dnms] ἀσεβής[anmsn] καί[c] ἁμαρτωλός[anmsn] ποῦ[xo] φαίνω[vifd3s]. **v.19** ὥστε[c] καί[c] ὁ[dnmp] πάσχω[vppanmp] κατά[p] ὁ[dans] θέλημα[nans] ὁ[dgms] θεός[ngms] ὡς[bo] πιστός[admsn] κτίστης[ndms] παρατίθημι[vdpp3p] ὁ[dafp] ψυχή[nafp] ἑαυτοῦ[rxgmp] ἐν[p] ἀγαθοποιΐα[ndfs]. **5. v.1** πρεσβύτερος[aampn] ὁ[damp] ἐν[p] σύ[rpd-p] παρακαλέω[vipa1s] ὁ[dnms] συμπρεσβύτερος[nnms] καί[c] μάρτυς[nnms] ὁ[dgnp] ὁ[dgms] Χριστός[ngms] πάθημα[ngnp] ὁ[dnms] καί[c] ὁ[dgfs] μέλλω[vppagfs] ἀποκαλύπτω[vnpp] δόξα[ngfs] κοινωνός[nnms]. **v.2** ποιμαίνω[vdaa2p] ὁ[dans] ἐν[p] σύ[rpd-p] ποίμνιον[nans] ὁ[dgms] θεός[ngms] ἐπισκοπέω[vppanmp] μή[xo] ἀναγκαστῶς[bo] ἀλλά[c] ἑκουσίως[bo] μηδέ[c] αἰσχροκερδῶς[bo] ἀλλά[c] προθύμως[bo]. **v.3** μηδέ[c] ὡς[bo] κατακυριεύω[vppanmp] ὁ[dgmp] κλῆρος[ngmp] ἀλλά[c] τύπος[nnmp] γίνομαι[vppnnmp] ὁ[dgns] ποίμνιον[ngns]. **v.4** καί[c] φανερόω[vpapgms] ὁ[dgms] ἀρχιποίμην[ngms] κομίζω[vifd2p] ὁ[dams] ἀμαράντινος[aamsn] ὁ[dgfs] δόξα[ngfs] στέφανος[nams]. **v.5** ὁμοίως[bo] νέος[anmpc] ὑποτάσσω[vdap2p] πρεσβύτερος[admpn] πᾶς[anmpn] δέ[c] ἀλλήλων[redmp] ὑποτάσσω[vpppnmp] ὁ[dafs] ταπεινοφροσύνη[nafs] ἐγκομβόομαι[vdad2p] ὅτι[c] ὁ[dnms] θεός[nnms] ὑπερήφανος[admpn] ἀντιτάσσω[vipm3s] ταπεινός[admpn] δέ[c] δίδωμι[vipa3s] χάρις[nafs]. **v.6** ταπεινόω[vdap2p] οὖν[c] ὑπό[p] ὁ[dafs] κραταιός[aafsn] χείρ[nafs] ὁ[dgms] θεός[ngms] ἵνα[c] σύ[rpa-p] ὑψόω[vsaa3s] ἐν[p] καιρός[ndms]. **v.7** πᾶς[aafsn] ὁ[dafs] μέριμνα[nafs] σύ[rpg-p] ἐπιρίπτω[vpaanmp] ἐπί[p] αὐτός[rpams] ὅτι[c] αὐτός[rpdms] μέλει[vipq3s] περί[p] σύ[rpg-p]. **v.8** νήφω[vdaa2p] γρηγορέω[vdaa2p] ὅτι[c] ὁ[dnms] ἀντίδικος[nnms] σύ[rpg-p] διάβολος[anmsn] ὡς[bo] λέων[nnms] ὠρύομαι[vppnnms] περιπατέω[vipa3s] ζητέω[vppanms] τι-σρχαμσ καταπίνω[vsaa3s].

10 ἀδελφότητι ἐπιτελεῖσθαι. ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέ-
σας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον
παθόντας αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελι-
11 ώσαι. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
12 ἀμήν. Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι,
δι᾽ ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι
13 ἀληθῆ χάριν τοῦ Θεοῦ εἰς ἣν ἑστήκατε. ἀσπάζεται ὑμᾶς ἡ
14 ἐν Βαβυλῶνι συνεκλεκτή, καὶ Μᾶρκος ὁ υἱός μου. ἀσπάσα-
σθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν
Χριστῷ Ἰησοῦ. ἀμήν.

---

v.9 ὅς[rrdms] ἀνθίστημι[vdaa2p] στερεός[anfpn] ὁ[ddfs] πίστις[ndfs] οἶδα[vpxanmp] ὁ[dnnp] αὐτός[rpnnp] ὁ[dgnp] πάθημα[ngnp] ὁ[ddfs] ἐν[p] κόσμος[ndms] σύ[rpg-p] ἀδελφότης[ndfs] ἐπιτελέω[vnpp]. **v.10** ὁ[dnms] δέ[c] θεός[nnms] πᾶς[agfsn] χάρις[ngfs] ὁ[dnms] καλέω[vpaanms] ἐγώ[rpa-p] εἰς[p] ὁ[dafs] αἰώνιος[aafsn] αὐτός[rpgms] δόξα[nafs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ὀλίγος[aamsn] πάσχω[vpaaamp] αὐτός[rpnms] καταρτίζω[voaa3s] σύ[rpa-p] στηρίζω[voaa3s] σθενόω[voaa3s] θεμελιόω[voaa3s]. **v.11** αὐτός[rpdms] ὁ[dnfs] δόξα[nnfs] καί[c] ὁ[dnns] κράτος[nnns] εἰς[p] ὁ[damp] αἰών[namp] ὁ[dgmp] αἰών[ngmp] ἀμήν[th]. **v.12** διά[p] Σιλουανός[ngms] σύ[rpd-p] ὁ[dgms] πιστός[agmsn] ἀδελφός[ngms] ὡς[bo] λογίζομαι[vipn1s] διά[p] ὀλίγος[agnpn] γράφω[viaa1s] παρακαλέω[vppanms] καί[c] ἐπιμαρτυρέω[vppanms] οὗτος[rdafs] εἰμί[vnpx] ἀληθής[aafsn] χάρις[nafs] ὁ[dgms] θεός[ngms] εἰς[p] ὅς[rrafs] ἵστημι[vixa2p]. **v.13** ἀσπάζομαι[vipn3s] σύ[rpa-p] ὁ[dnfs] ἐν[p] Βαβυλών[ndfs] συνεκλεκτός[anfsn] καί[c] Μᾶρκος[nnms] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s]. **v.14** ἀσπάζομαι[vdad2p] ἀλλήλων[reamp] ἐν[p] φίλημα[ndns] ἀγάπη[ngfs] εἰρήνη[nnfs] σύ[rpd-p] πᾶς[admpn] ὁ[ddmp] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] ἀμήν[th].

ΠΕΤΡΟΥ
ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ

Σίμων Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ, τοῖς ἰ- **1**
σότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ Θεοῦ ἡμῶν καὶ
σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, χάρις ὑμῖν καὶ εἰρήνη πλη- 2
θυνθείη ἐν ἐπιγνώσει τοῦ Θεοῦ καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν,
ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ 3
εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος
ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ὧν τὰ μέγιστα ἡμῖν καὶ τίμια ἐ- 4
παγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ
φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. καὶ 5
αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγή-
σατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν,
ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομο- 6
νήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν 7
φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. ταῦτα γὰρ ὑ- 8
μῖν ὑπάρχοντα, καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους
καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν,
ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι μυωπάζων, λήθην λα- 9
βὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. διὸ μᾶλλον, 10
ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν

---

1. v.1 Σίμων[nnms] Πέτρος[nnms] δοῦλος[nnms] καί[c] ἀπόστολος[nnms] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[ddmp] ἰσότιμος[aafsn] ἐγώ[rpd-p] λαγχάνω[vpaadmp] πίστις[nafs] ἐν[p] δικαιοσύνη[ndfs] ὁ[dgms] θεός[ngms] ἐγώ[rpg-p] καί[c] σωτήρ[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.2** χάρις[nnfs] σύ[rpd-p] καί[c] εἰρήνη[nnfs] πληθύνω[voap3s] ἐν[p] ἐπίγνωσις[ndfs] ὁ[dgms] θεός[ngms] καί[c] Ἰησοῦς[ngms] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p]. **v.3** ὡς[bo] πᾶς[aanpn] ἐγώ[rpd-p] ὁ[dgfs] θεῖος[agfsn] δύναμις[ngfs] αὐτός[rpgms] ὁ[danp] πρός[p] ζωή[nafs] καί[c] εὐσέβεια[nafs] δωρέομαι[vpxpgfs] διά[p] ὁ[dgfs] ἐπίγνωσις[ngfs] ὁ[dgms] καλέω[vpaagms] ἐγώ[rpa-p] διά[p] δόξα[ngfs] καί[c] ἀρετή[ngfs]. **v.4** διά[p] ὅς[rrgfp] ὁ[dnnp] μέγας[annps] ἐγώ[rpd-p] καί[c] τίμιος[annpn] ἐπάγγελμα[nnnp] δωρέομαι[vixp3s] ἵνα[c] διά[p] οὗτος[rdgnp] γίνομαι[vsad2p] θεῖος[agfsn] κοινωνός[anmpn] φύσις[ngfs] ἀποφεύγω[vpaanmp] ὁ[dgfs] ἐν[p] κόσμος[ndms] ἐν[p] ἐπιθυμία[ndfs] φθορά[ngfs]. **v.5** καί[c] αὐτός[rpnns] οὗτος[rdnns] δέ[c] σπουδή[nafs] πᾶς[aafsn] παρεισφέρω[vpaanmp] ἐπιχορηγέω[vdaa2p] ἐν[p] ὁ[ddfs] πίστις[ndfs] σύ[rpg-p] ὁ[dafs] ἀρετή[nafs] ἐν[p] δέ[c] ὁ[ddfs] ἀρετή[ndfs] ὁ[dafs] γνῶσις[nafs]. **v.6** ἐν[p] δέ[c] ὁ[ddfs] γνῶσις[ndfs] ὁ[dafs] ἐγκράτεια[nafs] ἐν[p] δέ[c] ὁ[ddfs] ἐγκράτεια[ndfs] ὁ[dafs] ὑπομονή[nafs] ἐν[p] δέ[c] ὁ[ddfs] ὑπομονή[ndfs] ὁ[dafs] εὐσέβεια[nafs]. **v.7** ἐν[p] δέ[c] ὁ[ddfs] εὐσέβεια[ndfs] ὁ[dafs] φιλαδελφία[nafs] ἐν[p] δέ[c] ὁ[ddfs] φιλαδελφία[ndfs] ὁ[dafs] ἀγάπη[nafs]. **v.8** οὗτος[rdnnp] γάρ[c] σύ[rpd-p] ὑπάρχω[vppannp] καί[c] πλεονάζω[vppannp] οὐ[xo] ἀργός[aampn] οὐδέ[bo] ἄκαρπος[aampn] καθίστημι[vipa3s] εἰς[p] ὁ[dafs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] ἐπίγνωσις[nafs]. **v.9** ὅς[rrdms] γάρ[c] μή[xo] πάρειμι[vipx3s] οὗτος[rdanp] τυφλός[anmsn] εἰμί[vipx3s] μυωπάζω[vppanms] λήθη[nafs] λαμβάνω[vpaanms] ὁ[dgms] καθαρισμός[ngms] ὁ[dgfp] πάλαι[bo] αὐτός[rpgms] ἁμαρτία[ngfp].

11 ποιεῖσθαι, ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε, οὕτω
γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώ-
νιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.
12 Διὸ οὐκ ἀμελήσω ὑμᾶς ἀει ὑπομιμνήσκειν περὶ τούτων, καίπερ
13 εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. δίκαιον
δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν
14 ὑμᾶς ἐν ὑπομνήσει, εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ
σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς
15 ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ
16 τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι. οὐ γὰρ σεσο-
φισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπό-
17 πται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. λαβὼν γὰρ παρὰ
Θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε
ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, Οὗτος ἐστιν ὁ υἱός μου ὁ ἀ-
18 γαπητός εἰς ὃν ἐγὼ εὐδόκησα, καὶ ταύτην τὴν φωνὴν ἡμεῖς
ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄ-
19 ρει τῷ ἁγίῳ. καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον,
ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ
τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς
20 καρδίαις ὑμῶν, τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφη-

---

v.10 διό[c] μᾶλλον[bo] ἀδελφός[nvmp] σπουδάζω[vdaa2p] βέβαιος[aafsn] σύ[rpg-p] ὁ[dafs] κλῆσις[nafs] καί[c] ἐκλογή[nafs] ποιέω[vnpm] οὗτος[rdnnp] γάρ[c] ποιέω[vppanmp] οὐ[xo] μή[xo] πταίω[vsaa2p] ποτέ[xo]. **v.11** οὕτω[bo] γάρ[c] πλουσίως[bo] ἐπιχορηγέω[vifp3s] σύ[rpd-p] ὁ[dnfs] εἴσοδος[nnfs] εἰς[p] ὁ[dafs] αἰώνιος[aafsn] βασιλεία[nafs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] καί[c] σωτήρ[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.12** διό[c] οὐ[xo] ἀμελέω[vifa1s] σύ[rpa-p] ἀεί[bo] ὑπομιμνῄσκω[vnpa] περί[p] οὗτος[rdgnp] καίπερ[c] οἶδα[vpxaamp] καί[c] στηρίζω[vpxpamp] ἐν[p] ὁ[ddfs] πάρειμι[vppxdfs] ἀλήθεια[ndfs]. **v.13** δίκαιος[aansn] δέ[c] ἡγέομαι[vipn1s] ἐπί[p] ὅσος[rcams] εἰμί[vipx1s] ἐν[p] οὗτος[rddns] ὁ[ddns] σκήνωμα[ndns] διεγείρω[vnpa] σύ[rpa-p] ἐν[p] ὑπόμνησις[ndfs]. **v.14** οἶδα[vpxanms] ὅτι[c] ταχινός[anfsn] εἰμί[vipx3s] ὁ[dnfs] ἀπόθεσις[nnfs] ὁ[dgns] σκήνωμα[ngns] ἐγώ[rpg-s] καθώς[bo] καί[c] ὁ[dnms] κύριος[nnms] ἐγώ[rpg-p] Ἰησοῦς[nnms] Χριστός[nnms] δηλόω[viaa3s] ἐγώ[rpd-s]. **v.15** σπουδάζω[vifa1s] δέ[c] καί[c] ἑκάστοτε[bo] ἔχω[vnpa] σύ[rpa-p] μετά[p] ὁ[dafs] ἐμός[rsafs] ἔξοδος[nafs] ὁ[dafs] οὗτος[rdgnp] μνήμη[nafs] ποιέω[vnpm]. **v.16** οὐ[xo] γάρ[c] σοφίζω[vpxpdmp] μῦθος[ndmp] ἐξακολουθέω[vpaanmp] γνωρίζω[viaa1p] σύ[rpd-p] ὁ[dafs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] Ἰησοῦς[ngms] Χριστός[ngms] δύναμις[nafs] καί[c] παρουσία[nafs] ἀλλά[c] ἐπόπτης[nnmp] γίνομαι[vpaonmp] ὁ[dgfs] ἐκεῖνος[rdgms] μεγαλειότης[ngfs]. **v.17** λαμβάνω[vpaanms] γάρ[c] παρά[p] θεός[ngms] πατήρ[ngms] τιμή[nafs] καί[c] δόξα[nafs] φωνή[ngfs] φέρω[vpapgfs] αὐτός[rpdms] τοιόσδε[rdgfs] ὑπό[p] ὁ[dgfs] μεγαλοπρεπής[agfsn] δόξα[ngfs] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ἐγώ[rpg-s] ὁ[dnms] ἀγαπητός[anmsn] εἰς[p] ὅς[rrams] ἐγώ[rpn-s] εὐδοκέω[viaa1s]. **v.18** καί[c] οὗτος[rdafs] ὁ[dafs] φωνή[nafs] ἐγώ[rpn-p] ἀκούω[viaa1p] ἐκ[p] οὐρανός[ngms] φέρω[vpapafs] σύν[p] αὐτός[rpdms] εἰμί[vppxnmp] ἐν[p] ὁ[ddns] ὄρος[ndns] ὁ[ddns] ἅγιος[adnsn]. **v.19** καί[c] ἔχω[vipa1p] βέβαιος[aamsc] ὁ[dams] προφητικός[aamsn] λόγος[nams] ὅς[rrdms] καλῶς[bo] ποιέω[vipa2p] προσέχω[vppanmp] ὡς[bo] λύχνος[ndms] φαίνω[vppedms] ἐν[p] αὐχμηρός[admsn] τόπος[ndms] ἕως[c] ὅς[bo] ἡμέρα[nnfs] διαυγάζω[vsaa3s] καί[c] φωσφόρος[anmsn] ἀνατέλλω[vsaa3s] ἐν[p] ὁ[ddfp] καρδία[ndfp] σύ[rpg-p].

τεία, γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται. οὐ γὰρ θελήματι 21
ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλ᾽λ ὑπὸ Πνεύματος Ἁγίου
φερόμενοι ἐλάλησαν ἅγιοι Θεοῦ ἄνθρωποι.

Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑ- **2**
μῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις
ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι,
ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν, καὶ πολλοὶ ἐξακολου- 2
θήσουσιν αὐτῶν ταῖς ἀπωλείαις, δἰ οὓς ἡ ὁδὸς τῆς ἀληθείας
βλασφημηθήσεται, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμ- 3
πορεύσονται, οἷς τὸ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια
αὐτῶν οὐ νυστάζει. εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων 4
οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς
κρίσιν τετηρημένους, καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλ᾽ 5
ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κό-
σμῳ ἀσεβῶν ἐπάξας, καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τε- 6
φρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσε-
βεῖν τεθεικώς, καὶ δίκαιον Λὼτ, καταπονούμενον ὑπὸ τῆς τῶν 7
ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς, ἐρρύσατο. βλέμματι γὰρ 8
καὶ ἀκοῇ ὁ δίκαιος, ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας
ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν, οἶδε Κύριος εὐ- 9
σεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως
κολαζομένους τηρεῖν, μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυ- 10

---

v.20 οὗτος^{rdans} πρῶτος^{bo} γινώσκω^{vppanmp} ὅτι^{c} πᾶς^{anfsn} προφητεία^{nnfs} γραφή^{ngfs} ἴδιος^{agfsn} ἐπίλυσις^{ngfs} οὐ^{xo} γίνομαι^{vipn3s}. **v.21** οὐ^{xo} γάρ^{c} θέλημα^{ndns} ἄνθρωπος^{ngms} φέρω^{viap3s} ποτέ^{xo} προφητεία^{nnfs} ἀλλά^{c} ὑπό^{p} πνεῦμα^{ngns} ἅγιος^{agnsn} φέρω^{vpppnmp} λαλέω^{viaa3p} ἅγιος^{anmpn} θεός^{ngms} ἄνθρωπος^{nnmp}. **2. v.1** γίνομαι^{viad3p} δέ^{c} καί^{c} ψευδοπροφήτης^{nnmp} ἐν^{p} ὁ^{ddms} λαός^{ndms} ὡς^{bo} καί^{c} ἐν^{p} σύ$^{rpd-p}$ εἰμί^{vifx3p} ψευδοδιδάσκαλος^{nnmp} ὅστις^{rrnmp} παρεισάγω^{vifa3p} αἵρεσις^{nafp} ἀπώλεια^{ngfs} καί^{c} ὁ^{dams} ἀγοράζω^{vpaaams} αὐτός^{rpamp} δεσπότης^{nams} ἀρνέομαι^{vppnnmp} ἐπάγω^{vppanmp} ἑαυτοῦ^{rxdmp} ταχινός^{aafsn} ἀπώλεια^{nafs}. **v.2** καί^{c} πολύς^{anmpn} ἐξακολουθέω^{vifa3p} αὐτός^{rpgmp} ὁ^{ddfp} ἀπώλεια^{ndfp} διά^{p} ὅς^{rramp} ὁ^{dnfs} ὁδός^{nnfs} ὁ^{dgfs} ἀλήθεια^{ngfs} βλασφημέω^{vifp3s}. **v.3** καί^{c} ἐν^{p} πλεονεξία^{ndfs} πλαστός^{admpn} λόγος^{ndmp} σύ$^{rpa-p}$ ἐμπορεύομαι^{vifd3p} ὅς^{rrdmp} ὁ^{dnns} κρίμα^{nnns} ἔκπαλαι^{bo} οὐ^{xo} ἀργέω^{vipa3s} καί^{c} ὁ^{dnfs} ἀπώλεια^{nnfs} αὐτός^{rpgmp} οὐ^{xo} νυστάζω^{vipa3s}. **v.4** εἰ^{qo} γάρ^{c} ὁ^{dnms} θεός^{nnms} ἄγγελος^{ngmp} ἁμαρτάνω^{vpaagmp} οὐ^{xo} φείδομαι^{viad3s} ἀλλά^{c} σειρά^{ndfp} ζόφος^{ngms} ταρταρόω^{vpaanms} παραδίδωμι^{viaa3s} εἰς^{p} κρίσις^{nafs} τηρέω^{vpxpamp}. **v.5** καί^{c} ἀρχαῖος^{agmsn} κόσμος^{ngms} οὐ^{xo} φείδομαι^{viad3s} ἀλλά^{c} ὄγδοος^{aamsn} Νῶε^{tp} δικαιοσύνη^{ngfs} κῆρυξ^{nams} φυλάσσω^{viaa3s} κατακλυσμός^{nams} κόσμος^{ndms} ἀσεβής^{agmpn} ἐπάγω^{vpaanms}. **v.6** καί^{c} πόλις^{nnfp} Σόδομα^{ngnp} καί^{c} Γόμορρα^{ngfs} τεφρόω^{vpaanms} καταστροφή^{ndfs} κατακρίνω^{viaa3s} ὑπόδειγμα^{nans} μέλλω^{vppagmp} ἀσεβέω^{vnpa} τίθημι^{vpxanms}. **v.7** καί^{c} δίκαιος^{annsn} Λώτ^{tp} καταπονέω^{vpppams} ὑπό^{p} ὁ^{dgfs} ὁ^{dgmp} ἄθεσμος^{agmpn} ἐν^{p} ἀσέλγεια^{ndfs} ἀναστροφή^{ngfs} ῥύομαι^{vian3s}. **v.8** βλέμμα^{ndns} γάρ^{c} καί^{c} ἀκοή^{ndfs} ὁ^{dnms} δίκαιος^{anmsn} ἐγκατοικέω^{vppanms} ἐν^{p} αὐτός^{rpdmp} ἡμέρα^{nafs} ἐκ^{p} ἡμέρα^{ngfs} ψυχή^{nafs} δίκαιος^{aafsn} ἄνομος^{adnpn} ἔργον^{ndnp} βασανίζω^{viia3s}. **v.9** οἶδα^{vixa3s} κύριος^{nnms} εὐσεβής^{aampn} ἐκ^{p} πειρασμός^{ngmp} ῥύομαι^{vnpn} ἄδικος^{aampn} δέ^{c} εἰς^{p} ἡμέρα^{nafs} κρίσις^{ngfs} κολάζω^{vpppamp} τηρέω^{vnpa}.

μίᾳ μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας.
11 τολμηταί, αὐθάδεις, δόξας οὐ τρέμουσι βλασφημοῦντες, ὅπου
ἄγγελοι, ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ'
12 αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν. οὗτοι δέ, ὡς ἄλογα
ζῶα φυσικὰ γεγενημένα εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς ἀγνο-
οῦσι βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν καταφθαρήσονται,
13 κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ
τρυφήν, σπίλοι καὶ μῶμοι ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν
14 συνευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλί-
δος, καὶ ἀκαταπαύστους ἁμαρτίας, δελεάζοντες ψυχὰς ἀστηρί-
κτους, καρδίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες, κατάρας
15 τέκνα, καταλίποντες τὴν εὐθεῖαν ὁδὸν ἐπλανήθησαν, ἐξακο-
λουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσόρ, ὃς μισθὸν ἀδικίας
16 ἠγάπησεν, ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας, ὑποζύγιον ἄ-
φωνον, ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσε τὴν τοῦ προ-
17 φήτου παραφρονίαν. οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ
λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετή-
18 ρηται. ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι, δελεάζουσιν
ἐν ἐπιθυμίαις σαρκὸς ἐν ἀσελγείαις, τοὺς ὄντως ἀποφύγοντας
19 τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, ἐλευθερίαν αὐτοῖς ἐπαγγελ-
λόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς, ᾧ γάρ τις ἥττη-
20 ται, τούτῳ καὶ δεδούλωται. εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα

---

v.10 μάλιστα[bo] δέ[c] ὁ[damp] ὀπίσω[bo] σάρξ[ngfs] ἐν[p] ἐπιθυμία[ndfs] μιασμός[ngms] πορεύομαι[vppnamp] καί[c] κυριότης[ngfs] καταφρονέω[vppaamp] τολμητής[nnmp] αὐθάδης[anmpn] δόξα[nafp] οὐ[xo] τρέμω[vipa3p] βλασφημέω[vppanmp]. **v.11** ὅπου[bo] ἄγγελος[nnmp] ἰσχύς[ndfs] καί[c] δύναμις[ndfs] μέγας[anmpc] εἰμί[vppxnmp] οὐ[xo] φέρω[vipa3p] κατά[p] αὐτός[rpgmp] παρά[p] κύριος[ndms] βλάσφημος[aafsn] κρίσις[nafs]. **v.12** οὗτος[rdnmp] δέ[c] ὡς[bo] ἄλογος[annpn] ζῷον[nnnp] φυσικός[annpn] γεννάω[vpxpnnp] εἰς[p] ἅλωσις[nafs] καί[c] φθορά[nafs] ἐν[p] ὅς[rrdmp] ἀγνοέω[vipa3p] βλασφημέω[vppanmp] ἐν[p] ὁ[ddfs] φθορά[ndfs] αὐτός[rpgmp] καταφθείρω[vifp3p]. **v.13** κομίζω[vpfdnmp] μισθός[nams] ἀδικία[ngfs] ἡδονή[nafs] ἡγέομαι[vppnnmp] ὁ[dafs] ἐν[p] ἡμέρα[ndfs] τρυφή[nafs] σπίλος[nnmp] καί[c] μῶμος[nnmp] ἐντρυφάω[vppanmp] ἐν[p] ὁ[ddfp] ἀπάτη[ndfp] αὐτός[rpgmp] συνευωχέομαι[vppnnmp] σύ[rpd-p]. **v.14** ὀφθαλμός[namp] ἔχω[vppanmp] μεστός[aampn] μοιχαλίς[ngfs] καί[c] ἀκατάπαυστος[aampn] ἁμαρτία[ngfs] δελεάζω[vppanmp] ψυχή[nafp] ἀστήρικτος[aafpn] καρδία[nafs] γυμνάζω[vpxpafs] πλεονεξία[ndfp] ἔχω[vppanmp] κατάρα[ngfs] τέκνον[nnnp]. **v.15** καταλείπω[vpaanmp] ὁ[dafs] εὐθύς[aafsn] ὁδός[nafs] πλανάω[viap3p] ἐξακολουθέω[vpaanmp] ὁ[ddfs] ὁδός[ndfs] ὁ[dgms] Βαλαάμ[tp] ὁ[dgms] Βοσόρ[tp] ὅς[rrnms] μισθός[nams] ἀδικία[ngfs] ἀγαπάω[viaa3s]. **v.16** ἔλεγξις[nafs] δέ[c] ἔχω[viaa3s] ἴδιος[agfsn] παρανομία[ngfs] ὑποζύγιον[nnns] ἄφωνος[annsn] ἐν[p] ἄνθρωπος[ngms] φωνή[ndfs] φθέγγομαι[vpannns] κωλύω[viaa3s] ὁ[dafs] ὁ[dgms] προφήτης[ngms] παραφρονία[nafs]. **v.17** οὗτος[rdnmp] εἰμί[vipx3p] πηγή[nnfp] ἄνυδρος[anfpn] νεφέλη[nnfp] ὑπό[p] λαῖλαψ[ngfs] ἐλαύνω[vpppnfp] ὅς[rrdmp] ὁ[dnms] ζόφος[nnms] ὁ[dgns] σκότος[ngns] εἰς[p] αἰών[nams] τηρέω[vixp3s]. **v.18** ὑπέρογκος[aanpn] γάρ[c] ματαιότης[ngfs] φθέγγομαι[vppdnmp] δελεάζω[vipa3p] ἐν[p] ἐπιθυμία[ndfp] σάρξ[ngfs] ἐν[p] ἀσέλγεια[ndfp] ὁ[damp] ὄντως[bo] ἀποφεύγω[vpaaamp] ὁ[damp] ἐν[p] πλάνη[ndfs] ἀναστρέφω[vpppamp]. **v.19** ἐλευθερία[nafs] αὐτός[rpdmp] ἐπαγγέλλομαι[vppnnmp] αὐτός[rpnmp] δοῦλος[nnmp] ὑπάρχω[vppanmp] ὁ[dgfs] φθορά[ngfs] ὅς[rrdms] γάρ[c] τι-σρινμσ ἡττάομαι[vixn3s] οὗτος[rddms] καί[c] δουλόω[vixp3s].

τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ Κυρίου καὶ σωτῆρος Ἰησοῦ Χρι-
στοῦ, τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς
τὰ ἔσχατα χείρονα τῶν πρώτων. κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ 21
ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν ἐπιστρέ-
ψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. συμβέβηκε 22
δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπὶ τὸ
ἴδιον ἐξέραμα, καί, Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω ἐπιστολήν, ἐν **3**
αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, μνη- 2
σθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν,
καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς, τοῦ Κυρίου καὶ σωτῆρος,
τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ᾽ ἐσχάτου τῶν ἡμε- 3
ρῶν ἐμπαικται, κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι,
καὶ λέγοντες, Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ· ἀφ᾽ 4
ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ᾽ ἀρ-
χῆς κτίσεως. λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρα- 5
νοὶ ἦσαν ἔκπαλαι, καὶ γῆ, ἐξ ὕδατος καὶ δι᾽ ὕδατος συνεστῶσα
τῷ τοῦ Θεοῦ λόγῳ, δι᾽ ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς 6
ἀπώλετο, οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτῷ λόγῳ τεθησαυρι- 7
σμένοι εἰσὶ, πυρί τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας
τῶν ἀσεβῶν ἀνθρώπων. Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, ἀ- 8
γαπητοί, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη καὶ χίλια

---

v.20 εἰ[qo] γάρ[c] ἀποφεύγω[vpaanmp] ὁ[danp] μίασμα[nanp] ὁ[dgms] κόσμος[ngms] ἐν[p] ἐπίγνωσις[ndfs] ὁ[dgms] κύριος[ngms] καί[c] σωτήρ[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms] οὗτος[rddnp] δέ[c] πάλιν[bo] ἐμπλέκω[vpapnmp] ἡττάομαι[vipn3p] γίνομαι[vixa3s] αὐτός[rpdmp] ὁ[dnnp] ἔσχατος[annpn] χείρων[annpn] ὁ[dgnp] πρῶτος[agnpn]. **v.21** κρείττων[annsn] γάρ[c] εἰμί[viix3s] αὐτός[rpdmp] μή[xo] ἐπιγινώσκω[vnxa] ὁ[dafs] ὁδός[nafs] ὁ[dgfs] δικαιοσύνη[ngfs] ἤ[xo] ἐπιγινώσκω[vpaadmp] ἐπιστρέφω[vnaa] ἐκ[p] ὁ[dgfs] παραδίδωμι[vpapgfs] αὐτός[rpdmp] ἅγιος[agfsn] ἐντολή[ngfs]. **v.22** συμβαίνω[vixa3s] δέ[c] αὐτός[rpdmp] ὁ[dnns] ὁ[dgfs] ἀληθής[agfsn] παροιμία[ngfs] κύων[nnms] ἐπιστρέφω[vpaanms] ἐπί[p] ὁ[dans] ἴδιος[aamsn] ἐξέραμα[nans] καί[c] ὗς[nnfs] λούω[vpamnfs] εἰς[p] κύλισμα[nans] βόρβορος[ngms]. **3. v.1** οὗτος[rdafs] ἤδη[bo] ἀγαπητός[avmpn] δεύτερος[aafsn] σύ[rpd-p] γράφω[vipa1s] ἐπιστολή[nafs] ἐν[p] ὅς[rrdfp] διεγείρω[vipa1s] σύ[rpg-p] ἐν[p] ὑπόμνησις[ndfs] ὁ[dafs] εἰλικρινής[aafsn] διάνοια[nafs]. **v.2** μιμνῄσκομαι[vnap] ὁ[dgmp] προλέγω[vpxpgmp] ῥῆμα[ngnp] ὑπό[p] ὁ[dgmp] ἅγιος[agmpn] προφήτης[ngmp] καί[c] ὁ[dgfs] ὁ[dgmp] ἀπόστολος[ngmp] ἐγώ[rpg-p] ἐντολή[ngfs] ὁ[dgms] κύριος[ngms] καί[c] σωτήρ[ngms]. **v.3** οὗτος[rdans] πρῶτος[bo] γινώσκω[vppanmp] ὅτι[c] ἔρχομαι[vifd3p] ἐπί[p] ἔσχατος[agnsn] ὁ[dgfp] ἡμέρα[ngfp] ἐμπαίκτης[nnmp] κατά[p] ὁ[dafp] ἴδιος[aafpn] αὐτός[rpgmp] ἐπιθυμία[nafp] πορεύομαι[vppnnmp]. **v.4** καί[c] λέγω[vppanmp] ποῦ[xo] εἰμί[vipx3s] ὁ[dnfs] ἐπαγγελία[nnfs] ὁ[dgfs] παρουσία[ngfs] αὐτός[rpgms] ἀπό[p] ὅς[rrgfs] γάρ[c] ὁ[dnmp] πατήρ[nnmp] κοιμάομαι[viap3p] πᾶς[annpn] οὕτω[bo] διαμένω[vipa3s] ἀπό[p] ἀρχή[ngfs] κτίσις[ngfs]. **v.5** λανθάνω[vipa3s] γάρ[c] αὐτός[rpamp] οὗτος[rdnns] θέλω[vppaamp] ὅτι[c] οὐρανός[nnmp] εἰμί[viix3p] ἔκπαλαι[bo] καί[c] γῆ[nnfs] ἐκ[p] ὕδωρ[ngns] καί[c] διά[p] ὕδωρ[ngns] συνίστημι[vpxanfs] ὁ[ddms] ὁ[dgms] θεός[ngms] λόγος[ndms]. **v.6** διά[p] ὅς[rrgmp] ὁ[dnms] τότε[bo] κόσμος[nnms] ὕδωρ[ndns] κατακλύζω[vpapnms] ἀπόλλυμι[viam3s]. **v.7** ὁ[dnmp] δέ[c] νῦν[bo] οὐρανός[nnmp] καί[c] ὁ[dnfs] γῆ[nnfs] ὁ[ddms] αὐτός[rpdms] λόγος[ndms] θησαυρίζω[vpxpnmp] εἰμί[vipx3p] πῦρ[ndns] τηρέω[vpppnmp] εἰς[p] ἡμέρα[nafs] κρίσις[ngfs] καί[c] ἀπώλεια[ngfs] ὁ[dgmp] ἀσεβής[agmpn] ἄνθρωπος[ngmp].

9 ἔτη, ὡς ἡμέρα μία. οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας,
ὥς τινες βραδύτητα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς, μὴ
βουλόμενός τινας ἀπολέσθαι ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆ-
10 σαι. ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οἱ
οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυ-
11 θήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται. τούτων
οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις
12 ἀναστροφαῖς καὶ εὐσεβείαις, προσδοκῶντας καὶ σπεύδοντας
τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρού-
13 μενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται· καινοὺς
δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσ-
14 δοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ. Διό, ἀγαπητοί, ταῦτα
προσδοκῶντες, σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑ-
15 ρεθῆναι ἐν εἰρήνῃ. καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν
σωτηρίαν ἡγεῖσθε, καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦ-
16 λος κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν
πάσαις ταῖς ἐπιστολαῖς, λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν οἷς
ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν,
ὡς καὶ τὰς λοιπὰς γραφάς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.
17 ὑμεῖς οὖν, ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε, ἵνα μὴ τῇ
τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηρι-

---

v.8 εἷς[nnns] δέ[c] οὗτος[rdnns] μή[xo] λανθάνω[vdpa3s] σύ[rpa-p] ἀγαπητός[avmpn] ὅτι[c] εἷς[nnfs] ἡμέρα[nnfs] παρά[p] κύριος[ndms] ὡς[bo] χίλιοι[nnnp] ἔτος[nnnp] καί[c] χίλιοι[nnnp] ἔτος[nnnp] ὡς[bo] ἡμέρα[nnfs] εἷς[nnfs]. **v.9** οὐ[xo] βραδύνω[vipa3s] ὁ[dnms] κύριος[nnms] ὁ[dgfs] ἐπαγγελία[ngfs] ὡς[bo] τι-σρινμπ βραδύτης[nafs] ἡγέομαι[vipn3p] ἀλλά[c] μακροθυμέω[vipa3s] εἰς[p] ἐγώ[rpa-p] μή[xo] βούλομαι[vppnnms] τι--σριαμπ ἀπόλλυμι[vnam] ἀλλά[c] πᾶς[aampn] εἰς[p] μετάνοια[nafs] χωρέω[vnaa]. **v.10** ἥκω[vifa3s] δέ[c] ὅς[dnfs] ἡμέρα[nnfs] κύριος[ngms] ὡς[bo] κλέπτης[nnms] ἐν[p] νύξ[ndfs] ἐν[p] ὅς[rrdfs] ὁ[dnmp] οὐρανός[nnmp] ῥοιζηδόν[bo] παρέρχομαι[vifd3p] στοιχεῖον[nnnp] δέ[c] καυσόω[vpppnnp] λύω[vifp3p] καί[c] γῆ[nnfs] καί[c] ὁ[dnnp] ἐν[p] αὐτός[rpdfs] ἔργον[nnnp] κατακαίω[vifp3s]. **v.11** οὗτος[rdgnp] οὖν[c] πᾶς[agnpn] λύω[vpppgnp] ποταπός[aampn] δεῖ[vipq3s] ὑπάρχω[vnpa] σύ[rpa-p] ἐν[p] ἅγιος[adfpn] ἀναστροφή[ndfp] καί[c] εὐσέβεια[ndfp]. **v.12** προσδοκάω[vppaamp] καί[c] σπεύδω[vppaamp] ὁ[dafs] παρουσία[nafs] ὁ[dgfs] ὁ[dgms] θεός[ngms] ἡμέρα[ngfs] διά[p] ὅς[rrafs] οὐρανός[nnmp] πυρόω[vpppnmp] λύω[vifp3p] καί[c] στοιχεῖον[nnnp] καυσόω[vpppnnp] τήκω[vipp3s]. **v.13** καινός[aampn] δέ[c] οὐρανός[namp] καί[c] γῆ[nafs] καινός[aafsn] κατά[p] ὁ[dans] ἐπάγγελμα[nans] αὐτός[rpgms] προσδοκάω[vipa1p] ἐν[p] ὅς[rrdmp] δικαιοσύνη[nnfs] κατοικέω[vipa3s]. **v.14** διό[c] ἀγαπητός[avmpn] οὗτος[rdanp] προσδοκάω[vppanmp] σπουδάζω[vdaa2p] ἄσπιλος[anmpn] καί[c] ἀμώμητος[anmpn] αὐτός[rpdms] εὑρίσκω[vnap] ἐν[p] εἰρήνη[ndfs]. **v.15** καί[c] ὁ[dafs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] μακροθυμία[nafs] σωτηρία[nafs] ἡγέομαι[vdpn2p] καθώς[bo] καί[c] ὁ[dnms] ἀγαπητός[anmsn] ἐγώ[rpg-p] ἀδελφός[nnms] Παῦλος[nnms] κατά[p] ὁ[dafs] αὐτός[rpdms] δίδωμι[vpapafs] σοφία[nafs] γράφω[viaa3s] σύ[rpd-p]. **v.16** ὡς[bo] καί[c] ἐν[p] πᾶς[adfpn] ὁ[ddfp] ἐπιστολή[ndfp] λαλέω[vppanms] ἐν[p] αὐτός[rpdfp] περί[p] οὗτος[rdgnp] ἐν[p] ὅς[rrdmp] εἰμί[vipx3s] δυσνόητος[annpn] τι-σριννπ ὅς[rrnnp] ὁ[dnmp] ἀμαθής[anmpn] καί[c] ἀστήρικτος[anmpn] στρεβλόω[vipa3p] ὡς[bo] καί[c] ὁ[dafp] λοιπός[aafpn] γραφή[nafp] πρός[p] ὁ[dafs] ἴδιος[aafsn] αὐτός[rpgmp] ἀπώλεια[nafs].

γμοῦ. αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ 18
σωτῆρος Ἰησοῦ Χριστοῦ. αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν
αἰῶνος. ἀμήν.

v.17 σύ[rpn-p] οὖν[c] ἀγαπητός[avmpn] προγινώσκω[vppanmp] φυλάσσω[vdpm2p] ἵνα[c] μή[xo] ὁ[ddfs] ὁ[dgmp] ἄθεσμος[agmpn] πλάνη[ndfs] συναπάγω[vpapnmp] ἐκπίπτω[vsaa2p] ὁ[dgms] ἴδιος[agmsn] στηριγμός[ngms].
v.18 αὐξάνω[vdpa2p] δέ[c] ἐν[p] χάρις[ndfs] καί[c] γνῶσις[ndfs] ὁ[dgms] κύριος[ngms] ἐγώ[rpg-p] καί[c] σωτήρ[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms] αὐτός[rpdms] ὁ[dnfs] δόξα[nnfs] καί[c] νῦν[bo] καί[c] εἰς[p] ἡμέρα[nafs] αἰών[ngms] ἀμήν[th].

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ
ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ

1 Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλ-
μοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν,
2 περὶ τοῦ λόγου τῆς ζωῆς. καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκα-
μεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν
3 αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν, ὃ ἑ-
ωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς
κοινωνίαν ἔχητε μεθ' ἡμῶν, καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα με-
4 τὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ
5 ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Καὶ
αὕτη ἔστιν ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ καὶ ἀναγγέλλο-
μεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν
6 οὐδεμία. ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ
ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν
7 ἀλήθειαν, ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν
τῷ φωτί, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ
Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.
8 ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ
9 ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας
ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ

---

1. v.1 ὅς[rrans] εἰμί[viix3s] ἀπό[p] ἀρχή[ngfs] ὅς[rrans] ἀκούω[vixa1p] ὅς[rrans] ὁράω[vixa1p] ὁ[ddmp] ὀφθαλμός[ndmp] ἐγώ[rpg-p] ὅς[rrans] θεάομαι[viad1p] καί[c] ὁ[dnfp] χείρ[nnfp] ἐγώ[rpg-p] ψηλαφάω[viaa3p] περί[p] ὁ[dgms] λόγος[ngms] ὁ[dgfs] ζωή[ngfs]. **v.2** καί[c] ὁ[dnfs] ζωή[nnfs] φανερόω[viap3s] καί[c] ὁράω[vixa1p] καί[c] μαρτυρέω[vipa1p] καί[c] ἀπαγγέλλω[vipa1p] σύ[rpd-p] ὁ[dafs] ζωή[nafs] ὁ[dafs] αἰώνιος[aafsn] ὅστις[rrnfs] εἰμί[viix3s] πρός[p] ὁ[dams] πατήρ[nams] καί[c] φανερόω[viap3s] ἐγώ[rpd-p]. **v.3** ὅς[rrans] ὁράω[vixa1p] καί[c] ἀκούω[vixa1p] ἀπαγγέλλω[vipa1p] σύ[rpd-p] ἵνα[c] καί[c] σύ[rpn-p] κοινωνία[nafs] ἔχω[vspa2p] μετά[p] ἐγώ[rpg-p] καί[c] ὁ[dnfs] κοινωνία[nnfs] δέ[c] ὁ[dnfs] ἡμέτερος[rsnfs] μετά[p] ὁ[dgms] πατήρ[ngms] καί[c] μετά[p] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.4** καί[c] οὗτος[rdanp] γράφω[vipa1p] σύ[rpd-p] ἵνα[c] ὁ[dnfs] χαρά[nnfs] σύ[rpg-p] εἰμί[vspx3s] πληρόω[vpxpnfs]. **v.5** καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἀγγελία[nnfs] ὅς[rrafs] ἀκούω[vixa1p] ἀπό[p] αὐτός[rpgms] καί[c] ἀναγγέλλω[vipa1p] σύ[rpd-p] ὅτι[c] ὁ[dnms] θεός[nnms] φῶς[nnns] εἰμί[vipx3s] καί[c] σκοτία[nnfs] ἐν[p] αὐτός[rpdms] οὐ[xo] εἰμί[vipx3s] οὐδείς[anfsn]. **v.6** ἐάν[qo] λέγω[vsaa1p] ὅτι[c] κοινωνία[nafs] ἔχω[vipa1p] μετά[p] αὐτός[rpgms] καί[c] ἐν[p] ὁ[ddns] σκότος[ndns] περιπατέω[vspa1p] ψεύδομαι[vipe1p] καί[c] οὐ[xo] ποιέω[vipa1p] ὁ[dafs] ἀλήθεια[nafs]. **v.7** ἐάν[qo] δέ[c] ἐν[p] ὁ[ddns] φῶς[ndns] περιπατέω[vspa1p] ὡς[bo] αὐτός[rpnms] εἰμί[vipx3s] ἐν[p] ὁ[ddns] φῶς[ndns] κοινωνία[nafs] ἔχω[vipa1p] μετά[p] ἀλλήλων[regmp] καί[c] ὁ[dnns] αἷμα[nnns] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] καθαρίζω[vipa3s] ἐγώ[rpa-p] ἀπό[p] πᾶς[agfsn] ἁμαρτία[ngfs]. **v.8** ἐάν[qo] λέγω[vsaa1p] ὅτι[c] ἁμαρτία[nafs] οὐ[xo] ἔχω[vipa1p] ἑαυτοῦ[rxamp] πλανάω[vipa1p] καί[c] ὁ[dnfs] ἀλήθεια[nnfs] οὐ[xo] εἰμί[vipx3s] ἐν[p] ἐγώ[rpd-p].

καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. ἐὰν εἴπωμεν ὅτι οὐχ ἡ- 10
μαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ
ἔστιν ἐν ἡμῖν.
Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. καὶ ἐ- **2**
άν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν
Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν 2
ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ
κόσμου. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐ- 3
ὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων Ἔγνωκα αὐτόν, καὶ 4
τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστί, καὶ ἐν τούτῳ ἡ ἀ-
λήθεια οὐκ ἔστιν, ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν 5
τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν ὅτι
ἐν αὐτῷ ἐσμεν, ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει, καθὼς ἐκεῖ- 6
νος περιεπάτησε, καὶ αὐτὸς οὕτω περιπατεῖν. Ἀδελφοί, οὐκ 7
ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε
ἀπ' ἀρχῆς, ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε ἀπ
ἀρχῆς. πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν 8
αὐτῷ, καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀλη-
θινὸν ἤδη φαίνει. ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν 9
αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. ὁ ἀγαπῶν τὸν ἀ- 10
δελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ

---

v.9 ἐάν[qo] ὁμολογέω[vspa1p] ὁ[dafp] ἁμαρτία[nafp] ἐγώ[rpg-p] πιστός[anmsn] εἰμί[vipx3s] καί[c] δίκαιος[anmsn] ἵνα[c] ἀφίημι[vsaa3s] ἐγώ[rpd-p] ὁ[dafp] ἁμαρτία[nafp] καί[c] καθαρίζω[vsaa3s] ἐγώ[rpa-p] ἀπό[p] πᾶς[agfsn] ἀδικία[ngfs]. **v.10** ἐάν[qo] λέγω[vsaa1p] ὅτι[c] οὐ[xo] ἁμαρτάνω[vixa1p] ψεύστης[nams] ποιέω[vipa1p] αὐτός[rpams] καί[c] ὁ[dnms] λόγος[nnms] αὐτός[rpgms] οὐ[xo] εἰμί[vipx3s] ἐν[p] ἐγώ[rpd-p]. **2. v.1** τεκνίον[nvnp] ἐγώ[rpg-s] οὗτος[rdanp] γράφω[vipa1s] σύ[rpd-p] ἵνα[c] μή[xo] ἁμαρτάνω[vsaa2p] καί[c] ἐάν[qo] τι-σρινμσ ἁμαρτάνω[vsaa3s] παράκλητος[nams] ἔχω[vipa1p] πρός[p] ὁ[dams] πατήρ[nams] Ἰησοῦς[nams] Χριστός[nams] δίκαιος[aamsn]. **v.2** καί[c] αὐτός[rpnms] ἱλασμός[nnms] εἰμί[vipx3s] περί[p] ὁ[dgfp] ἁμαρτία[ngfp] ἐγώ[rpg-p] οὐ[xo] περί[p] ὁ[dgfp] ἡμέτερος[rsgfp] δέ[c] μόνος[bo] ἀλλά[c] καί[c] περί[p] ὅλος[agmsn] ὁ[dgms] κόσμος[ngms]. **v.3** καί[c] ἐν[p] οὗτος[rddns] γινώσκω[vipa1p] ὅτι[c] γινώσκω[vixa1p] αὐτός[rpams] ἐάν[qo] ὁ[dafp] ἐντολή[nafp] αὐτός[rpgms] τηρέω[vspa1p]. **v.4** ὁ[dnms] λέγω[vppanms] γινώσκω[vixa1s] αὐτός[rpams] καί[c] ὁ[dafp] ἐντολή[nafp] αὐτός[rpgms] μή[xo] τηρέω[vppanms] ψεύστης[nnms] εἰμί[vipx3s] καί[c] ἐν[p] οὗτος[rddns] ὁ[dnfs] ἀλήθεια[nnfs] οὐ[xo] εἰμί[vipx3s]. **v.5** ὅς[rrnms] δέ[c] ἄν[xo] τηρέω[vspa3s] αὐτός[rpgms] ὁ[dams] λόγος[nams] ἀληθῶς[bo] ἐν[p] οὗτος[rddns] ὁ[dnfs] ἀγάπη[nnfs] ὁ[dgms] θεός[ngms] τελειόω[vixp3s] ἐν[p] οὗτος[rddns] γινώσκω[vipa1p] ὅτι[c] ἐν[p] αὐτός[rpdms] εἰμί[vipx1p]. **v.6** ὁ[dnms] λέγω[vppanms] ἐν[p] αὐτός[rpdms] μένω[vnpa] ὀφείλω[vipa3s] καθώς[bo] ἐκεῖνος[rdnms] περιπατέω[viaa3s] καί[c] αὐτός[rpnms] οὕτω[bo] περιπατέω[vnpa]. **v.7** ἀδελφός[nvmp] οὐ[xo] ἐντολή[nafs] καινός[aafsn] γράφω[vipa1s] σύ[rpd-p] ἀλλά[c] ἐντολή[nafs] παλαιός[aafsn] ὅς[rrafs] ἔχω[viia2p] ἀπό[p] ἀρχή[ngfs] ὁ[dnfs] ἐντολή[nnfs] ὁ[dnfs] παλαιός[anfsn] εἰμί[vipx3s] ὁ[dnms] λόγος[nnms] ὅς[rrams] ἀκούω[viaa2p] ἀπό[p] ἀρχή[ngfs]. **v.8** πάλιν[bo] ἐντολή[nafs] καινός[aafsn] γράφω[vipa1s] σύ[rpd-p] ὅς[rrans] εἰμί[vipx3s] ἀληθής[aansn] ἐν[p] αὐτός[rpdms] καί[c] ἐν[p] σύ[rpd-p] ὅτι[c] ὁ[dnfs] σκοτία[nnfs] παράγω[vipm3s] καί[c] ὁ[dnns] φῶς[nnns] ὁ[dnns] ἀληθινός[annsn] ἤδη[bo] φαίνω[vipa3s]. **v.9** ὁ[dnms] λέγω[vppanms] ἐν[p] ὁ[ddns] φῶς[ndns] εἰμί[vnpx] καί[c] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] μισέω[vppanms] ἐν[p] ὁ[ddfs] σκοτία[ndfs] εἰμί[vipx3s] ἕως[c] ἄρτι[bo].

11 ἔστιν. ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ
ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία
12 ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. Γράφω ὑμῖν, τεκνία, ὅτι
13 ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. γράφω ὑμῖν,
πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ᾽ ἀρχῆς. γράφω ὑμῖν, νεανίσκοι,
ὅτι νενικήκατε τὸν πονηρόν. γράφω ὑμῖν παιδία ὅτι ἐγνώκατε
14 τὸν πατέρα. ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ ἀρ-
χῆς ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος τοῦ
15 θεοῦ ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν. μὴ ἀγαπᾶτε
τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ τὸν κόσμον,
16 οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς, ἐν αὐτῷ, ὅτι πᾶν τὸ ἐν τῷ κό-
σμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν,
καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς ἀλλ᾽ ἐκ τοῦ
17 κόσμου ἐστί. καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ,
18 ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα. Παιδία,
ἐσχάτη ὥρα ἐστί, καὶ καθὼς ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχε-
ται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν, ὅθεν γινώσκομεν ὅτι
19 ἐσχάτη ὥρα ἐστίν. ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ᾽ οὐκ ἦσαν ἐξ ἡμῶν,
εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ᾽ ἡμῶν, ἀλλ᾽ ἵνα
20 φανερωθῶσιν ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν. καὶ ὑμεῖς χρίσμα

---

v.10 ὁ[dnms] ἀγαπάω[vppanms] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] ἐν[p] ὁ[ddns] φῶς[ndns] μένω[vipa3s] καί[c] σκάνδαλον[nnns] ἐν[p] αὐτός[rpdms] οὐ[xo] εἰμί[vipx3s]. **v.11** ὁ[dnms] δέ[c] μισέω[vppanms] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] ἐν[p] ὁ[ddfs] σκοτία[ndfs] εἰμί[vipx3s] καί[c] ἐν[p] ὁ[ddfs] σκοτία[ndfs] περιπατέω[vipa3s] καί[c] οὐ[xo] οἶδα[vixa3s] ποῦ[xo] ὑπάγω[vipa3s] ὅτι[c] ὁ[dnfs] σκοτία[nnfs] τυφλόω[viaa3s] ὁ[damp] ὀφθαλμός[namp] αὐτός[rpgms]. **v.12** γράφω[vipa1s] σύ[rpd-p] τεκνίον[nvnp] ὅτι[c] ἀφίημι[vixp3p] σύ[rpd-p] ὁ[dnfp] ἁμαρτία[nnfp] διά[p] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgns]. **v.13** γράφω[vipa1s] σύ[rpd-p] πατήρ[nvmp] ὅτι[c] γινώσκω[vixa2p] ὁ[dams] ἀπό[p] ἀρχή[ngfs] γράφω[vipa1s] σύ[rpd-p] νεανίσκος[nvmp] ὅτι[c] νικάω[vixa2p] ὁ[dams] πονηρός[aamsn] γράφω[vipa1s] σύ[rpd-p] παιδίον[nvnp] ὅτι[c] γινώσκω[vixa2p] ὁ[dams] πατήρ[nams]. **v.14** γράφω[viaa1s] σύ[rpd-p] πατήρ[nvmp] ὅτι[c] γινώσκω[vixa2p] ὁ[dams] ἀπό[p] ἀρχή[ngfs] γράφω[viaa1s] σύ[rpd-p] νεανίσκος[nvmp] ὅτι[c] ἰσχυρός[anmpn] εἰμί[vipx2p] καί[c] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] θεός[ngms] ἐν[p] σύ[rpd-p] μένω[vipa3s] καί[c] νικάω[vixa2p] ὁ[dams] πονηρός[aamsn]. **v.15** μή[xo] ἀγαπάω[vdpa2p] ὁ[dams] κόσμος[nams] μηδέ[c] ὁ[danp] ἐν[p] ὁ[ddms] κόσμος[ndms] ἐάν[qo] τι-σρινμσ ἀγαπάω[vspa3s] ὁ[dams] κόσμος[nams] οὐ[xo] εἰμί[vipx3s] ὁ[dnfs] ἀγάπη[nnfs] ὁ[dgms] πατήρ[ngms] ἐν[p] αὐτός[rpdms]. **v.16** ὅτι[c] πᾶς[annsn] ὁ[dnns] ἐν[p] ὁ[ddms] κόσμος[ndms] ὁ[dnfs] ἐπιθυμία[nnfs] ὁ[dgfs] σάρξ[ngfs] καί[c] ὁ[dnfs] ἐπιθυμία[nnfs] ὁ[dgmp] ὀφθαλμός[ngmp] καί[c] ὁ[dnfs] ἀλαζονεία[nnfs] ὁ[dgms] βίος[ngms] οὐ[xo] εἰμί[vipx3s] ἐκ[p] ὁ[dgms] πατήρ[ngms] ἀλλά[c] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] εἰμί[vipx3s]. **v.17** καί[c] ὁ[dnms] κόσμος[nnms] παράγω[vipm3s] καί[c] ὁ[dnfs] ἐπιθυμία[nnfs] αὐτός[rpgms] ὁ[dnms] δέ[c] ποιέω[vppanms] ὁ[dans] θέλημα[nans] ὁ[dgms] θεός[ngms] μένω[vipa3s] εἰς[p] ὁ[dams] αἰών[nams]. **v.18** παιδίον[nvnp] ἔσχατος[anfsn] ὥρα[nnfs] εἰμί[vipx3s] καί[c] καθώς[bo] ἀκούω[viaa2p] ὅτι[c] ὁ[dnms] ἀντίχριστος[nnms] ἔρχομαι[vipn3s] καί[c] νῦν[bo] ἀντίχριστος[nnmp] πολύς[anmpn] γίνομαι[vixa3p] ὅθεν[bo] γινώσκω[vipa1p] ὅτι[c] ἔσχατος[anfsn] ὥρα[nnfs] εἰμί[vipx3s]. **v.19** ἐκ[p] ἐγώ[rpg-p] ἐξέρχομαι[viaa3p] ἀλλά[c] οὐ[xo] εἰμί[viix3p] ἐκ[p] ἐγώ[rpg-p] εἰ[qo] γάρ[c] εἰμί[viix3p] ἐκ[p] ἐγώ[rpg-p] μένω[viya3p] ἄν[xo] μετά[p] ἐγώ[rpg-p] ἀλλά[c] ἵνα[c] φανερόω[vsap3p] ὅτι[c] οὐ[xo] εἰμί[vipx3p] πᾶς[anmpn] ἐκ[p] ἐγώ[rpg-p].

ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε πάντα. οὐκ ἔγραψα ὑμῖν, ὅτι 21
οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ᾽ ὅτι οἴδατε αὐτήν, καὶ ὅτι πᾶν
ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι. τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ 22
ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός· οὗτός ἐστιν ὁ
ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. πᾶς ὁ ἀρ- 23
νούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει, ὁ ὁμολογῶν τὸν υἱὸν
καὶ τὸν πατέρα ἔχει. ὑμεῖς οὖν ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς ἐν ὑμῖν 24
μενέτω. ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ᾽ ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν
τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε. καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν 25
αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον. ταῦτα ἔγραψα 26
ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε 27
ἀπ᾽ αὐτοῦ ἐν ὑμῖν μένει, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ
ὑμᾶς, ἀλλ᾽ ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ
ἀληθές ἐστι, καὶ οὐκ ἔστι ψεῦδος, καὶ καθὼς ἐδίδαξεν ὑμᾶς,
μενεῖτε ἐν αὐτῷ. καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ὅταν 28
φανερωθῇ ἔχωμεν παρρησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ,
ἐν τῇ παρουσίᾳ αὐτοῦ. ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστι, γινώσκετε 29
ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ γεγέννηται.

Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέκνα Θε- **3**
οῦ κληθῶμεν. διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ
ἔγνω αὐτόν. ἀγαπητοί, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφα- 2

---

v.20 καί[c] σύ[rpn-p] χρίσμα[nans] ἔχω[vipa2p] ἀπό[p] ὁ[dgms] ἅγιος[agmsn] καί[c] οἶδα[vixa2p] πᾶς[aanpn]. **v.21** οὐ[xo] γράφω[viaa1s] σύ[rpd-p] ὅτι[c] οὐ[xo] οἶδα[vixa2p] ὁ[dafs] ἀλήθεια[nafs] ἀλλά[c] ὅτι[c] οἶδα[vixa2p] αὐτός[rpafs] καί[c] ὅτι[c] πᾶς[annsn] ψεῦδος[nnns] ἐκ[p] ὁ[dgfs] ἀλήθεια[ngfs] οὐ[xo] εἰμί[vipx3s]. **v.22** τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] ψεύστης[nnms] εἰ[qo] μή[xo] ὁ[dnms] ἀρνέομαι[vppnnms] ὅτι[c] Ἰησοῦς[nnms] οὐ[xo] εἰμί[vipx3s] ὁ[dnms] Χριστός[nnms] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] ἀντίχριστος[nnms] ὁ[dnms] ἀρνέομαι[vppnnms] ὁ[dams] πατήρ[nams] καί[c] ὁ[dams] υἱός[nams]. **v.23** πᾶς[anmsn] ὁ[dnms] ἀρνέομαι[vppnnms] ὁ[dams] υἱός[nams] οὐδέ[bo] ὁ[dams] πατήρ[nams] ἔχω[vipa3s] ὁ[dnms] ὁμολογέω[vppanms] ὁ[dams] υἱός[nams] καί[c] ὁ[dams] πατήρ[nams] ἔχω[vipa3s]. **v.24** σύ[rpn-p] οὖν[c] ὅς[rrans] ἀκούω[viaa2p] ἀπό[p] ἀρχή[ngfs] ἐν[p] σύ[rpd-p] μένω[vdpa3s] ἐάν[qo] ἐν[p] σύ[rpd-p] μένω[vsaa3s] ὅς[rrans] ἀπό[p] ἀρχή[ngfs] ἀκούω[viaa2p] καί[c] σύ[rpn-p] ἐν[p] ὁ[ddms] υἱός[ndms] καί[c] ἐν[p] ὁ[ddms] πατήρ[ndms] μένω[vifa2p]. **v.25** καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἐπαγγελία[nnfs] ὅς[rrafs] αὐτός[rpnms] ἐπαγγέλλομαι[viad3s] ἐγώ[rpd-p] ὁ[dafs] ζωή[nafs] ὁ[dafs] αἰώνιος[aafsn]. **v.26** οὗτος[rdanp] γράφω[viaa1s] σύ[rpd-p] περί[p] ὁ[dgmp] πλανάω[vppagmp] σύ[rpa-p]. **v.27** καί[c] σύ[rpn-p] ὁ[dnns] χρίσμα[nnns] ὅς[rrnns] λαμβάνω[viaa2p] ἀπό[p] αὐτός[rpgms] ἐν[p] σύ[rpd-p] μένω[vipa3s] καί[c] οὐ[xo] χρεία[nafs] ἔχω[vipa2p] ἵνα[c] τι-σρινμσ διδάσκω[vspa3s] σύ[rpa-p] ἀλλά[c] ὡς[bo] ὁ[dnns] αὐτός[rpnns] χρίσμα[nnns] διδάσκω[vipa3s] σύ[rpa-p] περί[p] πᾶς[agnpn] καί[c] ἀληθής[annsn] εἰμί[vipx3s] καί[c] οὐ[xo] εἰμί[vipx3s] ψεῦδος[nnns] καί[c] καθώς[bo] διδάσκω[viaa3s] σύ[rpa-p] μένω[vifa2p] ἐν[p] αὐτός[rpdms]. **v.28** καί[c] νῦν[bo] τεκνίον[nvnp] μένω[vdpa2p] ἐν[p] αὐτός[rpdms] ἵνα[c] ὅταν[c] φανερόω[vsap3s] ἔχω[vspa1p] παρρησία[nafs] καί[c] μή[xo] αἰσχύνω[vsap1p] ἀπό[p] αὐτός[rpgms] ἐν[p] ὁ[ddfs] παρουσία[ndfs] αὐτός[rpgms]. **v.29** ἐάν[qo] οἶδα[vsxa2p] ὅτι[c] δίκαιος[anmsn] εἰμί[vipx3s] γινώσκω[vipa2p] ὅτι[c] πᾶς[anmsn] ὁ[dnms] ποιέω[vppanms] ὁ[dafs] δικαιοσύνη[nafs] ἐκ[p] αὐτός[rpgms] γεννάω[vixp3s]. **3. v.1** ὁράω[vdaa2p] ποταπός[aafsn] ἀγάπη[nafs] δίδωμι[vixa3s] ἐγώ[rpd-p] ὁ[dnms] πατήρ[nnms] ἵνα[c] τέκνον[nanp] θεός[ngms] καλέω[vsap1p] διά[p] οὗτος[rdans] ὁ[dnms] κόσμος[nnms] οὐ[xo] γινώσκω[vipa3s] ἐγώ[rpa-p] ὅτι[c] οὐ[xo] γινώσκω[viaa3s] αὐτός[rpams].

νερώθη τί ἐσόμεθα. οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ
3 ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι. καὶ πᾶς ὁ ἔχων τὴν
ἐλπίδα ταύτην ἐπ᾽ αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός
4 ἐστι. πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ
5 ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη,
ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι.
6 πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει, πᾶς ὁ ἁμαρτάνων οὐχ
7 ἑώρακεν αὐτὸν, οὐδὲ ἔγνωκεν αὐτόν. τεκνία, μηδεὶς πλανάτω
ὑμᾶς, ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστι, καθὼς ἐκεῖνος δί-
8 καιός ἐστιν, ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι
ἀπ᾽ ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς
9 τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. πᾶς ὁ γεγεννημέ-
νος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ
μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται.
10 ἐν τούτῳ φανερά ἐστι τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ δι-
αβόλου, πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ,
11 καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία
12 ἣν ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους, οὐ καθὼς
Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ. καὶ
χάριν τίνος ἔσφαξεν αὐτόν· ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ

---

v.2 ἀγαπητός[avmpn] νῦν[bo] τέκνον[nnnp] θεός[ngms] εἰμί[vipx1p] καί[c] οὔπω[bo] φανερόω[viap3s] τίς[rqnns] εἰμί[vifx1p] οἶδα[vixa1p] δέ[c] ὅτι[c] ἐάν[qo] φανερόω[vsap3s] ὅμοιος[anmpn] αὐτός[rpdms] εἰμί[vifx1p] ὅτι[c] ὁράω[vifd1p] αὐτός[rpams] καθώς[bo] εἰμί[vipx3s]. **v.3** καί[c] πᾶς[anmsn] ὁ[dnms] ἔχω[vppanms] ὁ[dafs] ἐλπίς[nafs] οὗτος[rdafs] ἐπί[p] αὐτός[rpdms] ἁγνίζω[vipa3s] ἑαυτοῦ[rxams] καθώς[bo] ἐκεῖνος[rdnms] ἁγνός[anmsn] εἰμί[vipx3s]. **v.4** πᾶς[anmsn] ὁ[dnms] ποιέω[vppanms] ὁ[dafs] ἁμαρτία[nafs] καί[c] ὁ[dafs] ἀνομία[nafs] ποιέω[vipa3s] καί[c] ὁ[dnfs] ἁμαρτία[nnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἀνομία[nnfs]. **v.5** καί[c] οἶδα[vixa2p] ὅτι[c] ἐκεῖνος[rdnms] φανερόω[viap3s] ἵνα[c] ὁ[dafp] ἁμαρτία[nafp] ἐγώ[rpg-p] αἴρω[vsaa3s] καί[c] ἁμαρτία[nnfs] ἐν[p] αὐτός[rpdms] οὐ[xo] εἰμί[vipx3s]. **v.6** πᾶς[anmsn] ὁ[dnms] ἐν[p] αὐτός[rpdms] μένω[vppanms] οὐ[xo] ἁμαρτάνω[vipa3s] πᾶς[anmsn] ὁ[dnms] ἁμαρτάνω[vppanms] οὐ[xo] ὁράω[vixa3s] αὐτός[rpams] οὐδέ[bo] γινώσκω[vixa3s] αὐτός[rpams]. **v.7** τεκνίον[nvnp] μηδείς[anmsn] πλανάω[vdpa3s] σύ[rpa-p] ὁ[dnms] ποιέω[vppanms] ὁ[dafs] δικαιοσύνη[nafs] δίκαιος[anmsn] εἰμί[vipx3s] καθώς[bo] ἐκεῖνος[rdnms] δίκαιος[anmsn] εἰμί[vipx3s]. **v.8** ὁ[dnms] ποιέω[vppanms] ὁ[dafs] ἁμαρτία[nafs] ἐκ[p] ὁ[dgms] διάβολος[agmsn] εἰμί[vipx3s] ὅτι[c] ἀπό[p] ἀρχή[ngfs] ὁ[dnms] διάβολος[anmsn] ἁμαρτάνω[vipa3s] εἰς[p] οὗτος[rdans] φανερόω[viap3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms] ἵνα[c] λύω[vsaa3s] ὁ[danp] ἔργον[nanp] ὁ[dgms] διάβολος[agmsn]. **v.9** πᾶς[anmsn] ὁ[dnms] γεννάω[vpxpnms] ἐκ[p] ὁ[dgms] θεός[ngms] ἁμαρτία[nafs] οὐ[xo] ποιέω[vipa3s] ὅτι[c] σπέρμα[nnns] αὐτός[rpgms] ἐν[p] αὐτός[rpdms] μένω[vipa3s] καί[c] οὐ[xo] δύναμαι[vipn3s] ἁμαρτάνω[vnpa] ὅτι[c] ἐκ[p] ὁ[dgms] θεός[ngms] γεννάω[vixp3s]. **v.10** ἐν[p] οὗτος[rddns] φανερός[annpn] εἰμί[vipx3s] ὁ[dnnp] τέκνον[nnnp] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dnnp] τέκνον[nnnp] ὁ[dgms] διάβολος[agmsn] πᾶς[anmsn] ὁ[dnms] μή[xo] ποιέω[vppanms] δικαιοσύνη[nafs] οὐ[xo] εἰμί[vipx3s] ἐκ[p] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dnms] μή[xo] ἀγαπάω[vppanms] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms]. **v.11** ὅτι[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἀγγελία[nnfs] ὅς[rrafs] ἀκούω[viaa2p] ἀπό[p] ἀρχή[ngfs] ἵνα[c] ἀγαπάω[vspa1p] ἀλλήλων[reamp].

δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια. Μὴ θαυμάζετε ἀδελφοί μου, 13
εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ 14
τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς. ὁ μὴ
ἀγαπῶν τὸν ἀδελφόν μένει ἐν τῷ θανάτῳ. πᾶς ὁ μισῶν τὸν 15
ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί, καὶ οἴδατε ὅτι πᾶς ἀνθρω-
ποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. ἐν τούτῳ 16
ἐγνώκαμεν τὴν ἀγάπην τοῦ Θεοῦ, ὅτι εκεῖνος ὑπὲρ ἡμῶν τὴν
ψυχὴν αὐτοῦ ἔθηκε, καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν
τὰς ψυχὰς τιθέναι. ὅς δ᾽ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ 17
θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγ-
χνα αὐτοῦ ἀπ᾽ αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ·
τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλ᾽λ ἔργῳ καὶ 18
ἀληθείᾳ. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, 19
καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν, ὅτι ἐὰν κα- 20
ταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας
ἡμῶν καὶ γινώσκει πάντα. ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ 21
καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν, καὶ ὃ 22
ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ᾽ αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ
τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. καὶ αὕτη 23
ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ
αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν

---

v.12 οὐ^{xo} καθώς^{bo} Κάϊν^{tp} ἐκ^{p} ὁ^{dgms} πονηρός^{agmsn} εἰμί^{viix3s} καί^{c} σφάζω^{viaa3s} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} καί^{c} χάριν^{bo} τίς^{rqgns} σφάζω^{viaa3s} αὐτός^{rpams} ὅτι^{c} ὁ^{dnnp} ἔργον^{nnnp} αὐτός^{rpgms} πονηρός^{annpn} εἰμί^{viix3s} ὁ^{dnnp} δέ^{c} ὁ^{dgms} ἀδελφός^{ngms} αὐτός^{rpgms} δίκαιος^{annpn}. **v.13** μή^{xo} θαυμάζω^{vdpa2p} ἀδελφός^{nvmp} ἐγώ$^{rpg-s}$ εἰ^{qo} μισέω^{vipa3s} σύ$^{rpa-p}$ ὁ^{dnms} κόσμος^{nnms}. **v.14** ἐγώ$^{rpn-p}$ οἶδα^{vixa1p} ὅτι^{c} μεταβαίνω^{vixa1p} ἐκ^{p} ὁ^{dgms} θάνατος^{ngms} εἰς^{p} ὁ^{dafs} ζωή^{nafs} ὅτι^{c} ἀγαπάω^{vipa1p} ὁ^{damp} ἀδελφός^{namp} ὁ^{dnms} μή^{xo} ἀγαπάω^{vppanms} ὁ^{dams} ἀδελφός^{nams} μένω^{vipa3s} ἐν^{p} ὁ^{ddms} θάνατος^{ndms}. **v.15** πᾶς^{anmsn} ὁ^{dnms} μισέω^{vppanms} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} ἀνθρωποκτόνος^{anmsn} εἰμί^{vipx3s} καί^{c} οἶδα^{vixa2p} ὅτι^{c} πᾶς^{anmsn} ἀνθρωποκτόνος^{anmsn} οὐ^{xo} ἔχω^{vipa3s} ζωή^{nafs} αἰώνιος^{aafsn} ἐν^{p} αὐτός^{rpdms} μένω^{vppaafs}. **v.16** ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vixa1p} ὁ^{dafs} ἀγάπη^{nafs} ὁ^{dgms} θεός^{ngms} ὅτι^{c} ἐκεῖνος^{rdnms} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} τίθημι^{viaa3s} καί^{c} ἐγώ$^{rpn-p}$ ὀφείλω^{vipa1p} ὑπέρ^{p} ὁ^{dgmp} ἀδελφός^{ngmp} ὁ^{dafp} ψυχή^{nafp} τίθημι^{vnpa}. **v.17** ὅς^{rrnms} δέ^{c} ἄν^{xo} ἔχω^{vspa3s} ὁ^{dams} βίος^{nams} ὁ^{dgms} κόσμος^{ngms} καί^{c} θεωρέω^{vspa3s} ὁ^{dams} ἀδελφός^{nams} αὐτός^{rpgms} χρεία^{nafs} ἔχω^{vppaams} καί^{c} κλείω^{vsaa3s} ὁ^{danp} σπλάγχνον^{nanp} αὐτός^{rpgms} ἀπό^{p} αὐτός^{rpgms} πῶς^{bo} ὁ^{dnfs} ἀγάπη^{nnfs} ὁ^{dgms} θεός^{ngms} μένω^{vipa3s} ἐν^{p} αὐτός^{rpdms}. **v.18** τεκνίον^{nvnp} ἐγώ$^{rpg-s}$ μή^{xo} ἀγαπάω^{vspa1p} λόγος^{ndms} μηδέ^{c} γλῶσσα^{ndfs} ἀλλά^{c} ἔργον^{ndns} καί^{c} ἀλήθεια^{ndfs}. **v.19** καί^{c} ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vipa1p} ὅτι^{c} ἐκ^{p} ὁ^{dgfs} ἀλήθεια^{ngfs} εἰμί^{vipx1p} καί^{c} ἔμπροσθεν^{p} αὐτός^{rpgms} πείθω^{vifa1p} ὁ^{dafp} καρδία^{nafp} ἐγώ$^{rpg-p}$. **v.20** ὅτι^{c} ἐάν^{qo} καταγινώσκω^{vspa3s} ἐγώ$^{rpg-p}$ ὁ^{dnfs} καρδία^{nnfs} ὅτι^{c} μέγας^{anmsc} εἰμί^{vipx3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dgfs} καρδία^{ngfs} ἐγώ$^{rpg-p}$ καί^{c} γινώσκω^{vipa3s} πᾶς^{aanpn}. **v.21** ἀγαπητός^{avmpn} ἐάν^{qo} ὁ^{dnfs} καρδία^{nnfs} ἐγώ$^{rpg-p}$ μή^{xo} καταγινώσκω^{vspa3s} ἐγώ$^{rpg-p}$ παρρησία^{nafs} ἔχω^{vipa1p} πρός^{p} ὁ^{dams} θεός^{nams}. **v.22** καί^{c} ὅς^{rrans} ἐάν^{qo} αἰτέω^{vspa1p} λαμβάνω^{vipa1p} παρά^{p} αὐτός^{rpgms} ὅτι^{c} ὁ^{dafp} ἐντολή^{nafp} αὐτός^{rpgms} τηρέω^{vipa1p} καί^{c} ὁ^{danp} ἀρεστός^{aanpn} ἐνώπιον^{bo} αὐτός^{rpgms} ποιέω^{vipa1p}.

24 ἐντολὴν ἡμῖν. καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει,
καὶ αὐτὸς ἐν αὐτῷ. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν,
ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν.
4 Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε
τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται
2 ἐξεληλύθασιν εἰς τὸν κόσμον. ἐν τούτῳ γινώσκετε τὸ Πνεῦμα
τοῦ Θεοῦ, πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ
3 ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι, καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ
τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι,
καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ
4 νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία,
καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ
5 κόσμῳ. αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί, διὰ τοῦτο ἐκ τοῦ κόσμου
6 λαλοῦσι καὶ ὁ κόσμος αὐτῶν ἀκούει. ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσ-
μεν, ὁ γινώσκων τὸν Θεὸν, ἀκούει ἡμῶν, ὃς οὐκ ἔστιν ἐκ τοῦ
Θεοῦ, οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς
7 ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης. Ἀγαπητοί, ἀγαπῶμεν
ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι, καὶ πᾶς ὁ ἀγαπῶν,
8 ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν Θεόν. ὁ μὴ ἀγα-
9 πῶν, οὐκ ἔγνω τὸν Θεόν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. ἐν τούτῳ

---

v.23 καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἐντολή[nnfs] αὐτός[rpgms] ἵνα[c] πιστεύω[vsaa1p] ὁ[ddns] ὄνομα[ndns] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms] Ἰησοῦς[ngms] Χριστός[ngms] καί[c] ἀγαπάω[vspa1p] ἀλλήλων[reamp] καθώς[bo] δίδωμι[viaa3s] ἐντολή[nafs] ἐγώ[rpd-p]. **v.24** καί[c] ὁ[dnms] τηρέω[vppanms] ὁ[dafp] ἐντολή[nafp] αὐτός[rpgms] ἐν[p] αὐτός[rpdms] μένω[vipa3s] καί[c] αὐτός[rpnms] ἐν[p] αὐτός[rpdms] καί[c] ἐν[p] οὗτος[rddns] γινώσκω[vipa1p] ὅτι[c] μένω[vipa3s] ἐν[p] ἐγώ[rpd-p] ἐκ[p] ὁ[dgns] πνεῦμα[ngns] ὅς[rrgns] ἐγώ[rpd-p] δίδωμι[viaa3s]. **4. v.1** ἀγαπητός[avmpn] μή[xo] πᾶς[adnsn] πνεῦμα[ndns] πιστεύω[vdpa2p] ἀλλά[c] δοκιμάζω[vdpa2p] ὁ[danp] πνεῦμα[nanp] εἰ[qo] ἐκ[p] ὁ[dgms] θεός[ngms] εἰμί[vipx3s] ὅτι[c] πολύς[anmpn] ψευδοπροφήτης[nnmp] ἐξέρχομαι[vixa3p] εἰς[p] ὁ[dams] κόσμος[nams]. **v.2** ἐν[p] οὗτος[rddns] γινώσκω[vipa2p] ὁ[dans] πνεῦμα[nans] ὁ[dgms] θεός[ngms] πᾶς[annsn] πνεῦμα[nnns] ὅς[rrnns] ὁμολογέω[vipa3s] Ἰησοῦς[nams] Χριστός[nams] ἐν[p] σάρξ[ndfs] ἔρχομαι[vpxaams] ἐκ[p] ὁ[dgms] θεός[ngms] εἰμί[vipx3s]. **v.3** καί[c] πᾶς[annsn] πνεῦμα[nnns] ὅς[rrnns] μή[xo] ὁμολογέω[vipa3s] ὁ[dams] Ἰησοῦς[nams] Χριστός[nams] ἐν[p] σάρξ[ndfs] ἔρχομαι[vpxaams] ἐκ[p] ὁ[dgms] θεός[ngms] οὐ[xo] εἰμί[vipx3s] καί[c] οὗτος[rdnns] εἰμί[vipx3s] ὁ[dnns] ὁ[dgms] ἀντίχριστος[ngms] ὅς[rrnns] ἀκούω[vixa2p] ὅτι[c] ἔρχομαι[vipn3s] καί[c] νῦν[bo] ἐν[p] ὁ[ddms] κόσμος[ndms] εἰμί[vipx3s] ἤδη[bo]. **v.4** σύ[rpn-p] ἐκ[p] ὁ[dgms] θεός[ngms] εἰμί[vipx2p] τεκνίον[nvnp] καί[c] νικάω[vixa2p] αὐτός[rpamp] ὅτι[c] μέγας[anmsc] εἰμί[vipx3s] ὁ[dnms] ἐν[p] σύ[rpd-p] ἤ[xo] ὁ[dnms] ἐν[p] ὁ[ddms] κόσμος[ndms]. **v.5** αὐτός[rpnmp] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] εἰμί[vipx3p] διά[p] οὗτος[rdans] ἐκ[p] ὁ[dgms] κόσμος[ngms] λαλέω[vipa3p] καί[c] ὁ[dnms] κόσμος[nnms] αὐτός[rpgmp] ἀκούω[vipa3s]. **v.6** ἐγώ[rpn-p] ἐκ[p] ὁ[dgms] θεός[ngms] εἰμί[vipx1p] ὁ[dnms] γινώσκω[vppanms] ὁ[dams] θεός[nams] ἀκούω[vipa3s] ἐγώ[rpg-p] ὅς[rrnms] οὐ[xo] εἰμί[vipx3s] ἐκ[p] ὁ[dgms] θεός[ngms] οὐ[xo] ἀκούω[vipa3s] ἐγώ[rpg-p] ἐκ[p] οὗτος[rdgns] γινώσκω[vipa1p] ὁ[dans] πνεῦμα[nans] ὁ[dgfs] ἀλήθεια[ngfs] καί[c] ὁ[dans] πνεῦμα[nans] ὁ[dgfs] πλάνη[ngfs]. **v.7** ἀγαπητός[avmpn] ἀγαπάω[vspa1p] ἀλλήλων[reamp] ὅτι[c] ὁ[dnfs] ἀγάπη[nnfs] ἐκ[p] ὁ[dgms] θεός[ngms] εἰμί[vipx3s] καί[c] πᾶς[anmsn] ὁ[dnms] ἀγαπάω[vppanms] ἐκ[p] ὁ[dgms] θεός[ngms] γεννάω[vixp3s] καί[c] γινώσκω[vipa3s] ὁ[dams] θεός[nams]. **v.8** ὁ[dnms] μή[xo] ἀγαπάω[vppanms] οὐ[xo] γινώσκω[viaa3s] ὁ[dams] θεός[nams] ὅτι[c] ὁ[dnms] θεός[nnms] ἀγάπη[nnfs] εἰμί[vipx3s].

ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν
μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι᾽
αὐτοῦ. ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν 10
τὸν Θεόν, ἀλλ᾽ ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν
υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. ἀγαπητοί, εἰ 11
οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους
ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται, ἐὰν ἀγαπῶμεν ἀλλή- 12
λους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ, τετελειωμένη
ἐστιν ἐν ἡμῖν. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ 13
αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. καὶ 14
ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν
υἱὸν σωτῆρα τοῦ κόσμου. ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν 15
ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ.
καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ 16
Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ
ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ. ἐν τούτῳ τετελείωται 17
ἡ ἀγάπη, μεθ᾽ ἡμῶν, ἵνα παρρησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς
κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ
τούτῳ. φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ᾽ ἡ τελεία ἀγάπη ἔξω 18
βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβούμενος
οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς 19

---

v.9 ἐν[p] οὗτος[rddns] φανερόω[viap3s] ὁ[dnfs] ἀγάπη[nnfs] ὁ[dgms] θεός[ngms] ἐν[p] ἐγώ[rpd-p] ὅτι[c] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] ὁ[dams] μονογενής[aamsn] ἀποστέλλω[vixa3s] ὁ[dnms] θεός[nnms] εἰς[p] ὁ[dams] κόσμος[nams] ἵνα[c] ζάω[vsaa1p] διά[p] αὐτός[rpgms]. **v.10** ἐν[p] οὗτος[rddns] εἰμί[vipx3s] ὁ[dnfs] ἀγάπη[nnfs] οὐ[xo] ὅτι[c] ἐγώ[rpn-p] ἀγαπάω[viaa1p] ὁ[dams] θεός[nams] ἀλλά[c] ὅτι[c] αὐτός[rpnms] ἀγαπάω[viaa3s] ἐγώ[rpa-p] καί[c] ἀποστέλλω[viaa3s] ὁ[dams] υἱός[nams] αὐτός[rpgms] ἱλασμός[nams] περί[p] ὁ[dgfp] ἁμαρτία[ngfp] ἐγώ[rpg-p]. **v.11** ἀγαπητός[avmpn] εἰ[qo] οὕτω[bo] ὁ[dnms] θεός[nnms] ἀγαπάω[viaa3s] ἐγώ[rpa-p] καί[c] ἐγώ[rpn-p] ὀφείλω[vipa1p] ἀλλήλων[reamp] ἀγαπάω[vnpa]. **v.12** θεός[nams] οὐδείς[anfsn] πώποτε[bo] θεάομαι[vixn3s] ἐάν[qo] ἀγαπάω[vspa1p] ἀλλήλων[reamp] ὁ[dnms] θεός[nnms] ἐν[p] ἐγώ[rpd-p] μένω[vipa3s] καί[c] ὁ[dnfs] ἀγάπη[nnfs] αὐτός[rpgms] τελειόω[vpxpnfs] εἰμί[vipx3s] ἐν[p] ἐγώ[rpd-p]. **v.13** ἐν[p] οὗτος[rddns] γινώσκω[vipa1p] ὅτι[c] ἐν[p] αὐτός[rpdms] μένω[vipa1p] καί[c] αὐτός[rpnms] ἐν[p] ἐγώ[rpd-p] ὅτι[c] ἐκ[p] ὁ[dgns] πνεῦμα[ngns] αὐτός[rpgms] δίδωμι[vixa3s] ἐγώ[rpd-p]. **v.14** καί[c] ἐγώ[rpn-p] θεάομαι[vixn1p] καί[c] μαρτυρέω[vipa1p] ὅτι[c] ὁ[dnms] πατήρ[nnms] ἀποστέλλω[vixa3s] ὁ[dams] υἱός[nams] σωτήρ[nams] ὁ[dgms] κόσμος[ngms]. **v.15** ὅς[rrnms] ἄν[xo] ὁμολογέω[vsaa3s] ὅτι[c] Ἰησοῦς[nnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms] ὁ[dnms] θεός[nnms] ἐν[p] αὐτός[rpdms] μένω[vipa3s] καί[c] αὐτός[rpnms] ἐν[p] ὁ[ddms] θεός[ndms]. **v.16** καί[c] ἐγώ[rpn-p] γινώσκω[vixa1p] καί[c] πιστεύω[vixa1p] ὁ[dafs] ἀγάπη[nafs] ὅς[rrafs] ἔχω[vipa3s] ὁ[dnms] θεός[nnms] ἐν[p] ἐγώ[rpd-p] ὁ[dnms] θεός[nnms] ἀγάπη[nnfs] εἰμί[vipx3s] καί[c] ὁ[dnms] μένω[vppanms] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs] ἐν[p] ὁ[ddms] θεός[ndms] μένω[vipa3s] καί[c] ὁ[dnms] θεός[nnms] ἐν[p] αὐτός[rpdms]. **v.17** ἐν[p] οὗτος[rddns] τελειόω[vixp3s] ὁ[dnfs] ἀγάπη[nnfs] μετά[p] ἐγώ[rpg-p] ἵνα[c] παρρησία[nafs] ἔχω[vspa1p] ἐν[p] ὁ[ddfs] ἡμέρα[ndfs] ὁ[dgfs] κρίσις[ngfs] ὅτι[c] καθώς[bo] ἐκεῖνος[rdnms] εἰμί[vipx3s] καί[c] ἐγώ[rpn-p] εἰμί[vipx1p] ἐν[p] ὁ[ddms] κόσμος[ndms] οὗτος[rddms]. **v.18** φόβος[nnms] οὐ[xo] εἰμί[vipx3s] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs] ἀλλά[c] ὁ[dnfs] τέλειος[anfsn] ἀγάπη[nnfs] ἔξω[bo] βάλλω[vipa3s] ὁ[dams] φόβος[nams] ὅτι[c] ὁ[dnms] φόβος[nnms] κόλασις[nafs] ἔχω[vipa3s] ὁ[dnms] δέ[c] φοβέομαι[vppnnms] οὐ[xo] τελειόω[vixp3s] ἐν[p] ὁ[ddfs] ἀγάπη[ndfs].

20 πρῶτος ἠγάπησεν ἡμᾶς. ἐάν τις εἴπῃ, ὅτι Ἀγαπῶ τὸν Θεόν,
καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν, ὁ γὰρ μὴ ἀγαπῶν
τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε πῶς
21 δύναται ἀγαπᾷν· καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ,
ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.
5 Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἐκ τοῦ Θεοῦ
γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν
2 γεγεννημένον ἐξ αὐτοῦ. ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν
τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς
3 αὐτοῦ τηρῶμεν, αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς
ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰ-
4 σίν. ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον,
καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν.
5 τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν
6 ὁ υἱὸς τοῦ Θεοῦ· οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος,
Ἰησοῦς ὁ Χριστός, οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ
τῷ αἵματι καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐ-
7 στιν ἡ ἀλήθεια. ὅτι τρεῖς εἴσιν οἱ μαρτυροῦντες εν τῷ οὐρανῷ,
ὁ πατήρ, ὁ λόγος, καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ οὗτοι οἱ τρεῖς ἕν
8 εἰσι. καὶ τρεῖς εἰσὶν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ Πνεῦμα,

---

v.19 ἐγώ[rpn-p] ἀγαπάω[vipa1p] αὐτός[rpams] ὅτι[c] αὐτός[rpnms] πρῶτος[anmsn] ἀγαπάω[viaa3s] ἐγώ[rpa-p]. **v.20** ἐάν[qo] τι-σρινμσ λέγω[vsaa3s] ὅτι[c] ἀγαπάω[vipa1s] ὁ[dams] θεός[nams] καί[c] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] μισέω[vspa3s] ψεύστης[nnms] εἰμί[vipx3s] ὁ[dnms] γάρ[c] μή[xo] ἀγαπάω[vppanms] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] ὅς[rrams] ὁράω[vixa3s] ὁ[dams] θεός[nams] ὅς[rrams] οὐ[xo] ὁράω[vixa3s] πῶς[bo] δύναμαι[vipn3s] ἀγαπάω[vnpa]. **v.21** καί[c] οὗτος[rdafs] ὁ[dafs] ἐντολή[nafs] ἔχω[vipa1p] ἀπό[p] αὐτός[rpgms] ἵνα[c] ὁ[dnms] ἀγαπάω[vppanms] ὁ[dams] θεός[nams] ἀγαπάω[vspa3s] καί[c] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms]. **5. v.1** πᾶς[anmsn] ὁ[dnms] πιστεύω[vppanms] ὅτι[c] Ἰησοῦς[nnms] εἰμί[vipx3s] ὁ[dnms] Χριστός[nnms] ἐκ[p] ὁ[dgms] θεός[ngms] γεννάω[vixp3s] καί[c] πᾶς[anmsn] ὁ[dnms] ἀγαπάω[vppanms] ὁ[dams] γεννάω[vpaaams] ἀγαπάω[vipa3s] καί[c] ὁ[dams] γεννάω[vpxpams] ἐκ[p] αὐτός[rpgms]. **v.2** ἐν[p] οὗτος[rddns] γινώσκω[vipa1p] ὅτι[c] ἀγαπάω[vipa1p] ὁ[danp] τέκνον[nanp] ὁ[dgms] θεός[ngms] ὅταν[c] ὁ[dams] θεός[nams] ἀγαπάω[vipa1p] καί[c] ὁ[dafp] ἐντολή[nafp] αὐτός[rpgms] τηρέω[vspa1p]. **v.3** οὗτος[rdnfs] γάρ[c] εἰμί[vipx3s] ὁ[dnfs] ἀγάπη[nnfs] ὁ[dgms] θεός[ngms] ἵνα[c] ὁ[dafp] ἐντολή[nafp] αὐτός[rpgms] τηρέω[vspa1p] καί[c] ὁ[dnfp] ἐντολή[nnfp] αὐτός[rpgms] βαρύς[anfpn] οὐ[xo] εἰμί[vipx3p]. **v.4** ὅτι[c] πᾶς[annsn] ὁ[dnns] γεννάω[vpxpnns] ἐκ[p] ὁ[dgms] θεός[ngms] νικάω[vipa3s] ὁ[dams] κόσμος[nams] καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] νίκη[nnfs] ὁ[dnfs] νικάω[vpaanfs] ὁ[dams] κόσμος[nams] ὁ[dnfs] πίστις[nnfs] ἐγώ[rpg-p]. **v.5** τίς[rqnms] εἰμί[vipx3s] ὁ[dnms] νικάω[vppanms] ὁ[dams] κόσμος[nams] εἰ[qo] μή[xo] ὁ[dnms] πιστεύω[vppanms] ὅτι[c] Ἰησοῦς[nnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms]. **v.6** οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] ἔρχομαι[vpaanms] διά[p] ὕδωρ[ngns] καί[c] αἷμα[ngns] Ἰησοῦς[nnms] ὁ[dnms] Χριστός[nnms] οὐ[xo] ἐν[p] ὁ[ddns] ὕδωρ[ndns] μόνος[bo] ἀλλά[c] ἐν[p] ὁ[ddns] ὕδωρ[ndns] καί[c] ὁ[ddns] αἷμα[ndns] καί[c] ὁ[dnns] πνεῦμα[nnns] εἰμί[vipx3s] ὁ[dnns] μαρτυρέω[vppanns] ὅτι[c] ὁ[dnns] πνεῦμα[nnns] εἰμί[vipx3s] ὁ[dnfs] ἀλήθεια[nnfs]. **v.7** ὅτι[c] τρεῖς[nnmp] εἰμί[vipx3p] ὁ[dnmp] μαρτυρέω[vppanmp] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] ὁ[dnms] πατήρ[nnms] ὁ[dnms] λόγος[nnms] καί[c] ὁ[dnns] ἅγιος[annsn] πνεῦμα[nnns] καί[c] οὗτος[rdnmp] ὁ[dnmp] τρεῖς[nnmp] εἷς[nnns] εἰμί[vipx3p].

καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν. εἰ τὴν 9
μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ
μείζων ἐστίν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, ἥν μεμαρτύ-
ρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ 10
ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ, ὁ μὴ πιστεύων τῷ Θεῷ, ψεύστην
πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν, ἣν
μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ αὕτη ἐστὶν ἡ 11
μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ Θεός, καὶ αὕτη ἡ ζωὴ
ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. ὁ ἔχων τὸν υἱὸν, ἔχει τὴν ζωήν, ὁ μὴ ἔ- 12
χων τὸν υἱὸν τοῦ Θεοῦ τὴν ζωὴν οὐκ ἔχει. Ταῦτα ἔγραψα ὑμῖν, 13
τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ ὑιοῦ τοῦ Θεοῦ, ἵνα εἰδῆτε ὅτι
ζωὴν ἔχετε αἰώνιον, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ
Θεοῦ. καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι 14
ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν, καὶ ἐὰν 15
οἴδαμεν ὅτι ἀκούει ἡμῶν, ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν
τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρ᾽ αὐτοῦ. ἐάν τις ἴδῃ τὸν ἀδελ- 16
φὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει,
καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. ἔ-
στιν ἁμαρτία πρὸς θάνατον, οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ.
πᾶσα ἀδικία ἁμαρτία ἐστί, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. 17

---

v.8 καί[c] τρεῖς[nnmp] εἰμί[vipx3p] ὁ[dnmp] μαρτυρέω[vppanmp] εἶς[p] ὁ[ddfs] γῆ[ndfs] ὁ[dnns] πνεῦμα[nnns] καί[c] ὁ[dnns] ὕδωρ[nnns] καί[c] ὁ[dnns] αἷμα[nnns] καί[c] ὁ[dnmp] τρεῖς[nnmp] εἰς[p] ὁ[dans] εἷς[nans] εἰμί[vipx3p]. **v.9** εἰ[qo] ὁ[dafs] μαρτυρία[nafs] ὁ[dgmp] ἄνθρωπος[ngmp] λαμβάνω[vipa1p] ὁ[dnfs] μαρτυρία[nnfs] ὁ[dgms] θεός[ngms] μέγας[anfsc] εἰμί[vipx3s] ὅτι[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] μαρτυρία[nnfs] ὁ[dgms] θεός[ngms] ὅς[rrafs] μαρτυρέω[vixa3s] περί[p] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms]. **v.10** ὁ[dnms] πιστεύω[vppanms] εἰς[p] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms] ἔχω[vipa3s] ὁ[dafs] μαρτυρία[nafs] ἐν[p] ἑαυτοῦ[rxdms] ὁ[dnms] μή[xo] πιστεύω[vppanms] ὁ[ddms] θεός[ndms] ψεύστης[nams] ποιέω[vixa3s] αὐτός[rpams] ὅτι[c] οὐ[xo] πιστεύω[vixa3s] εἰς[p] ὁ[dafs] μαρτυρία[nafs] ὅς[rrafs] μαρτυρέω[vixa3s] ὁ[dnms] θεός[nnms] περί[p] ὁ[dgms] υἱός[ngms] αὐτός[rpgms]. **v.11** καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] μαρτυρία[nnfs] ὅτι[c] ζωή[nafs] αἰώνιος[aafsn] δίδωμι[viaa3s] ἐγώ[rpd-p] ὁ[dnms] θεός[nnms] καί[c] οὗτος[rdnfs] ὁ[dnfs] ζωή[nnfs] ἐν[p] ὁ[ddms] υἱός[ndms] αὐτός[rpgms] εἰμί[vipx3s]. **v.12** ὁ[dnms] ἔχω[vppanms] ὁ[dams] υἱός[nams] ἔχω[vipa3s] ὁ[dafs] ζωή[nafs] ὁ[dnms] μή[xo] ἔχω[vppanms] ὁ[dams] υἱός[nams] ὁ[dgms] θεός[ngms] ὁ[dafs] ζωή[nafs] οὐ[xo] ἔχω[vipa3s]. **v.13** οὗτος[rdanp] γράφω[viaa1s] σύ[rpd-p] ὁ[ddmp] πιστεύω[vppadmp] εἰς[p] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] υἱός[ngms] ὁ[dgms] θεός[ngms] ἵνα[c] οἶδα[vsxa2p] ὅτι[c] ζωή[nafs] ἔχω[vipa2p] αἰώνιος[aafsn] καί[c] ἵνα[c] πιστεύω[vspa2p] εἰς[p] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] υἱός[ngms] ὁ[dgms] θεός[ngms]. **v.14** καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] παρρησία[nnfs] ὅς[rrafs] ἔχω[vipa1p] πρός[p] αὐτός[rpams] ὅτι[c] ἐάν[qo] τι-σριανσ αἰτέω[vspm1p] κατά[p] ὁ[dans] θέλημα[nans] αὐτός[rpgms] ἀκούω[vipa3s] ἐγώ[rpg-p]. **v.15** καί[c] ἐάν[qo] οἶδα[vixa1p] ὅτι[c] ἀκούω[vipa3s] ἐγώ[rpg-p] ὅς[rrans] ἄν[xo] αἰτέω[vspm1p] οἶδα[vixa1p] ὅτι[c] ἔχω[vipa1p] ὁ[danp] αἴτημα[nanp] ὅς[rranp] αἰτέω[vixa1p] παρά[p] αὐτός[rpgms]. **v.16** ἐάν[qo] τι-σρινμσ ὁράω[vsaa3s] ὁ[dams] ἀδελφός[nams] αὐτός[rpgms] ἁμαρτάνω[vppaams] ἁμαρτία[nafs] μή[xo] πρός[p] θάνατος[nams] αἰτέω[vifa3s] καί[c] δίδωμι[vifa3s] αὐτός[rpdms] ζωή[nafs] ὁ[ddmp] ἁμαρτάνω[vppadmp] μή[xo] πρός[p] θάνατος[nams] εἰμί[vipx3s] ἁμαρτία[nnfs] πρός[p] θάνατος[nams] οὐ[xo] περί[p] ἐκεῖνος[rdgfs] λέγω[vipa1s] ἵνα[c] ἐρωτάω[vsaa3s]. **v.17** πᾶς[anfsn] ἀδικία[nnfs] ἁμαρτία[nnfs] εἰμί[vipx3s] καί[c] εἰμί[vipx3s] ἁμαρτία[nnfs] οὐ[xo] πρός[p] θάνατος[nams].

18 Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει,
ἀλλ᾽ ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ
19 ἅπτεται αὐτοῦ. οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν, καὶ ὁ κόσμος
20 ὅλος ἐν τῷ πονηρῷ κεῖται. οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ Θεοῦ
ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινόν,
καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός
21 ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ αἰώνιος. Τεκνία, φυλάξατε
ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων. ἀμήν.

v.18 οἶδα[vixa1p] ὅτι[c] πᾶς[anmsn] ὁ[dnms] γεννάω[vpxpnms] ἐκ[p] ὁ[dgms] θεός[ngms] οὐ[xo] ἁμαρτάνω[vipa3s] ἀλλά[c] ὁ[dnms] γεννάω[vpapnms] ἐκ[p] ὁ[dgms] θεός[ngms] τηρέω[vipa3s] ἑαυτοῦ[rxams] καί[c] ὁ[dnms] πονηρός[anmsn] οὐ[xo] ἅπτω[vipm3s] αὐτός[rpgms]. **v.19** οἶδα[vixa1p] ὅτι[c] ἐκ[p] ὁ[dgms] θεός[ngms] εἰμί[vipx1p] καί[c] ὁ[dnms] κόσμος[nnms] ὅλος[anmsn] ἐν[p] ὁ[ddms] πονηρός[admsn] κεῖμαι[vipn3s]. **v.20** οἶδα[vixa1p] δέ[c] ὅτι[c] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms] ἥκω[vipa3s] καί[c] δίδωμι[vixa3s] ἐγώ[rpd-p] διάνοια[nafs] ἵνα[c] γινώσκω[vspa1p] ὁ[dams] ἀληθινός[aamsn] καί[c] εἰμί[vipx1p] ἐν[p] ὁ[ddms] ἀληθινός[admsn] ἐν[p] ὁ[ddms] υἱός[ndms] αὐτός[rpgms] Ἰησοῦς[ndms] Χριστός[ndms] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] ἀληθινός[anmsn] θεός[nnms] καί[c] ὁ[dnfs] ζωή[nnfs] αἰώνιος[anfsn]. **v.21** τεκνίον[nvnp] φυλάσσω[vdaa2p] ἑαυτοῦ[rxamp] ἀπό[p] ὁ[dgnp] εἴδωλον[ngnp] ἀμήν[th].

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΔΕΥΤΕΡΑ

Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ, καὶ τοῖς τέκνοις αὐτῆς, οὓς **1**
ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πάντες οἱ
ἐγνωκότες τὴν ἀλήθειαν, διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν 2
ἡμῖν, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα, ἔσται μεθ' ὑμῶν χά- 3
ρις, ἔλεος, εἰρήνη παρὰ Θεοῦ πατρός, καὶ παρὰ Κυρίου Ἰησοῦ
Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ. Ἐχάρην 4
λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ,
καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. καὶ νῦν ἐρωτῶ σε, 5
κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν, ἀλλὰ ἣν εἴχομεν
ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, 6
ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἐστὶν ἡ ἐντο-
λή, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε. ὅτι 7
πολλοὶ πλάνοι εἰσῆλθόν εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰ-
ησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί. οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ
ἀντίχριστος. βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασά- 8
μεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. πᾶς ὁ παραβαίνω καὶ 9
μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει, ὁ μένων ἐν
τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.
εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ 10

---

1. v.1 ὁ[dnms] πρεσβύτερος[anmsn] ἐκλεκτός[adfsn] κυρία[ndfs] καί[c] ὁ[ddnp] τέκνον[ndnp] αὐτός[rpgfs] ὅς[rramp] ἐγώ[rpn-s] ἀγαπάω[vipa1s] ἐν[p] ἀλήθεια[ndfs] καί[c] οὐ[xo] ἐγώ[rpn-s] μόνος[anmsn] ἀλλά[c] καί[c] πᾶς[anmpn] ὁ[dnmp] γινώσκω[vpxanmp] ὁ[dafs] ἀλήθεια[nafs]. **v.2** διά[p] ὁ[dafs] ἀλήθεια[nafs] ὁ[dafs] μένω[vppaafs] ἐν[p] ἐγώ[rpd-p] καί[c] μετά[p] ἐγώ[rpg-p] εἰμί[vifx3s] εἰς[p] ὁ[dams] αἰών[nams]. **v.3** εἰμί[vifx3s] μετά[p] σύ[rpg-p] χάρις[nnfs] ἔλεος[nnms] εἰρήνη[nnfs] παρά[p] θεός[ngms] πατήρ[ngms] καί[c] παρά[p] κύριος[ngms] Ἰησοῦς[ngms] Χριστός[ngms] ὁ[dgms] υἱός[ngms] ὁ[dgms] πατήρ[ngms] ἐν[p] ἀλήθεια[ndfs] καί[c] ἀγάπη[ndfs]. **v.4** χαίρω[viao1s] λίαν[bo] ὅτι[c] εὑρίσκω[vixa1s] ἐκ[p] ὁ[dgnp] τέκνον[ngnp] σύ[rpg-s] περιπατέω[vppaamp] ἐν[p] ἀλήθεια[ndfs] καθώς[bo] ἐντολή[nafs] λαμβάνω[viaa1p] παρά[p] ὁ[dgms] πατήρ[ngms]. **v.5** καί[c] νῦν[bo] ἐρωτάω[vipa1s] σύ[rpa-s] κυρία[nvfs] οὐ[xo] ὡς[bo] ἐντολή[nafs] γράφω[vppanms] σύ[rpd-s] καινός[aafsn] ἀλλά[c] ὅς[rrafs] ἔχω[viia1p] ἀπό[p] ἀρχή[ngfs] ἵνα[c] ἀγαπάω[vspa1p] ἀλλήλων[reamp]. **v.6** καί[c] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἀγάπη[nnfs] ἵνα[c] περιπατέω[vspa1p] κατά[p] ὁ[dafp] ἐντολή[nafp] αὐτός[rpgms] οὗτος[rdnfs] εἰμί[vipx3s] ὁ[dnfs] ἐντολή[nnfs] καθώς[bo] ἀκούω[viaa2p] ἀπό[p] ἀρχή[ngfs] ἵνα[c] ἐν[p] αὐτός[rpdfs] περιπατέω[vspa2p]. **v.7** ὅτι[c] πολύς[anmpn] πλάνος[anmpn] εἰσέρχομαι[viaa3p] εἰς[p] ὁ[dams] κόσμος[nams] ὁ[dnmp] μή[xo] ὁμολογέω[vppanmp] Ἰησοῦς[nams] Χριστός[nams] ἔρχομαι[vppnams] ἐν[p] σάρξ[ndfs] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] πλάνος[anmsn] καί[c] ὁ[dnms] ἀντίχριστος[nnms]. **v.8** βλέπω[vdpa2p] ἑαυτοῦ[rxamp] ἵνα[c] μή[xo] ἀπόλλυμι[vsaa1p] ὅς[rranp] ἐργάζομαι[viad1p] ἀλλά[c] μισθός[nams] πλήρης[aamsn] ἀπολαμβάνω[vsaa1p]. **v.9** πᾶς[anmsn] ὁ[dnms] παραβαίνω[vppanms] καί[c] μή[xo] μένω[vppanms] ἐν[p] ὁ[ddfs] διδαχή[ndfs] ὁ[dgms] Χριστός[ngms] θεός[nams] οὐ[xo] ἔχω[vipa3s] ὁ[dnms] μένω[vppanms] ἐν[p] ὁ[ddfs] διδαχή[ndfs] ὁ[dgms] Χριστός[ngms] οὗτος[rdnms] καί[c] ὁ[dams] πατήρ[nams] καί[c] ὁ[dams] υἱός[nams] ἔχω[vipa3s].

11 λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε, ὁ γὰρ
λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.
12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέ-
λανος, ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα
13 λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. ἀσπάζεταί σε τὰ
τέκνα τῆς ἀδελφῆς σου τῆς Ἐκλεκτῆς. ἀμήν.

---

v.10 εἰ[qo] τι-σρινμσ ἔρχομαι[vipn3s] πρός[p] σύ[rpa-p] καί[c] οὗτος[rdafs] ὁ[dafs] διδαχή[nafs] οὐ[xo] φέρω[vipa3s] μή[xo] λαμβάνω[vdpa2p] αὐτός[rpams] εἰς[p] οἰκία[nafs] καί[c] χαίρω[vnpa] αὐτός[rpdms] μή[xo] λέγω[vdpa2p]. **v.11** ὁ[dnms] γάρ[c] λέγω[vppanms] αὐτός[rpdms] χαίρω[vnpa] κοινωνέω[vipa3s] ὁ[ddnp] ἔργον[ndnp] αὐτός[rpgms] ὁ[ddnp] πονηρός[adnpn]. **v.12** πολύς[aanpn] ἔχω[vppanms] σύ[rpd-p] γράφω[vnpa] οὐ[xo] βούλομαι[viao1s] διά[p] χάρτης[ngms] καί[c] μέλας[agnsn] ἀλλά[c] ἐλπίζω[vipa1s] ἔρχομαι[vnaa] πρός[p] σύ[rpa-p] καί[c] στόμα[nans] πρός[p] στόμα[nans] λαλέω[vnaa] ἵνα[c] ὁ[dnfs] χαρά[nnfs] ἐγώ[rpg-p] εἰμί[vspx3s] πληρόω[vpxpnfs]. **v.13** ἀσπάζομαι[vipn3s] σύ[rpa-s] ὁ[dnnp] τέκνον[nnnp] ὁ[dgfs] ἀδελφή[ngfs] σύ[rpg-s] ὁ[dgfs] ἐκλεκτός[agfsn] ἀμήν[th].

ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗ

Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀλη- **1**
θείᾳ. Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑ- 2
γιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. ἐχάρην γὰρ λίαν, 3
ἐρχομένων ἀδελφῶν, καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, κα-
θὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. μειζοτέραν τούτων οὐκ ἔχω 4
χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. Ἀ- 5
γαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς
τοὺς ξένους, οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλη- 6
σίας, οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ Θεοῦ. ὑπὲρ 7
γὰρ τοῦ ὀνόματος αὐτοῦ ἐξῆλθον μηδὲν λαμβάνοντες ἀπὸ τῶν
ἐθνῶν. ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, 8
ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ. Ἔγραψά τῇ ἐκκλησίᾳ, 9
ἀλλ᾽ ὁ φιλοπρωτεύων αὐτῶν Διοτρέφης οὐκ ἐπιδέχεται ἡμᾶς.
διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λό- 10
γοις πονηροῖς φλυαρῶν ἡμᾶς, καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις,
οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους
κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει. ἀγαπητέ, μὴ μιμοῦ 11
τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν,
ὁ δὲ κακοποιῶν οὐχ ἑώρακε τὸν Θεόν. Δημητρίῳ μεμαρτύ- 12

---

1. **v.1** ὁ[dnms] πρεσβύτερος[anmsn] Γάϊος[ndms] ὁ[ddms] ἀγαπητός[admsn] ὅς[rrams] ἐγώ[rpn-s] ἀγαπάω[vipa1s] ἐν[p] ἀλήθεια[ndfs]. **v.2** ἀγαπητός[avmsn] περί[p] πᾶς[agnpn] εὔχομαι[vipn1s] σύ[rpa-s] εὐοδόω[vnpp] καί[c] ὑγιαίνω[vnpa] καθώς[bo] εὐοδόω[vipp3s] σύ[rpg-s] ὁ[dnfs] ψυχή[nnfs]. **v.3** χαίρω[viao1s] γάρ[c] λίαν[bo] ἔρχομαι[vppngmp] ἀδελφός[ngmp] καί[c] μαρτυρέω[vppagmp] σύ[rpg-s] ὁ[ddfs] ἀλήθεια[ndfs] καθώς[bo] σύ[rpn-s] ἐν[p] ἀλήθεια[ndfs] περιπατέω[vipa2s]. **v.4** μέγας[aafsn] οὗτος[rdgnp] οὐ[xo] ἔχω[vipa1s] χαρά[nafs] ἵνα[c] ἀκούω[vipa1s] ὁ[danp] ἐμός[rsanp] τέκνον[nanp] ἐν[p] ἀλήθεια[ndfs] περιπατέω[vppaams]. **v.5** ἀγαπητός[avmsn] πιστός[aansn] ποιέω[vipa2s] ὅς[rrans] ἐάν[qo] ἐργάζομαι[vsad2s] εἰς[p] ὁ[damp] ἀδελφός[namp] καί[c] εἰς[p] ὁ[damp] ξένος[aampn]. **v.6** ὅς[rrnmp] μαρτυρέω[viaa3p] σύ[rpg-s] ὁ[ddfs] ἀγάπη[ndfs] ἐνώπιον[bo] ἐκκλησία[ngfs] ὅς[rramp] καλῶς[bo] ποιέω[vifa2s] προπέμπω[vpaanms] ἀξίως[bo] ὁ[dgms] θεός[ngms]. **v.7** ὑπέρ[p] γάρ[c] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgms] ἐξέρχομαι[viaa3p] μηδείς[aansn] λαμβάνω[vppanmp] ἀπό[p] ὁ[dgnp] ἔθνος[ngnp]. **v.8** ἐγώ[rpn-p] οὖν[c] ὀφείλω[vipa1p] ἀπολαμβάνω[vnpa] ὁ[damp] τοιοῦτος[rdamp] ἵνα[c] συνεργός[anmpn] γίνομαι[vspn1p] ὁ[ddfs] ἀλήθεια[ndfs]. **v.9** γράφω[viaa1s] ὁ[ddfs] ἐκκλησία[ndfs] ἀλλά[c] ὁ[dnms] φιλοπρωτεύω[vppanms] αὐτός[rpgfp] Διοτρέφης[nnms] οὐ[xo] ἐπιδέχομαι[vipn3s] ἐγώ[rpa-p]. **v.10** διά[p] οὗτος[rdans] ἐάν[qo] ἔρχομαι[vsaa1s] ὑπομιμνῄσκω[vifa1s] αὐτός[rpgms] ὁ[danp] ἔργον[nanp] ὅς[rranp] ποιέω[vipa3s] λόγος[ndmp] πονηρός[admpn] φλυαρέω[vppanms] ἐγώ[rpa-p] καί[c] μή[xo] ἀρκέω[vpppnms] ἐπί[p] οὗτος[rddmp] οὔτε[c] αὐτός[rpnms] ἐπιδέχομαι[vipn3s] ὁ[damp] ἀδελφός[namp] καί[c] ὁ[damp] βούλομαι[vppnamp] κωλύω[vipa3s] καί[c] ἐκ[p] ὁ[dgfs] ἐκκλησία[ngfs] ἐκβάλλω[vipa3s]. **v.11** ἀγαπητός[avmsn] μή[xo] μιμέομαι[vdpn2s] ὁ[dans] κακός[aansn] ἀλλά[c] ὁ[dans] ἀγαθός[aansn] ὁ[dnms] ἀγαθοποιέω[vppanms] ἐκ[p] ὁ[dgms] θεός[ngms] εἰμί[vipx3s] ὁ[dnms] δέ[c] κακοποιέω[vppanms] οὐ[xo] ὁράω[vixa3s] ὁ[dams] θεός[nams].

ρηται ὑπὸ πάντων, καὶ ὑ'π αὐτῆς τῆς ἀληθείας, καὶ ἡμεῖς δὲ
μαρτυροῦμεν, καὶ οἴδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.
13 Πολλὰ εἶχον γράφειν, ἀλλ᾽ οὐ θέλω διὰ μέλανος καὶ καλάμου
14 σοι γράψαι, ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα
λαλήσομεν. εἰρήνῃ σοί ἀσπάζονταί σε οἵ φίλοι ἀσπάζου τούς
φίλους κατ᾽ ὄνομα.

---

v.12 Δημήτριος[ndms] μαρτυρέω[vixp3s] ὑπό[p] πᾶς[agmpn] καί[c] ὑπό[p] αὐτός[rpgfs] ὁ[dgfs] ἀλήθεια[ngfs] καί[c] ἐγώ[rpn-p] δέ[c] μαρτυρέω[vipa1p] καί[c] οἶδα[vixa2p] ὅτι[c] ὁ[dnfs] μαρτυρία[nnfs] ἐγώ[rpg-p] ἀληθής[anfsn] εἰμί[vipx3s]. **v.13** πολύς[aanpn] ἔχω[viia1s] γράφω[vnpa] ἀλλά[c] οὐ[xo] θέλω[vipa1s] διά[p] μέλας[agnsn] καί[c] κάλαμος[ngms] σύ[rpd-s] γράφω[vnaa]. **v.14** ἐλπίζω[vipa1s] δέ[c] εὐθέως[bo] ὁράω[vnaa] σύ[rpa-s] καί[c] στόμα[nans] πρός[p] στόμα[nans] λαλέω[vifa1p] εἰρήνη[nnfs] σύ[rpd-s] ἀσπάζομαι[vipn3p] σύ[rpa-s] ὁ[dnmp] φίλος[anmpn] ἀσπάζομαι[vdpn2s] ὁ[damp] φίλος[aampn] κατά[p] ὄνομα[nans].

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗ

Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς **1**
ἐν Θεῷ πατρὶ ἡγίασμένοις, καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις,
κλητοῖς, ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη. Ἀ- 2, 3
γαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς
κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐ-
παγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. πα- 4
ρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς
τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέν-
τες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην Θεόν, καὶ Κύριον
ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. Ὑπομνῆσαι δὲ ὑμᾶς βού- 5
λομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος, λαὸν ἐκ γῆς
Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν.
ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀ- 6
πολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας,
δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. ὡς Σόδομα καὶ Γό- 7
μορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον
ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρό-
κεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. ὁμοίως μέν- 8
τοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα

---

ρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. οὐαὶ τοῖς κατοικοῦσι τὴν
γῆν καὶ τὴν θάλασσαν, ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων
13 θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει. Καὶ ὅτε εἶδεν ὁ
δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐδίωξε τὴν γυναῖκα ἥτις ἔτεκε
14 τὸν ἄρρενα. καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀ-
ετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον
αὐτῆς, ὅπου τρέφεται ἐκεῖ καιρὸν, καὶ καιροὺς καὶ ἥμισυ και-
15 ροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως. καὶ ἔβαλεν ὁ ὄφις ὀπίσω τῆς
γυναικὸς ε᾿κ τοῦ στόματος αὐτοῦ ὕδωρ ὡς ποταμόν, ἵνα ταὐτὴν
16 ποταμοφόρητον ποιήσῃ. καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ
ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν ποταμὸν ὃν ἔβα-
17 λεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ. καὶ ὠργίσθη ὁ δράκων

---

v.9 καί[c] βάλλω[viap3s] ὁ[dnms] δράκων[nnms] ὁ[dnms] μέγας[anmsn] ὁ[dnms] ὄφις[nnms] ὁ[dnms] ἀρχαῖος[anmsn] ὁ[dnms] καλέω[vpppnms] διάβολος[anmsn] καί[c] ὁ[dnms] Σατανᾶς[nnms] ὁ[dnms] πλανάω[vppanms] ὁ[dafs] οἰκουμένη[nafs] ὅλος[aafsn] βάλλω[viap3s] εἰς[p] ὁ[dafs] γῆ[nafs] καί[c] ὁ[dnmp] ἄγγελος[nnmp] αὐτός[rpgms] μετά[p] αὐτός[rpgms] βάλλω[viap3p]. **v.10** καί[c] ἀκούω[viaa1s] φωνή[nafs] μέγας[aafsn] λέγω[vppaafs] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] ἄρτι[bo] γίνομαι[viad3s] ὁ[dnfs] σωτηρία[nnfs] καί[c] ὁ[dnfs] δύναμις[nnfs] καί[c] ὁ[dnfs] βασιλεία[nnfs] ὁ[dgms] θεός[ngms] ἐγώ[rpg-p] καί[c] ὁ[dnfs] ἐξουσία[nnfs] ὁ[dgms] Χριστός[ngms] αὐτός[rpgms] ὅτι[c] καταβάλλω[viap3s] ὁ[dnms] κατήγορος[nnms] ὁ[dgmp] ἀδελφός[ngmp] ἐγώ[rpg-p] ὁ[dnms] κατηγορέω[vppanms] αὐτός[rpgmp] ἐνώπιον[bo] ὁ[dgms] θεός[ngms] ἐγώ[rpg-p] ἡμέρα[ngfs] καί[c] νύξ[ngfs]. **v.11** καί[c] αὐτός[rpnmp] νικάω[viaa3p] αὐτός[rpams] διά[p] ὁ[dans] αἷμα[nans] ὁ[dgns] ἀρνίον[ngns] καί[c] διά[p] ὁ[dams] λόγος[nams] ὁ[dgfs] μαρτυρία[ngfs] αὐτός[rpgmp] καί[c] οὐ[xo] ἀγαπάω[viaa3p] ὁ[dafs] ψυχή[nafs] αὐτός[rpgmp] ἄχρι[p] θάνατος[ngms]. **v.12** διά[p] οὗτος[rdans] εὐφραίνω[vdpp2p] ὁ[dnmp] οὐρανός[nnmp] καί[c] ὁ[dnmp] ἐν[p] αὐτός[rpdmp] σκηνόω[vppanmp] οὐαί[i] ὁ[ddmp] κατοικέω[vppadmp] ὁ[dafs] γῆ[nafs] καί[c] ὁ[dafs] θάλασσα[nafs] ὅτι[c] καταβαίνω[viaa3s] ὁ[dnms] διάβολος[anmsn] πρός[p] σύ[rpa-p] ἔχω[vppanms] θυμός[nams] μέγας[aamsn] οἶδα[vpxanms] ὅτι[c] ὀλίγος[aamsn] καιρός[nams] ἔχω[vipa3s]. **v.13** καί[c] ὅτε[bo] ὁράω[viaa3s] ὁ[dnms] δράκων[nnms] ὅτι[c] βάλλω[viap3s] εἰς[p] ὁ[dafs] γῆ[nafs] διώκω[viaa3s] ὁ[dafs] γυνή[nafs] ὅστις[rrnfs] τίκτω[viaa3s] ὁ[dams] ἄρσην[nams]. **v.14** καί[c] δίδωμι[viap3p] ὁ[ddfs] γυνή[ndfs] δύο[tn] πτέρυξ[nnfp] ὁ[dgms] ἀετός[ngms] ὁ[dgms] μέγας[agmsn] ἵνα[c] πέτομαι[vspn3s] εἰς[p] ὁ[dafs] ἔρημος[aafsn] εἰς[p] ὁ[dams] τόπος[nams] αὐτός[rpgfs] ὅπου[bo] τρέφω[vipp3s] ἐκεῖ[bo] καιρός[nams] καί[c] καιρός[namp] καί[c] ἥμισυς[aansn] καιρός[ngms] ἀπό[p] πρόσωπον[ngns] ὁ[dgms] ὄφις[ngms]. **v.15** καί[c] βάλλω[viaa3s] ὁ[dnms] ὄφις[nnms] ὀπίσω[bo] ὁ[dgfs] γυνή[ngfs] ἐκ[p] ὁ[dgns] στόμα[ngns] αὐτός[rpgms] ὕδωρ[nans] ὡς[bo] ποταμός[nams] ἵνα[c] οὗτος[rdafs] ποταμοφόρητος[aafsn] ποιέω[vsaa3s]. **v.16** καί[c] βοηθέω[viaa3s] ὁ[dnfs] γῆ[nnfs] ὁ[ddfs] γυνή[ndfs] καί[c] ἀνοίγω[viaa3s] ὁ[dnfs] γῆ[nnfs] ὁ[dans] στόμα[nans] αὐτός[rpgfs] καί[c] καταπίνω[viaa3s] ὁ[dams] ποταμός[nams] ὅς[rrams] βάλλω[viaa3s] ὁ[dnms] δράκων[nnms] ἐκ[p] ὁ[dgns] στόμα[ngns] αὐτός[rpgms].

ἐπὶ τῇ γυναικί, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν
τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ
ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ.
καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης. Καὶ εἶδον ἐκ τῆς **13**
θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κεφαλὰς ἑπτά καὶ κέρατα
δέκα, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα, καὶ ἐπὶ τὰς
κεφαλὰς αὐτοῦ ὀνόμα βλασφημίας. καὶ τὸ θηρίον ὃ εἶδον ἦν 2
ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα
αὐτοῦ ὡς στόμα λέοντος, Καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύνα-
μιν αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν μεγάλην. καὶ 3
εἶδον μίαν τῶν κεφαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον, καὶ
ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη, καὶ ἐθαύμασεν ὅλη
ἡ γῆ ὀπίσω τοῦ θηρίου, καὶ προσεκύνησαν τόν δράκοντα ὅς 4
ἔδωκεν ἐξουσίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τὸ θηρίον, λέ-
γοντες, τίς ὅμοιος τῷ θηρίῳ· Τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ·
καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίας, καὶ ἐ- 5
δόθη αὐτῷ ἐξουσία ποιῆσαι μῆνας τεσσαράκοντα δύο. καὶ 6
ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν Θεόν, βλα-
σφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς
ἐν τῷ οὐρανῷ σκηνοῦντας. καὶ ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι 7
μετὰ τῶν ἁγίων, καὶ νικῆσαι αὐτούς, καὶ ἐδόθη αὐτῷ ἐξουσία

---

v.17 καί[c] ὀργίζω[viap3s] ὁ[dnms] δράκων[nnms] ἐπί[p] ὁ[ddfs] γυνή[ndfs] καί[c] ἀπέρχομαι[viaa3s] ποιέω[vnaa] πόλεμος[nams] μετά[p] ὁ[dgnp] λοιπός[agnpn] ὁ[dgns] σπέρμα[ngns] αὐτός[rpgfs] ὁ[dgmp] τηρέω[vppagmp] ὁ[dafp] ἐντολή[nafp] ὁ[dgms] θεός[ngms] καί[c] ἔχω[vppagmp] ὁ[dafs] μαρτυρία[nafs] ὁ[dgms] Ἰησοῦς[ngms] Χριστός[ngms].
13. **v.1** καί[c] ἵστημι[viap1s] ἐπί[p] ὁ[dafs] ἄμμος[nafs] ὁ[dgfs] θάλασσα[ngfs] καί[c] ὁράω[viaa1s] ἐκ[p] ὁ[dgfs] θάλασσα[ngfs] θηρίον[nans] ἀναβαίνω[vppaans] ἔχω[vppaans] κεφαλή[nafp] ἑπτά[tn] καί[c] κέρας[nanp] δέκα[tn] καί[c] ἐπί[p] ὁ[dgnp] κέρας[ngnp] αὐτός[rpgns] δέκα[tn] διάδημα[nnnp] καί[c] ἐπί[p] ὁ[dafp] κεφαλή[nafp] αὐτός[rpgns] ὄνομα[nnns] βλασφημία[ngfs]. **v.2** καί[c] ὁ[dnns] θηρίον[nnns] ὅς[rrans] ὁράω[viaa1s] εἰμί[viix3s] ὅμοιος[annsn] πάρδαλις[ndfs] καί[c] ὁ[dnmp] πούς[nnmp] αὐτός[rpgns] ὡς[bo] ἄρκος[ngfs] καί[c] ὁ[dnns] στόμα[nnns] αὐτός[rpgns] ὡς[bo] στόμα[nnns] λέων[ngms] καί[c] δίδωμι[viaa3s] αὐτός[rpdns] ὁ[dnms] δράκων[nnms] ὁ[dafs] δύναμις[nafs] αὐτός[rpgms] καί[c] ὁ[dams] θρόνος[nams] αὐτός[rpgms] καί[c] ἐξουσία[nafs] μέγας[aafsn]. **v.3** καί[c] ὁράω[viaa1s] εἷς[nafs] ὁ[dgfp] κεφαλή[ngfp] αὐτός[rpgns] ὡς[bo] σφάζω[vpxpafs] εἰς[p] θάνατος[nams] καί[c] ὁ[dnfs] πληγή[nnfs] ὁ[dgms] θάνατος[ngms] αὐτός[rpgns] θεραπεύω[viap3s] καί[c] θαυμάζω[viaa3s] ὅλος[anfsn] ὁ[dnfs] γῆ[nnfs] ὀπίσω[bo] ὁ[dgns] θηρίον[ngns]. **v.4** καί[c] προσκυνέω[viaa3p] ὁ[dams] δράκων[nams] ὅς[rrnms] δίδωμι[viaa3s] ἐξουσία[nafs] ὁ[ddns] θηρίον[ndns] καί[c] προσκυνέω[viaa3p] ὁ[dans] θηρίον[nans] λέγω[vppanmp] τίς[rqnms] ὅμοιος[anmsn] ὁ[ddns] θηρίον[ndns] τίς[rqnms] δύναμαι[vipn3s] πολεμέω[vnaa] μετά[p] αὐτός[rpgns]. **v.5** καί[c] δίδωμι[viap3s] αὐτός[rpdns] στόμα[nnns] λαλέω[vppanns] μέγας[aanpn] καί[c] βλασφημία[nafp] καί[c] δίδωμι[viap3s] αὐτός[rpdns] ἐξουσία[nnfs] ποιέω[vnaa] μήν[namp] τεσσεράκοντα[tn] δύο[tn]. **v.6** καί[c] ἀνοίγω[viaa3s] ὁ[dans] στόμα[nans] αὐτός[rpgns] εἰς[p] βλασφημία[nafs] πρός[p] ὁ[dams] θεός[nams] βλασφημέω[vnaa] ὁ[dans] ὄνομα[nans] αὐτός[rpgms] καί[c] ὁ[dafs] σκηνή[nafs] αὐτός[rpgms] καί[c] ὁ[damp] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] σκηνόω[vppaamp].

8 ἐπὶ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος. καὶ προσκυνήσου-
σιν αὐτῷ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται
τὰ ὄνοματα ἐν τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου ἐσφαγμένου ἀπὸ
9, 10 καταβολῆς κόσμου. εἴ τις ἔχει οὖς, ἀκουσάτω. εἴ τις αἰ-
χμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν ὑπάγει, εἴ τις ἐν μαχαίρᾳ
ἀποκτενει, δεῖ αὐτον ἐν μαχαίρᾳ ἀποκτανθῆναι. ὧδέ ἐστιν ἡ
11 ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων. Καὶ εἶδον ἄλλο θηρίον ἀνα-
βαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ, καὶ ἐλάλει
12 ὡς δράκων. καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ
ἐνώπιον αὐτοῦ. καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς κατοικοῦντας ἐν
αὐτῇ ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη
13 ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. καὶ ποιεῖ σημεῖα μεγάλα, ἵνα
καὶ πῦρ ποιῇ καταβαίνειν ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γην. ἐνώ-
14 πιον τῶν ἀνθρώπων. καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ τῆς
γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου,
λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ποιῆσαι εἰκόνα τῷ θηρίῳ
15 ὃ ἔχει τὴν πληγὴν τῆς μαχαίρας, καὶ ἔζησε. καὶ ἐδόθη αὐτῷ
δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν
τοῦ θηρίου, καὶ ποιήσῃ, ὅσοι ἂν μὴ προσκυνήσωσι τὴν εἰκόνα
16 τοῦ θηρίου, ἵνα ἀποκτανθῶσι. καὶ ποιεῖ πάντας, τοὺς μικροὺς
καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχούς, καὶ

---

v.7 καί[c] δίδωμι[viap3s] αὐτός[rpdns] πόλεμος[nams] ποιέω[vnaa] μετά[p] ὁ[dgmp] ἅγιος[agmpn] καί[c] νικάω[vnaa] αὐτός[rpamp] καί[c] δίδωμι[viap3s] αὐτός[rpdns] ἐξουσία[nnfs] ἐπί[p] πᾶς[aafsn] φυλή[nafs] καί[c] γλῶσσα[nafs] καί[c] ἔθνος[nans]. **v.8** καί[c] προσκυνέω[vifa3p] αὐτός[rpdns] πᾶς[anmpn] ὁ[dnmp] κατοικέω[vppanmp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ὅς[rrgmp] ὅς[xo] γράφω[vixp3s] ὁ[dnnp] ὄνομα[nnnp] ἐν[p] ὁ[ddfs] βίβλος[ndfs] ὁ[dgfs] ζωή[ngfs] ὁ[dgns] ἀρνίον[ngns] σφάζω[vpxpgns] ἀπό[p] καταβολή[ngfs] κόσμος[ngms]. **v.9** εἰ[qo] τι--σρινμσ ἔχω[vipa3s] οὖς[nans] ἀκούω[vdaa3s]. **v.10** εἰ[qo] τι-σρινμσ αἰχμαλωσία[nafs] συνάγω[vipa3s] εἰς[p] αἰχμαλωσία[nafs] ὑπάγω[vipa3s] εἰ[qo] τι-σρινμσ ἐν[p] μάχαιρα[ndfs] ἀποκτείνω[vipa3s] δεῖ[vipq3s] αὐτός[rpams] ἐν[p] μάχαιρα[ndfs] ἀποκτείνω[vnap] ὧδε[bo] εἰμί[vipx3s] ὁ[dnfs] ὑπομονή[nnfs] καί[c] ὁ[dnfs] πίστις[nnfs] ὁ[dgmp] ἅγιος[agmpn]. **v.11** καί[c] ὁράω[viaa1s] ἄλλος[aansn] θηρίον[nans] ἀναβαίνω[vppaans] ἐκ[p] ὁ[dgfs] γῆ[ngfs] καί[c] ἔχω[viia3s] κέρας[nanp] δύο[tn] ὅμοιος[aanpn] ἀρνίον[ndns] καί[c] λαλέω[viia3s] ὡς[bo] δράκων[nnms]. **v.12** καί[c] ὁ[dafs] ἐξουσία[nafs] ὁ[dgns] πρῶτος[agnsn] θηρίον[ngns] πᾶς[aafsn] ποιέω[vipa3s] ἐνώπιον[bo] αὐτός[rpgns] καί[c] ποιέω[vipa3s] ὁ[dafs] γῆ[nafs] καί[c] ὁ[damp] κατοικέω[vppaamp] ἐν[p] αὐτός[rpdfs] ἵνα[c] προσκυνέω[vsaa3p] ὁ[dans] θηρίον[nans] ὁ[dans] πρῶτος[aansn] ὅς[rrgns] θεραπεύω[viap3s] ὁ[dnfs] πληγή[nnfs] ὁ[dgms] θάνατος[ngms] αὐτός[rpgns]. **v.13** καί[c] ποιέω[vipa3s] σημεῖον[nanp] μέγας[aanpn] ἵνα[c] καί[c] πῦρ[nans] ποιέω[vspa3s] καταβαίνω[vnpa] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] εἰς[p] ὁ[dafs] γῆ[nafs] ἐνώπιον[bo] ὁ[dgmp] ἄνθρωπος[ngmp]. **v.14** καί[c] πλανάω[vipa3s] ὁ[damp] κατοικέω[vppaamp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] διά[p] ὁ[danp] σημεῖον[nanp] ὅς[rrnnp] δίδωμι[viap3s] αὐτός[rpdns] ποιέω[vnaa] ἐνώπιον[bo] ὁ[dgns] θηρίον[ngns] λέγω[vppanms] ὁ[ddmp] κατοικέω[vppadmp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ποιέω[vnaa] εἰκών[nafs] ὁ[ddns] θηρίον[ndns] ὅς[rrnns] ἔχω[vipa3s] ὁ[dafs] πληγή[nafs] ὁ[dgfs] μάχαιρα[ngfs] καί[c] ζάω[viaa3s]. **v.15** καί[c] δίδωμι[viap3s] αὐτός[rpdns] δίδωμι[vnaa] πνεῦμα[nans] ὁ[ddfs] εἰκών[ndfs] ὁ[dgns] θηρίον[ngns] ἵνα[c] καί[c] λαλέω[vsaa3s] ὁ[dnfs] εἰκών[nnfs] ὁ[dgns] θηρίον[ngns] καί[c] ποιέω[vsaa3s] ὅσος[rcnmp] ἄν[xo] μή[xo] προσκυνέω[vsaa3p] ὁ[dafs] εἰκών[nafs] ὁ[dgns] θηρίον[ngns] ἵνα[c] ἀποκτείνω[vsap3p].

τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δώσῃ αὐτοῖς χάραγμα
ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν μέτωπων αὐτῶν,
καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ 17
χάραγμα, ἤ τὸ ὄνομα τοῦ θηρίου ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος
αὐτοῦ. ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων τὸν νοῦν ψηφισάτω τὸν ἀρι- 18
θμὸν τοῦ θηρίου, ἀριθμὸς γὰρ ἀνθρώπου ἐστί, καὶ ὁ ἀριθμὸς
αὐτοῦ χξ̈ς.

Καὶ εἶδον, καὶ ἰδοὺ, ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιών, καὶ **14**
μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, ἔχουσαι τὸ
ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν.
καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς φωνὴν ὑδάτων πολλῶν, 2
καὶ ὡς φωνὴν βροντῆς μεγάλης, καὶ φωνὴ ἤκουσα κιθαρῳδῶν
κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν, καὶ ᾄδουσιν ὡς ᾠδὴν 3
καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων
καὶ τῶν πρεσβυτέρων, καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδὴν, εἰ
μὴ αἱ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι
ἀπὸ τῆς γῆς. οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν, 4
παρθένοι γάρ εἰσιν. οὗτοι εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ
ὅπου ἂν ὑπάγῃ. οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀ-
παρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ. καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ 5
εὑρέθη δόλος, ἄμωμοί γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θε-

---

v.16 καί[c] ποιέω[vipa3s] πᾶς[aampn] ὁ[damp] μικρός[aampn] καί[c] ὁ[damp] μέγας[aampn] καί[c] ὁ[damp] πλούσιος[aampn] καί[c] ὁ[damp] πτωχός[aampn] καί[c] ὁ[damp] ἐλεύθερος[aampn] καί[c] ὁ[damp] δοῦλος[namp] ἵνα[c] δίδωμι[vsaa3s] αὐτός[rpdmp] χάραγμα[nans] ἐπί[p] ὁ[dgfs] χείρ[ngfs] αὐτός[rpgmp] ὁ[dgfs] δεξιός[agfsn] ἤ[xo] ἐπί[p] ὁ[dgnp] μέτωπον[ngnp] αὐτός[rpgmp]. **v.17** καί[c] ἵνα[c] μή[xo] τι-σριvμσ δύναμαι[vspn3s] ἀγοράζω[vnaa] ἤ[xo] πωλέω[vnaa] εἰ[qo] μή[xo] ὁ[dnms] ἔχω[vppanms] ὁ[dans] χάραγμα[nans] ἤ[xo] ὁ[dans] ὄνομα[nans] ὁ[dgns] θηρίον[ngns] ἤ[xo] ὁ[dams] ἀριθμός[nams] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgms]. **v.18** ὧδε[bo] ὁ[dnfs] σοφία[nnfs] εἰμί[vipx3s] ὁ[dnms] ἔχω[vppanms] ὁ[dams] νοῦς[nams] ψηφίζω[vdaa3s] ὁ[dams] ἀριθμός[nams] ὁ[dgns] θηρίον[ngns] ἀριθμός[nnms] γάρ[c] ἄνθρωπος[ngms] εἰμί[vipx3s] καί[c] ὁ[dnms] ἀριθμός[nnms] αὐτός[rpgms] χξ̈ζ[tn]. **14. v.1** καί[c] ὁράω[viaa1s] καί[c] ἰδού[vdaa2s] ἀρνίον[nnns] ἵστημι[vpxanns] ἐπί[p] ὁ[dans] ὄρος[nans] Σιών[tp] καί[c] μετά[p] αὐτός[rpgms] ἑκατόν[tn] τεσσεράκοντα[tn] τέσσαρες[nnfp] χιλιάς[nnfp] ἔχω[vppanfp] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] πατήρ[ngms] αὐτός[rpgms] γράφω[vpxpans] ἐπί[p] ὁ[dgnp] μέτωπον[ngnp] αὐτός[rpgmp]. **v.2** καί[c] ἀκούω[viaa1s] φωνή[nafs] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] ὡς[bo] φωνή[nafs] ὕδωρ[ngnp] πολύς[agnpn] καί[c] ὡς[bo] φωνή[nafs] βροντή[ngfs] μέγας[agfsn] καί[c] φωνή[nafs] ἀκούω[viaa1s] κιθαρῳδός[ngmp] κιθαρίζω[vppagmp] ἐν[p] ὁ[ddfp] κιθάρα[ndfp] αὐτός[rpgmp]. **v.3** καί[c] ᾄδω[vipa3p] ὡς[bo] ᾠδή[nafs] καινός[aafsn] ἐνώπιον[bo] ὁ[dgms] θρόνος[ngms] καί[c] ἐνώπιον[bo] ὁ[dgnp] τέσσαρες[ngnp] ζῷον[ngnp] καί[c] ὁ[dgmp] πρεσβύτερος[agmpn] καί[c] οὐδείς[anfsn] δύναμαι[viin3s] μανθάνω[vnaa] ὁ[dafs] ᾠδή[nafs] εἰ[qo] μή[xo] ὁ[dnfp] ἑκατόν[tn] τεσσεράκοντα[tn] τέσσαρες[nnfp] χιλιάς[nnfp] ὁ[dnmp] ἀγοράζω[vpxpnmp] ἀπό[p] ὁ[dgfs] γῆ[ngfs]. **v.4** οὗτος[rdnmp] εἰμί[vipx3p] ὅς[rrnmp] μετά[p] γυνή[ngfp] οὐ[xo] μολύνω[viap3p] παρθένος[nnfp] γάρ[c] εἰμί[vipx3p] οὗτος[rdnmp] εἰμί[vipx3p] ὁ[dnmp] ἀκολουθέω[vppanmp] ὁ[ddns] ἀρνίον[ndns] ὅπου[bo] ἄν[xo] ὑπάγω[vspa3s] οὗτος[rdnmp] ἀγοράζω[viap3p] ἀπό[p] ὁ[dgmp] ἄνθρωπος[ngmp] ἀπαρχή[nnfs] ὁ[ddms] θεός[ndms] καί[c] ὁ[ddns] ἀρνίον[ndns].

6 οὗ. Καὶ εἶδον ἄλλον ἄγγελον πετώμενον ἐν μεσουρανήματι,
ἔχοντα εὐαγγέλιον αἰώνιον, εὐαγγελίσαι τοὺς κατοικοῦντας ἐ-
πὶ τῆς γῆς, καὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν,
7 λέγοντα ἐν φωνῇ μεγάλῃ, Φοβήθητε τὸν Θεὸν, καὶ δότε αὐτῷ
δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ, καὶ προσκυνήσατε
τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ
8 πηγὰς ὑδάτων. Καὶ ἄλλος ἄγγελος ἠκολούθησε λέγων, Ἔ-
πεσεν ἔπεσε Βαβυλὼν ἡ πόλις, ἡ μεγάλη ὅτι ἐκ τοῦ οἴνου τοῦ
9 θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικεν πάντα ἔθνη. Καὶ τρίτος
ἄγγελος ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ, Εἴ τις τὸ
θηρίον προσκυνεῖ καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάρα-
10 γμα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ αὐτὸς
πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ κεκερασμένου
ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ, καὶ βασανισθήσεται
ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ ἐνώπιον τοῦ
11 ἀρνίου, καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν ἀναβαίνει εἰς αἰ-
ῶνας αἰώνων, καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτός
οἱ προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις
12 λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ. ὧδε ὑπομονὴ τῶν
ἁγίων ἐστίν, ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ τὴν
13 πίστιν Ἰησοῦ. Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης

---

v.5 καί[c] ἐν[p] ὁ[ddns] στόμα[ndns] αὐτός[rpgmp] οὐ[xo] εὑρίσκω[viap3s] δόλος[nnms] ἄμωμος[anmpn] γάρ[c] εἰμί[vipx3p] ἐνώπιον[bo] ὁ[dgms] θρόνος[ngms] ὁ[dgms] θεός[ngms]. **v.6** καί[c] ὁράω[viaa1s] ἄλλος[aamsn] ἄγγελος[nams] πέτομαι[vppnams] ἐν[p] μεσουράνημα[ndns] ἔχω[vppaams] εὐαγγέλιον[nans] αἰώνιος[aansn] εὐαγγελίζω[vnaa] ὁ[damp] κατοικέω[vppaamp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] καί[c] πᾶς[aansn] ἔθνος[nans] καί[c] φυλή[nafs] καί[c] γλῶσσα[nafs] καί[c] λαός[nams]. **v.7** λέγω[vppaams] ἐν[p] φωνή[ndfs] μέγας[adfsn] φοβέομαι[vdao2p] ὁ[dams] θεός[nams] καί[c] δίδωμι[vdaa2p] αὐτός[rpdms] δόξα[nafs] ὅτι[c] ἔρχομαι[viaa3s] ὁ[dnfs] ὥρα[nnfs] ὁ[dgfs] κρίσις[ngfs] αὐτός[rpgms] καί[c] προσκυνέω[vdaa2p] ὁ[ddms] ποιέω[vpaadms] ὁ[dams] οὐρανός[nams] καί[c] ὁ[dafs] γῆ[nafs] καί[c] ὁ[dafs] θάλασσα[nafs] καί[c] πηγή[nafp] ὕδωρ[ngnp]. **v.8** καί[c] ἄλλος[anmsn] ἄγγελος[nnms] ἀκολουθέω[viaa3s] λέγω[vppanms] πίπτω[viaa3s] πίπτω[viaa3s] Βαβυλών[nnfs] ὁ[dnfs] πόλις[nnfs] ὅς[dnfs] μέγας[anfsn] ὅτι[c] ἐκ[p] ὁ[dgms] οἶνος[ngms] ὁ[dgms] θυμός[ngms] ὁ[dgfs] πορνεία[ngfs] αὐτός[rpgfs] ποτίζω[vixa3s] πᾶς[aanpn] ἔθνος[nanp]. **v.9** καί[c] τρίτος[anmsn] ἄγγελος[nnms] ἀκολουθέω[viaa3s] αὐτός[rpdmp] λέγω[vppanms] ἐν[p] φωνή[ndfs] μέγας[adfsn] εἰ[qo] τι-σρινμσ ὁ[dans] θηρίον[nans] προσκυνέω[vipa3s] καί[c] ὁ[dafs] εἰκών[nafs] αὐτός[rpgns] καί[c] λαμβάνω[vipa3s] χάραγμα[nans] ἐπί[p] ὁ[dgns] μέτωπον[ngns] αὐτός[rpgms] ἤ[xo] ἐπί[p] ὁ[dafs] χείρ[nafs] αὐτός[rpgms]. **v.10** καί[c] αὐτός[rpnms] πίνω[vifd3s] ἐκ[p] ὁ[dgms] οἶνος[ngms] ὁ[dgms] θυμός[ngms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] κεράννυμι[vpxpgms] ἄκρατος[agmsn] ἐν[p] ὁ[ddns] ποτήριον[ndns] ὁ[dgfs] ὀργή[ngfs] αὐτός[rpgms] καί[c] βασανίζω[vifp3s] ἐν[p] πῦρ[ndns] καί[c] θεῖον[ndns] ἐνώπιον[bo] ὁ[dgmp] ἅγιος[agmpn] ἄγγελος[ngmp] καί[c] ἐνώπιον[bo] ὁ[dgns] ἀρνίον[ngns]. **v.11** καί[c] ὁ[dnms] καπνός[nnms] ὁ[dgms] βασανισμός[ngms] αὐτός[rpgmp] ἀναβαίνω[vipa3s] εἰς[p] αἰών[namp] αἰών[ngmp] καί[c] οὐ[xo] ἔχω[vipa3p] ἀνάπαυσις[nafs] ἡμέρα[ngfs] καί[c] νύξ[ngfs] ὁ[dnmp] προσκυνέω[vppanmp] ὁ[dans] θηρίον[nans] καί[c] ὁ[dafs] εἰκών[nafs] αὐτός[rpgns] καί[c] εἰ[qo] τι-σρινμσ λαμβάνω[vipa3s] ὁ[dans] χάραγμα[nans] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgns]. **v.12** ὧδε[bo] ὑπομονή[nnfs] ὁ[dgmp] ἅγιος[agmpn] εἰμί[vipx3s] ὧδε[bo] ὁ[dnmp] τηρέω[vppanmp] ὁ[dafp] ἐντολή[nafp] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dafs] πίστις[nafs] Ἰησοῦς[ngms].

μοι, Γράψον, Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνῄσκοντες
ἀπ᾽ ἄρτι ναί, λέγει τὸ Πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων
αὐτῶν, τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ᾽ αὐτῶν. Καὶ εἶδον, καὶ 14
ἰδοὺ, νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υι-
ῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν,
καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ. καὶ ἄλλος ἄγγελος ἐξῆλ- 15
θεν ἐκ τοῦ ναοῦ, κράζων ἐν μεγάλῃ φωνῇ τῷ καθημένῳ ἐπὶ τῆς
νεφέλης, Πέμψον τὸ δρέπανόν σου καὶ θέρισον, ὅτι ἦλθε σοι ἡ
ὥρα τοῦ θερίσαι, ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς. καὶ ἔβαλεν 16
ὁ καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν,
καὶ ἐθερίσθη ἡ γῆ. Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ 17
τοῦ ἐν τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. καὶ ἄλλος 18
ἄγγελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ
πυρός, καὶ ἐφώνησε κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ
ὀξὺ, λέγων, Πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ, καὶ τρύγησον
τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς, ὅτι ἤκμασαν αἱ σταφυλαὶ
αὐτῆς. καὶ ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, 19
καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν εἰς τὴν ληνὸν
τοῦ θυμοῦ τοῦ Θεοῦ τὴν μέγαλην. καὶ ἐπατήθη ἡ ληνὸς ἔξω 20
τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν

---

v.13 καί[c] ἀκούω[viaa1s] φωνή[ngfs] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] λέγω[vppagfs] ἐγώ[rpd-s] γράφω[vdaa2s] μακάριος[anmpn] ὁ[dnmp] νεκρός[anmpn] ὁ[dnmp] ἐν[p] κύριος[ndms] ἀποθνῄσκω[vppanmp] ἀπαρτί[bo] ναί[xo] λέγω[vipa3s] ὁ[dnns] πνεῦμα[nnns] ἵνα[c] ἀναπαύω[vsam3p] ἐκ[p] ὁ[dgmp] κόπος[ngmp] αὐτός[rpgmp] ὁ[dnnp] δέ[c] ἔργον[nnnp] αὐτός[rpgmp] ἀκολουθέω[vipa3s] μετά[p] αὐτός[rpgmp]. **v.14** καί[c] ὁράω[viaa1s] καί[c] ἰδού[vdaa2s] νεφέλη[nnfs] λευκός[anfsn] καί[c] ἐπί[p] ὁ[dafs] νεφέλη[nafs] κάθημαι[vppnnms] ὅμοιος[anmsn] υἱός[ndms] ἄνθρωπος[ngms] ἔχω[vppanms] ἐπί[p] ὁ[dgfs] κεφαλή[ngfs] αὐτός[rpgms] στέφανος[nams] χρυσοῦς[aamsn] καί[c] ἐν[p] ὁ[ddfs] χείρ[ndfs] αὐτός[rpgms] δρέπανον[nans] ὀξύς[aansn]. **v.15** καί[c] ἄλλος[anmsn] ἄγγελος[nnms] ἐξέρχομαι[viaa3s] ἐκ[p] ὁ[dgms] ναός[ngms] κράζω[vppanms] ἐν[p] μέγας[adfsn] φωνή[ndfs] ὁ[ddms] κάθημαι[vppndms] ἐπί[p] ὁ[dgfs] νεφέλη[ngfs] πέμπω[vdaa2s] ὁ[dans] δρέπανον[nans] σύ[rpg-s] καί[c] θερίζω[vdaa2s] ὅτι[c] ἔρχομαι[viaa3s] σύ[rpd-s] ὁ[dnfs] ὥρα[nnfs] ὁ[dgms] θερίζω[vnaa] ὅτι[c] ξηραίνω[viap3s] ὁ[dnms] θερισμός[nnms] ὁ[dgfs] γῆ[ngfs]. **v.16** καί[c] βάλλω[viaa3s] ὁ[dnms] κάθημαι[vppnnms] ἐπί[p] ὁ[dafs] νεφέλη[nafs] ὁ[dans] δρέπανον[nans] αὐτός[rpgms] ἐπί[p] ὁ[dafs] γῆ[nafs] καί[c] θερίζω[viap3s] ὁ[dnfs] γῆ[nnfs]. **v.17** καί[c] ἄλλος[anmsn] ἄγγελος[nnms] ἐξέρχομαι[viaa3s] ἐκ[p] ὁ[dgms] ναός[ngms] ὁ[dgms] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] ἔχω[vppanms] καί[c] αὐτός[rpnms] δρέπανον[nans] ὀξύς[aansn]. **v.18** καί[c] ἄλλος[anmsn] ἄγγελος[nnms] ἐξέρχομαι[viaa3s] ἐκ[p] ὁ[dgns] θυσιαστήριον[ngns] ἔχω[vppanms] ἐξουσία[nafs] ἐπί[p] ὁ[dgns] πῦρ[ngns] καί[c] φωνέω[viaa3s] κραυγή[ndfs] μέγας[adfsn] ὁ[ddms] ἔχω[vppadms] ὁ[dans] δρέπανον[nans] ὁ[dans] ὀξύς[aansn] λέγω[vppanms] πέμπω[vdaa2s] σύ[rpg-s] ὁ[dans] δρέπανον[nans] ὁ[dans] ὀξύς[aansn] καί[c] τρυγάω[vdaa2s] ὁ[damp] βότρυς[namp] ὁ[dgfs] ἄμπελος[ngfs] ὁ[dgfs] γῆ[ngfs] ὅτι[c] ἀκμάζω[viaa3p] ὁ[dnfp] σταφυλή[nnfp] αὐτός[rpgfs]. **v.19** καί[c] βάλλω[viaa3s] ὁ[dnms] ἄγγελος[nnms] ὁ[dans] δρέπανον[nans] αὐτός[rpgms] εἰς[p] ὁ[dafs] γῆ[nafs] καί[c] τρυγάω[viaa3s] ὁ[dafs] ἄμπελος[nafs] ὁ[dgfs] γῆ[ngfs] καί[c] βάλλω[viaa3s] εἰς[p] ὁ[dafs] ληνός[nafs] ὁ[dgms] θυμός[ngms] ὁ[dgms] θεός[ngms] ὁ[dafs] μέγας[aafsn].

τῶν ἵππων ἀπὸ σταδίων χιλίων ἑξακοσίων.
15 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστόν,
ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς
2 ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ. Καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην
μεμιγμένην πυρί, καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς
εἰκόνος αὐτοῦ καὶ ἐκ τοῦ χαράγματος ἀυτοῦ, ἐκ τοῦ ἀριθμοῦ
τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην,
3 ἔχοντας κιθάρας τοῦ Θεοῦ, καὶ ᾄδουσι τὴν ᾠδὴν Μωσέως τοῦ
δούλου τοῦ θεοῦ καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου λέγοντες Μεγάλα καὶ
θαυμαστὰ τὰ ἔργα σου κύριε ὁ θεὸς ὁ παντοκράτωρ δίκαιαι καὶ
4 ἀληθιναὶ αἱ ὁδοί σου ὁ βασιλεὺς τῶν ἁγίων. τίς οὐ μὴ φοβη-
θῇ σε, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου· ὅτι μόνος ὅσιος, ὅτι
πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, ὅτι
5 τὰ δικαιώματά σου ἐφανερώθησαν. Καὶ μετὰ ταῦτα εἶδον, καὶ
ἰδού, ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ,
6 καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ πληγὰς ἐκ τοῦ
ναοῦ, ἐνδεδυμένοι λίνον καθαρὸν καὶ λαμπρὸν, καὶ περιεζω-
7 σμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς, καὶ ἓν ἐκ τῶν τεσσάρων
ζώων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας
τοῦ θυμοῦ τοῦ Θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
8 καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ Θεοῦ, καὶ ἐκ τῆς

---

v.20 καί[c] πατέω[viap3s] ὁ[dnfs] ληνός[nnfs] ἔξω[bo] ὁ[dgfs] πόλις[ngfs] καί[c] ἐξέρχομαι[viaa3s] αἷμα[nnns] ἐκ[p] ὁ[dgfs] ληνός[ngfs] ἄχρι[p] ὁ[dgmp] χαλινός[ngmp] ὁ[dgmp] ἵππος[ngmp] ἀπό[p] στάδιος[ngnp] χίλιοι[ngmp] ἑξακόσιοι[ngmp]. **15. v.1** καί[c] ὁράω[viaa1s] ἄλλος[aansn] σημεῖον[nans] ἐν[p] ὁ[ddms] οὐρανός[ndms] μέγας[aansn] καί[c] θαυμαστός[aansn] ἄγγελος[namp] ἑπτά[tn] ἔχω[vppaamp] πληγή[nafp] ἑπτά[tn] ὁ[dafp] ἔσχατος[aafpn] ὅτι[c] ἐν[p] αὐτός[rpdfp] τελέω[viap3s] ὁ[dnms] θυμός[nnms] ὁ[dgms] θεός[ngms]. **v.2** καί[c] ὁράω[viaa1s] ὡς[bo] θάλασσα[nafs] ὑάλινος[aafsn] μίγνυμι[vpxpafs] πῦρ[ndns] καί[c] ὁ[damp] νικάω[vppaamp] ἐκ[p] ὁ[dgns] θηρίον[ngns] καί[c] ἐκ[p] ὁ[dgfs] εἰκών[ngfs] αὐτός[rpgns] καί[c] ἐκ[p] ὁ[dgns] χάραγμα[ngns] αὐτός[rpgns] ἐκ[p] ὁ[dgms] ἀριθμός[ngms] ὁ[dgns] ὄνομα[ngns] αὐτός[rpgns] ἵστημι[vpxaamp] ἐπί[p] ὁ[dafs] θάλασσα[nafs] ὁ[dafs] ὑάλινος[aafsn] ἔχω[vppaamp] κιθάρα[nafp] ὁ[dgms] θεός[ngms]. **v.3** καί[c] ᾄδω[vipa3p] ὁ[dafs] ᾠδή[nafs] Μωϋσῆς[ngms] ὁ[dgms] δοῦλος[ngms] ὁ[dgms] θεός[ngms] καί[c] ὁ[dafs] ᾠδή[nafs] ὁ[dgns] ἀρνίον[ngns] λέγω[vppanmp] μέγας[annpn] καί[c] θαυμαστός[annpn] ὁ[dnnp] ἔργον[nnnp] σύ[rpg-s] κύριος[nvms] ὁ[dnms] θεός[nnms] ὁ[dnms] παντοκράτωρ[nnms] δίκαιος[anfpn] καί[c] ἀληθινός[anfpn] ὁ[dnfp] ὁδός[nnfp] σύ[rpg-s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] ἅγιος[agmpn]. **v.4** τίς[rqnms] οὐ[xo] μή[xo] φοβέομαι[vsao3s] σύ[rpa-s] κύριος[nvms] καί[c] δοξάζω[vsaa3s] ὁ[dans] ὄνομα[nans] σύ[rpg-s] ὅτι[c] μόνος[anmsn] ὅσιος[anmsn] ὅτι[c] πᾶς[annpn] ὁ[dnnp] ἔθνος[nnnp] ἥκω[vifa3p] καί[c] προσκυνέω[vifa3p] ἐνώπιον[bo] σύ[rpg-s] ὅτι[c] ὁ[dnnp] δικαίωμα[nnnp] σύ[rpg-s] φανερόω[viap3p]. **v.5** καί[c] μετά[p] οὗτος[rdanp] ὁράω[viaa1s] καί[c] ἰδού[vdaa2s] ἀνοίγω[viap3s] ὁ[dnms] ναός[nnms] ὁ[dgfs] σκηνή[ngfs] ὁ[dgns] μαρτύριον[ngns] ἐν[p] ὁ[ddms] οὐρανός[ndms]. **v.6** καί[c] ἐξέρχομαι[viaa3p] ὁ[dnmp] ἑπτά[tn] ἄγγελος[nnmp] ἔχω[vppanmp] ὁ[dafp] ἑπτά[tn] πληγή[nafp] ἐκ[p] ὁ[dgms] ναός[ngms] ἐνδύω[vpxmnmp] λίνον[nans] καθαρός[aansn] καί[c] λαμπρός[aansn] καί[c] περιζώννυμι[vpxpnmp] περί[p] ὁ[danp] στῆθος[nanp] ζώνη[nafp] χρυσοῦς[aafpn]. **v.7** καί[c] εἷς[nnns] ἐκ[p] ὁ[dgnp] τέσσαρες[ngnp] ζῷον[ngnp] δίδωμι[viaa3s] ὁ[ddmp] ἑπτά[tn] ἄγγελος[ndmp] ἑπτά[tn] φιάλη[nafp] χρυσοῦς[aafpn] γέμω[vppaafp] ὁ[dgms] θυμός[ngms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ζάω[vppagms] εἰς[p] ὁ[damp] αἰών[namp] ὁ[dgmp] αἰών[ngmp].

δυνάμεως αὐτοῦ, καὶ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν,
ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων.

Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ, λεγούσης τοῖς ἑ- **16**
πτὰ ἀγγέλοις, Ὑπάγετε, καὶ ἐκχέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ
Θεοῦ εἰς τὴν γῆν. Καὶ ἀπῆλθεν ὁ πρῶτος, καὶ ἐξέχεε τὴν φιά- 2
λην αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν
εἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ
τοὺς τῇ εἰκόνι αὐτοῦ προσκυνοῦντας. Καὶ ὁ δεύτερος ἄγγελος 3
ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν, καὶ ἐγένετο αἷμα ὡς
νεκροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ. Καὶ 4
ὁ τρίτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς
καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων, καὶ ἐγένετο αἷμα. καὶ ἤκουσα 5
τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος, Δίκαιος, Κύριε, εἶ, ὁ ὢν καὶ
ὁ ἦν, καὶ ὁ ἐσόμενος ὅτι ταῦτα ἔκρινας, ὅτι αἷμα ἁγίων καὶ 6
προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς έδωκας πιεῖν, ἄξιοί γάρ
εἰσι. καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου λέγοντος, Ναί, 7
Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις
σου. Καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν 8
ἥλιον, καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀνθρώπους ἐν πυρί.
καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα, καὶ ἐβλασφή- 9
μησαν τὸ ὄνομα τοῦ Θεοῦ τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς

---

v.8 καί[c] γεμίζω[viap3s] ὁ[dnms] ναός[nnms] καπνός[ngms] ἐκ[p] ὁ[dgfs] δόξα[ngfs] ὁ[dgms] θεός[ngms] καί[c] ἐκ[p] ὁ[dgfs] δύναμις[ngfs] αὐτός[rpgms] καί[c] οὐδείς[anfsn] δύναμαι[viin3s] εἰσέρχομαι[vnaa] εἰς[p] ὁ[dams] ναός[nams] ἄχρι[p] τελέω[vsap3p] ὁ[dnfp] ἑπτά[tn] πληγή[nnfp] ὁ[dgmp] ἑπτά[tn] ἄγγελος[ngmp]. **16. v.1** καί[c] ἀκούω[viaa1s] φωνή[ngfs] μέγας[agfsn] ἐκ[p] ὁ[dgms] ναός[ngms] λέγω[vppagfs] ὁ[ddmp] ἑπτά[tn] ἄγγελος[ndmp] ὑπάγω[vdpa2p] καί[c] ἐκχέω[vdaa2p] ὁ[dafp] φιάλη[nafp] ὁ[dgms] θυμός[ngms] ὁ[dgms] θεός[ngms] εἰς[p] ὁ[dafs] γῆ[nafs]. **v.2** καί[c] ἀπέρχομαι[viaa3s] ὁ[dnms] πρῶτος[anmsn] καί[c] ἐκχέω[viaa3s] ὁ[dafs] φιάλη[nafs] αὐτός[rpgms] ἐπί[p] ὁ[dafs] γῆ[nafs] καί[c] γίνομαι[viad3s] ἕλκος[nnns] κακός[annsn] καί[c] πονηρός[annsn] εἰς[p] ὁ[damp] ἄνθρωπος[namp] ὁ[damp] ἔχω[vppaamp] ὁ[dans] χάραγμα[nans] ὁ[dgns] θηρίον[ngns] καί[c] ὁ[damp] ὁ[ddfs] εἰκών[ndfs] αὐτός[rpgns] προσκυνέω[vppaamp]. **v.3** καί[c] ὁ[dnms] δεύτερος[anmsn] ἄγγελος[nnms] ἐκχέω[viaa3s] ὁ[dafs] φιάλη[nafs] αὐτός[rpgms] εἰς[p] ὁ[dafs] θάλασσα[nafs] καί[c] γίνομαι[viad3s] αἷμα[nnns] ὡς[bo] νεκρός[agmsn] καί[c] πᾶς[anfsn] ψυχή[nnfs] ζάω[vppanfs] ἀποθνῄσκω[viaa3s] ἐν[p] ὁ[ddfs] θάλασσα[ndfs]. **v.4** καί[c] ὁ[dnms] τρίτος[anmsn] ἄγγελος[nnms] ἐκχέω[viaa3s] ὁ[dafs] φιάλη[nafs] αὐτός[rpgms] εἰς[p] ὁ[damp] ποταμός[namp] καί[c] εἰς[p] ὁ[dafp] πηγή[nafp] ὁ[dgnp] ὕδωρ[ngnp] καί[c] γίνομαι[viad3s] αἷμα[nnns]. **v.5** καί[c] ἀκούω[viaa1s] ὁ[dgms] ἄγγελος[ngms] ὁ[dgnp] ὕδωρ[ngnp] λέγω[vppagms] δίκαιος[anmsn] κύριος[nvms] εἰμί[vipx2s] ὁ[dnms] εἰμί[vppxnms] καί[c] ὁ[dnms] εἰμί[viix3s] καί[c] ὁ[dnms] ὅσιος[vpfxnms] ὅτι[c] οὗτος[rdanp] κρίνω[viaa2s]. **v.6** ὅτι[c] αἷμα[nans] ἅγιος[agmpn] καί[c] προφήτης[ngmp] ἐκχέω[viaa3p] καί[c] αἷμα[nans] αὐτός[rpdmp] δίδωμι[viaa2s] πίνω[vnaa] ἄξιος[anmpn] γάρ[c] εἰμί[vipx3p]. **v.7** καί[c] ἀκούω[viaa1s] ἄλλος[agmsn] ἐκ[p] ὁ[dgns] θυσιαστήριον[ngns] λέγω[vppagms] ναί[xo] κύριος[nvms] ὁ[dnms] θεός[nnms] ὁ[dnms] παντοκράτωρ[nnms] ἀληθινός[anfpn] καί[c] δίκαιος[anfpn] ὁ[dnfp] κρίσις[nnfp] σύ[rpg-s]. **v.8** καί[c] ὁ[dnms] τέταρτος[anmsn] ἄγγελος[nnms] ἐκχέω[viaa3s] ὁ[dafs] φιάλη[nafs] αὐτός[rpgms] ἐπί[p] ὁ[dams] ἥλιος[nams] καί[c] δίδωμι[viap3s] αὐτός[rpdms] καυματίζω[vnaa] ὁ[damp] ἄνθρωπος[namp] ἐν[p] πῦρ[ndns].

10 ταύτας, καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν. Καὶ ὁ πέμπτος
ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου,
καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη, καὶ ἐμασσῶντο τὰς
11 γλώσσας αὐτῶν ἐκ τοῦ πόνου, καὶ ἐβλασφήμησαν τὸν Θεὸν
τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν,
12 καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν. Καὶ ὁ ἕκτος ἄγγελος
ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν τὸν Εὐφρά-
την, καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν
13 βασιλέων τῶν ἀπὸ ἀνατολῶν ἡλίου. καὶ εἶδον ἐκ τοῦ στόμα-
τος τοῦ δράκοντος καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ ἐκ τοῦ
στόματος τοῦ ψευδοπροφήτου, πνεύματα τρία ἀκάθαρτα ὅμοια
14 βατράχοις, εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα σημεῖα, ἃ
ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τῆς οἰκουμένης ὅ-
λης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον τῆς ἡμέρας ἐκείνης
15 τῆς μεγάλης τοῦ Θεοῦ τοῦ παντοκράτορος. Ἰδού, ἔρχομαι ὡς
κλέπτης. μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ,
ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ.
16 καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον Ἑβραϊστὶ
17 Ἁρμαγεδδών. Καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
εἰς τὸν ἀέρα, καὶ ἐξῆλθε φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐ-

---

v.9 καί[c] καυματίζω[viap3p] ὁ[dnmp] ἄνθρωπος[nnmp] καῦμα[nans] μέγας[aansn] καί[c] βλασφημέω[viaa3p] ὁ[dans] ὄνομα[nans] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ἔχω[vppagms] ἐξουσία[nafs] ἐπί[p] ὁ[dafp] πληγή[nafp] οὗτος[rdafp] καί[c] οὐ[xo] μετανοέω[viaa3p] δίδωμι[vnaa] αὐτός[rpdms] δόξα[nafs]. **v.10** καί[c] ὁ[dnms] πέμπτος[anmsn] ἄγγελος[nnms] ἐκχέω[viaa3s] ὁ[dafs] φιάλη[nafs] αὐτός[rpgms] ἐπί[p] ὁ[dams] θρόνος[nams] ὁ[dgns] θηρίον[ngns] καί[c] γίνομαι[viad3s] ὁ[dnfs] βασιλεία[nnfs] αὐτός[rpgms] σκοτόω[vpxpnfs] καί[c] μασάομαι[viin3p] ὁ[dafp] γλῶσσα[nafp] αὐτός[rpgmp] ἐκ[p] ὁ[dgms] πόνος[ngms]. **v.11** καί[c] βλασφημέω[viaa3p] ὁ[dams] θεός[nams] ὁ[dgms] οὐρανός[ngms] ἐκ[p] ὁ[dgmp] πόνος[ngmp] αὐτός[rpgmp] καί[c] ἐκ[p] ὁ[dgnp] ἕλκος[ngnp] αὐτός[rpgmp] καί[c] οὐ[xo] μετανοέω[viaa3p] ἐκ[p] ὁ[dgnp] ἔργον[ngnp] αὐτός[rpgmp]. **v.12** καί[c] ὁ[dnms] ἕκτος[anmsn] ἄγγελος[nnms] ἐκχέω[viaa3s] ὁ[dafs] φιάλη[nafs] αὐτός[rpgms] ἐπί[p] ὁ[dams] ποταμός[nams] ὁ[dams] μέγας[aamsn] ὁ[dams] Εὐφράτης[nams] καί[c] ξηραίνω[viap3s] ὁ[dnns] ὕδωρ[nnns] αὐτός[rpgms] ἵνα[c] ἑτοιμάζω[vsap3s] ὁ[dnfs] ὁδός[nnfs] ὁ[dgmp] βασιλεύς[ngmp] ὁ[dgmp] ἀπό[p] ἀνατολή[ngfp] ἥλιος[ngms]. **v.13** καί[c] ὁράω[viaa1s] ἐκ[p] ὁ[dgns] στόμα[ngns] ὁ[dgms] δράκων[ngms] καί[c] ἐκ[p] ὁ[dgns] στόμα[ngns] ὁ[dgns] θηρίον[ngns] καί[c] ἐκ[p] ὁ[dgns] στόμα[ngns] ὁ[dgms] ψευδοπροφήτης[ngms] πνεῦμα[nanp] τρεῖς[nanp] ἀκάθαρτος[aanpn] ὅμοιος[aanpn] βάτραχος[ndmp]. **v.14** εἰμί[vipx3p] γάρ[c] πνεῦμα[nnnp] δαίμων[ngmp] ποιέω[vppannp] σημεῖον[nanp] ὅς[rrnnp] ἐκπορεύομαι[vipn3s] ἐπί[p] ὁ[damp] βασιλεύς[namp] ὁ[dgfs] γῆ[ngfs] καί[c] ὁ[dgfs] οἰκουμένη[ngfs] ὅλος[agfsn] συνάγω[vnaa] αὐτός[rpamp] εἰς[p] ὁ[dams] πόλεμος[nams] ὁ[dgfs] ἡμέρα[ngfs] ἐκεῖνος[rdgfs] ὁ[dgfs] μέγας[agfsn] ὁ[dgms] θεός[ngms] ὁ[dgms] παντοκράτωρ[ngms]. **v.15** ἰδού[vdaa2s] ἔρχομαι[vipn1s] ὡς[bo] κλέπτης[nnms] μακάριος[anmsn] ὁ[dnms] γρηγορέω[vppanms] καί[c] τηρέω[vppanms] ὁ[danp] ἱμάτιον[nanp] αὐτός[rpgms] ἵνα[c] μή[xo] γυμνός[anmsn] περιπατέω[vspa3s] καί[c] βλέπω[vspa3p] ὁ[dafs] ἀσχημοσύνη[nafs] αὐτός[rpgms]. **v.16** καί[c] συνάγω[viaa3s] αὐτός[rpamp] εἰς[p] ὁ[dams] τόπος[nams] ὁ[dams] καλέω[vpppams] Ἑβραϊστί[bo] Ἁρμαγεδών[nnns].

ρανοῦ, ἀπὸ τοῦ θρόνου λέγουσα, Γέγονε. καὶ ἐγένοντο φωναὶ 18
καὶ βρονταί καὶ ἀστραπαὶ, καὶ σεισμὸς ἐγένετο μέγας, οἷος οὐκ
ἐγένετο ἀφ᾽ οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος
σεισμὸς οὕτω μέγας. καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία 19
μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον, καὶ Βαβυλὼν ἡ μεγάλη
ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ, δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου
τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ. καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη 20
οὐχ εὑρέθησαν. καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία, καταβαί- 21
νει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐβλασφήμησαν
οἱ ἄνθρωποι τὸν Θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης, ὅτι μεγάλη
ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα.

Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ **17**
φιάλας, καὶ ἐλάλησε μετ᾽ ἐμοῦ, λέγων μοι, Δεῦρο, δείξω σοι τὸ
κρίμα τῆς πόρνης τῆς μεγάλης, τῆς καθημένης ἐπὶ τῶν ὑδάτων
τῶν πολλῶν. μεθ᾽ ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐ- 2
μεθύσθησαν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς οἱ κατοικοῦντες
τὴν γῆν. καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν Πνεύματι, καὶ εἶ- 3
δον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων
βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα. καὶ ἡ γυ- 4
νὴ ἦν περιβεβλημένη πορφύρᾳ καὶ κόκκινῳ, καὶ κεχρυσωμένη
χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ἔχουσα χρυσοῦν ποτή-
ριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων καὶ ἀκάθαρτητος

---

v.17 καί[c] ὁ[dnms] ἕβδομος[anmsn] ἄγγελος[nnms] ἐκχέω[viaa3s] ὁ[dafs] φιάλη[nafs] αὐτός[rpgms] εἰς[p] ὁ[dams] ἀήρ[nams] καί[c] ἐξέρχομαι[viaa3s] φωνή[nnfs] μέγας[anfsn] ἀπό[p] ὁ[dgms] ναός[ngms] ὁ[dgms] οὐρανός[ngms] ἀπό[p] ὁ[dgms] θρόνος[ngms] λέγω[vppanfs] γίνομαι[vixa3s]. **v.18** καί[c] γίνομαι[viad3p] φωνή[nnfp] καί[c] βροντή[nnfp] καί[c] ἀστραπή[nnfp] καί[c] σεισμός[nnms] γίνομαι[viad3s] μέγας[anmsn] οἷος[rcnms] οὐ[xo] γίνομαι[viad3s] ἀπό[p] ὅς[rrgms] ὁ[dnmp] ἄνθρωπος[nnmp] γίνομαι[viad3p] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] τηλικοῦτος[rdnms] σεισμός[nnms] οὕτω[bo] μέγας[anmsn]. **v.19** καί[c] γίνομαι[viad3s] ὁ[dnfs] πόλις[nnfs] ὁ[dnfs] μέγας[anfsn] εἰς[p] τρεῖς[nanp] μέρος[nanp] καί[c] ὁ[dnfp] πόλις[nnfp] ὁ[dgnp] ἔθνος[ngnp] πίπτω[viaa3p] καί[c] Βαβυλών[nnfs] ὁ[dnfs] μέγας[anfsn] μιμνῄσκομαι[viap3s] ἐνώπιον[bo] ὁ[dgms] θεός[ngms] δίδωμι[vnaa] αὐτός[rpdfs] ὁ[dans] ποτήριον[nans] ὁ[dgms] οἶνος[ngms] ὁ[dgms] θυμός[ngms] ὁ[dgfs] ὀργή[ngfs] αὐτός[rpgms]. **v.20** καί[c] πᾶς[anfsn] νῆσος[nnfs] φεύγω[viaa3s] καί[c] ὄρος[nnnp] οὐ[xo] εὑρίσκω[viap3p]. **v.21** καί[c] χάλαζα[nnfs] μέγας[anfsn] ὡς[bo] ταλαντιαῖος[anfsn] καταβαίνω[vipa3s] ἐκ[p] ὁ[dgms] οὐρανός[ngms] ἐπί[p] ὁ[damp] ἄνθρωπος[namp] καί[c] βλασφημέω[viaa3p] ὁ[dnmp] ἄνθρωπος[nnmp] ὁ[dams] θεός[nams] ἐκ[p] ὁ[dgfs] πληγή[ngfs] ὁ[dgfs] χάλαζα[ngfs] ὅτι[c] μέγας[anfsn] εἰμί[vipx3s] ὁ[dnfs] πληγή[nnfs] αὐτός[rpgfs] σφόδρα[bo]. **17. v.1** καί[c] ἔρχομαι[viaa3s] εἷς[nnms] ἐκ[p] ὁ[dgmp] ἑπτά[tn] ἄγγελος[ngmp] ὁ[dgmp] ἔχω[vppagmp] ὁ[dafp] ἑπτά[tn] φιάλη[nafp] καί[c] λαλέω[viaa3s] μετά[p] ἐγώ[rpg-s] λέγω[vppanms] ἐγώ[rpd-s] δεῦρο[vdvx2s] δείκνυμι[vifa1s] σύ[rpd-s] ὁ[dans] κρίμα[nans] ὁ[dgfs] πόρνη[ngfs] ὁ[dgfs] μέγας[agfsn] ὁ[dgfs] κάθημαι[vppngfs] ἐπί[p] ὁ[dgnp] ὕδωρ[ngnp] ὁ[dgnp] πολύς[agnpn]. **v.2** μετά[p] ὅς[rrgfs] πορνεύω[viaa3p] ὁ[dnmp] βασιλεύς[nnmp] ὁ[dgfs] γῆ[ngfs] καί[c] μεθύσκω[viap3p] ἐκ[p] ὁ[dgms] οἶνος[ngms] ὁ[dgfs] πορνεία[ngfs] αὐτός[rpgfs] ὁ[dnmp] κατοικέω[vppanmp] ὁ[dafs] γῆ[nafs]. **v.3** καί[c] ἀποφέρω[viaa3s] ἐγώ[rpa-s] εἰς[p] ἔρημος[aamsn] ἐν[p] πνεῦμα[ndns] καί[c] ὁράω[viaa1s] γυνή[nafs] κάθημαι[vppnafs] ἐπί[p] θηρίον[nans] κόκκινος[aansn] γέμω[vppaans] ὄνομα[ngnp] βλασφημία[ngfs] ἔχω[vppaans] κεφαλή[nafp] ἑπτά[tn] καί[c] κέρας[nanp] δέκα[tn].

5 πορνείας αὐτῆς, καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμέ-
νον, Μυστήριον, Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ
6 τῶν βδελυγμάτων τῆς γῆς. καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν
ἐκ τοῦ αἵματος τῶν ἁγίων, καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων
7 Ἰησοῦ. καὶ ἐθαύμασα ἰδὼν αὐτὴν θαῦμα μέγα. καὶ εἶπέ μοι
ὁ ἄγγελος, Διατί ἐθαύμασας· ἐγὼ σοι ἐρῶ τὸ μυστήριον τῆς γυ-
ναικὸς, καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτήν, τοῦ ἔχοντος τὰς
8 ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα. τὸ θηρίον, ὃ εἶδες, ἦν,
καὶ οὐκ ἔστι, καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ εἰς
ἀπώλειαν ὑπάγειν, καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς
γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς, ἀπὸ
καταβολῆς κόσμου, βλεπόντες τὸ θηρίον ὅ, τι ἦν, καὶ οὐκ ἔστι,
9 καίπερ ἔστιν. ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν. αἱ ἑπτὰ κεφαλαὶ
10 ὄρη εἰσίν ἑπτὰ ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν. καὶ βασιλεῖς
ἑπτά εἰσιν οἱ πέντε ἔπεσαν καὶ ὁ εἷς ἔστιν ὁ ἄλλος οὔπω ἦλθεν
11 καὶ ὅταν ἔλθῃ ὀλίγον αὐτὸν δεῖ μεῖναι. καὶ τὸ θηρίον ὃ ἦν,
καὶ οὐκ ἔστι, καὶ αὐτὸς ὄγδοός ἐστι, καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ
12 εἰς ἀπώλειαν ὑπάγει. καὶ τὰ δέκα κέρατα, ἃ εἶδες, δέκα βα-
σιλεῖς εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς
13 βασιλεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου. οὗτοι μίαν

---

v.4 καί[c] ὁ[dnfs] γυνή[nnfs] εἰμί[viix3s] περιβάλλω[vpxpnfs] πορφύρα[ndfs] καί[c] κόκκινος[adnsn] καί[c] χρυσόω[vpxpnfs] χρυσός[ndms] καί[c] λίθος[ndms] τίμιος[admsn] καί[c] μαργαρίτης[ndmp] ἔχω[vppanfs] χρυσοῦς[aansn] ποτήριον[nans] ἐν[p] ὁ[ddfs] χείρ[ndfs] αὐτός[rpgfs] γέμω[vppaans] βδέλυγμα[ngnp] καί[c] ἀκαθάρτης[ngfs] πορνεία[ngfs] αὐτός[rpgfs]. **v.5** καί[c] ἐπί[p] ὁ[dans] μέτωπον[nans] αὐτός[rpgfs] ὄνομα[nnns] γράφω[vpxpnns] μυστήριον[nnns] Βαβυλών[nnfs] ὁ[dnfs] μέγας[anfsn] ὁ[dnfs] μήτηρ[nnfs] ὁ[dgfp] πόρνη[ngfp] καί[c] ὁ[dgnp] βδέλυγμα[ngnp] ὁ[dgfs] γῆ[ngfs]. **v.6** καί[c] ὁράω[viaa1s] ὁ[dafs] γυνή[nafs] μεθύω[vppaafs] ἐκ[p] ὁ[dgns] αἷμα[ngns] ὁ[dgmp] ἅγιος[agmpn] καί[c] ἐκ[p] ὁ[dgns] αἷμα[ngns] ὁ[dgmp] μάρτυς[ngmp] Ἰησοῦς[ngms] καί[c] θαυμάζω[viaa1s] ὁράω[vpaanms] αὐτός[rpafs] θαῦμα[nans] μέγας[aansn]. **v.7** καί[c] λέγω[viaa3s] ἐγώ[rpd-s] ὁ[dnms] ἄγγελος[nnms] διά&τίς[xo] θαυμάζω[viaa2s] ἐγώ[rpn-s] σύ[rpd-s] λέγω[vifa1s] ὁ[dans] μυστήριον[nans] ὁ[dgfs] γυνή[ngfs] καί[c] ὁ[dgns] θηρίον[ngns] ὁ[dgns] βαστάζω[vppagns] αὐτός[rpafs] ὁ[dgns] ἔχω[vppagns] ὁ[dafp] ἑπτά[tn] κεφαλή[nafp] καί[c] ὁ[danp] δέκα[tn] κέρας[nanp]. **v.8** ὁ[dnns] θηρίον[nnns] ὅς[rrans] ὁράω[viaa2s] εἰμί[viix3s] καί[c] οὐ[xo] εἰμί[vipx3s] καί[c] μέλλω[vipa3s] ἀναβαίνω[vnpa] ἐκ[p] ὁ[dgfs] ἄβυσσος[ngfs] καί[c] εἰς[p] ἀπώλεια[nafs] ὑπάγω[vnpa] καί[c] θαυμάζω[vifd3p] ὁ[dnmp] κατοικέω[vppanmp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ὅς[rrgmp] οὐ[xo] γράφω[vixp3s] ὁ[dnnp] ὄνομα[nnnp] ἐπί[p] ὁ[dans] βιβλίον[nans] ὁ[dgfs] ζωή[ngfs] ἀπό[p] καταβολή[ngfs] κόσμος[ngms] βλέπω[vppanmp] ὁ[dans] θηρίον[nans] ὅς[rrnns] τίς[rinns] εἰμί[viix3s] καί[c] οὐ[xo] εἰμί[vipx3s] καίπερ[c] εἰμί[vipx3s]. **v.9** ὧδε[bo] ὁ[dnms] νοῦς[nnms] ὁ[dnms] ἔχω[vppanms] σοφία[nafs] ὁ[dnfp] ἑπτά[tn] κεφαλή[nnfp] ὄρος[nnnp] εἰμί[vipx3p] ἑπτά[tn] ὅπου[bo] ὁ[dnfs] γυνή[nnfs] κάθημαι[vipn3s] ἐπί[p] αὐτός[rpgnp]. **v.10** καί[c] βασιλεύς[nnmp] ἑπτά[tn] εἰμί[vipx3p] ὁ[dnmp] πέντε[tn] πίπτω[viaa3p] καί[c] ὁ[dnms] εἷς[nnms] εἰμί[vipx3s] ὁ[dnms] ἄλλος[anmsn] οὔπω[bo] ἔρχομαι[viaa3s] καί[c] ὅταν[c] ἔρχομαι[vsaa3s] ὀλίγος[bo] αὐτός[rpams] δεῖ[vipq3s] μένω[vnaa]. **v.11** καί[c] ὁ[dnns] θηρίον[nnns] ὅς[rrnns] εἰμί[viix3s] καί[c] οὐ[xo] εἰμί[vipx3s] καί[c] αὐτός[rpnms] ὄγδοος[anmsn] εἰμί[vipx3s] καί[c] ἐκ[p] ὁ[dgmp] ἑπτά[tn] εἰμί[vipx3s] καί[c] εἰς[p] ἀπώλεια[nafs] ὑπάγω[vipa3s]. **v.12** καί[c] ὁ[dnnp] δέκα[tn] κέρας[nnnp] ὅς[rranp] ὁράω[viaa2s] δέκα[tn] βασιλεύς[nnmp] εἰμί[vipx3p] ὅστις[rrnmp] βασιλεία[nafs] οὔπω[bo] λαμβάνω[viaa3p] ἀλλά[c] ἐξουσία[nafs] ὡς[bo] βασιλεύς[nnmp] εἷς[nafs] ὥρα[nafs] λαμβάνω[vipa3p] μετά[p] ὁ[dgns] θηρίον[ngns].

γνώμην ἔχουσι, καὶ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν ἑαυτῶν τῷ
θηρίῳ διαδιδώσουσιν. οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι, 14
καὶ τὸ ἀρνίον νικήσει αὐτούς, ὅτι Κύριος κυρίων ἐστὶ καὶ βασι-
λεὺς βασιλέων, καὶ οἱ μετ᾽ αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί.
καὶ λέγει μοι, Τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ 15
ὄχλοι εἰσὶ, καὶ ἔθνη καὶ γλῶσσαι. καὶ τὰ δέκα κέρατα, ἃ εἶδες 16
ἐπὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην, καὶ ἠρημωμένην
ποιήσουσιν αὐτὴν καὶ γυμνήν, καὶ τὰς σάρκας αὐτῆς φάγον-
ται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί. ὁ γὰρ Θεὸς ἔδωκεν 17
εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι
μίαν γνώμην, καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι
τελεσθῇ τὰ ῥήματά τοῦ Θεοῦ. καὶ ἡ γυνὴ, ἣν εἶδες, ἔστιν ἡ 18
πόλις ἡ μεγάλη ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.
Καὶ μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ **18**
οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην, καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς
δόξης αὐτοῦ. καὶ ἔκραξεν ἐν ἰσχύϊ, φωνῇ μεγάλῃ λέγων, Ἔ- 2
πεσεν ἔπεσε Βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον
δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυ-
λακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου. ὅτι ἐκ τοῦ 3
οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πέπωκε πάντα τὰ ἔθνη,
καὶ οἱ βασιλεῖς τῆς γῆς μετ᾽ αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμπο-

---

v.13 οὗτος^{rdnmp} εἷς^{nafs} γνώμη^{nafs} ἔχω^{vipa3p} καί^{c} ὁ^{dafs} δύναμις^{nafs} καί^{c} ὁ^{dafs} ἐξουσία^{nafs} ἑαυτοῦ^{rxgmp} ὁ^{ddns} θηρίον^{ndns} διαδίδωμι^{vipa3p}. **v.14** οὗτος^{rdnmp} μετά^{p} ὁ^{dgns} ἀρνίον^{ngns} πολεμέω^{vifa3p} καί^{c} ὁ^{dnns} ἀρνίον^{nnns} νικάω^{vifa3s} αὐτός^{rpamp} ὅτι^{c} κύριος^{nnms} κύριος^{ngmp} εἰμί^{vipx3s} καί^{c} βασιλεύς^{nnms} βασιλεύς^{ngmp} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms} κλητός^{anmpn} καί^{c} ἐκλεκτός^{anmpn} καί^{c} πιστός^{anfpn}. **v.15** καί^{c} λέγω^{vipa3s} ἐγώ$^{rpd-s}$ ὁ^{dnnp} ὕδωρ^{nnnp} ὅς^{rranp} ὁράω^{viaa2s} ὅς^{bo} ὁ^{dnfs} πόρνη^{nnfs} κάθημαι^{vipn3s} λαός^{nnmp} καί^{c} ὄχλος^{nnmp} εἰμί^{vipx3p} καί^{c} ἔθνος^{nnnp} καί^{c} γλῶσσα^{nnfp}. **v.16** καί^{c} ὁ^{dnnp} δέκα^{tn} κέρας^{nnnp} ὅς^{rranp} ὁράω^{viaa2s} ἐπί^{p} ὁ^{dans} θηρίον^{nans} οὗτος^{rdnmp} μισέω^{vifa3p} ὁ^{dafs} πόρνη^{nafs} καί^{c} ἐρημόω^{vpxpafs} ποιέω^{vifa3p} αὐτός^{rpafs} καί^{c} γυμνός^{aafsn} καί^{c} ὁ^{dafp} σάρξ^{nafp} αὐτός^{rpgfs} ἐσθίω^{vifd3p} καί^{c} αὐτός^{rpafs} κατακαίω^{vifa3p} ἐν^{p} πῦρ^{ndns}. **v.17** ὁ^{dnms} γάρ^{c} θεός^{nnms} δίδωμι^{viaa3s} εἰς^{p} ὁ^{dafp} καρδία^{nafp} αὐτός^{rpgmp} ποιέω^{vnaa} ὁ^{dafs} γνώμη^{nafs} αὐτός^{rpgms} καί^{c} ποιέω^{vnaa} εἷς^{nafs} γνώμη^{nafs} καί^{c} δίδωμι^{vnaa} ὁ^{dafs} βασιλεία^{nafs} αὐτός^{rpgmp} ὁ^{ddns} θηρίον^{ndns} ἄχρι^{p} τελέω^{vsap3s} ὁ^{dnnp} ῥῆμα^{nnnp} ὁ^{dgms} θεός^{ngms}. **v.18** καί^{c} ὁ^{dnfs} γυνή^{nnfs} ὅς^{rrafs} ὁράω^{viaa2s} εἰμί^{vipx3s} ὁ^{dnfs} πόλις^{nnfs} ὁ^{dnfs} μέγας^{anfsn} ὁ^{dnfs} ἔχω^{vppanfs} βασιλεία^{nafs} ἐπί^{p} ὁ^{dgmp} βασιλεύς^{ngmp} ὁ^{dgfs} γῆ^{ngfs}. **18. v.1** καί^{c} μετά^{p} οὗτος^{rdanp} ὁράω^{viaa1s} ἄλλος^{aamsn} ἄγγελος^{nams} καταβαίνω^{vppaams} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} ἔχω^{vppaams} ἐξουσία^{nafs} μέγας^{aafsn} καί^{c} ὁ^{dnfs} γῆ^{nnfs} φωτίζω^{viap3s} ἐκ^{p} ὁ^{dgfs} δόξα^{ngfs} αὐτός^{rpgms}. **v.2** καί^{c} κράζω^{viaa3s} ἐν^{p} ἰσχύς^{ndfs} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{vppanms} πίπτω^{viaa3s} πίπτω^{viaa3s} Βαβυλών^{nnfs} ὁ^{dnfs} μέγας^{anfsn} καί^{c} γίνομαι^{viad3s} κατοικητήριον^{nnns} δαίμων^{ngmp} καί^{c} φυλακή^{nnfs} πᾶς^{agnsn} πνεῦμα^{ngns} ἀκάθαρτος^{agnsn} καί^{c} φυλακή^{nnfs} πᾶς^{agnsn} ὄρνεον^{ngns} ἀκάθαρτος^{agnsn} καί^{c} μισέω^{vpxpgns}.

ροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν.
4 Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ, λέγουσαν, Ἐξέλθετε
ἐξ αὐτῆς, ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις
5 αὐτῆς, καὶ ἵνα μὴ λάβητε ἐκ τῶν πληγῶν αὐτῆς, ὅτι ἐκολλή-
θησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ ἐμνημόνευσεν
6 ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς. ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀ-
πέδωκεν ὑμῖν, καὶ διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς,
7 ἐν τῷ ποτηρίῳ ᾧ ἐκέρασε, κεράσατε αὐτῇ διπλοῦν. ὅσα ἐδό-
ξασεν ἑαυτὴν, καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐτῇ βασανισμὸν
καὶ πένθος, ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει, Κάθημαι βασίλισσα,
8 καὶ χήρα οὐκ εἰμί, καὶ πένθος οὐ μὴ ἴδω. διὰ τοῦτο ἐν μιᾷ
ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λι-
μός, καὶ ἐν πυρὶ κατακαυθήσεται, ὅτι ἰσχυρὸς Κύριος ὁ Θεὸς ὁ
9 κρίνων αὐτήν. καὶ κλαύσονται ἀυτην, καὶ κόψονται ἐπ᾽ αὐτῇ
οἱ βασιλεῖς τῆς γῆς οἱ μετ᾽ αὐτῆς πορνεύσαντες καὶ στρηνιά-
10 σαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, ἀπὸ
μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέ-
γοντες, Οὐαὶ, οὐαί, ἡ πόλις ἡ μεγάλη, Βαβυλὼν, ἡ πόλις ἡ
11 ἰσχυρά, ὅτι ἐν μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου. καὶ οἱ ἔμποροι
τῆς γῆς κλαίουσι καὶ πενθοῦσιν ἐπ᾽ αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν

---

